[non ὠνόμ.] habent BCG; E rursus οἶδεν) cum BEG Vatt Ven .. C (sed is ante habet ὀνόμασεν pro εἶδεν) om | C λόγον ὃ ἔδωκεν | τῷ Πιλάτῳ cum BG .. C om τῷ | καὶ ὅτι εἴδαμεν (C ἴδομεν, G οἴδωμεν) cum B (is praeterea a secunda manu istis praemissa habet καὶ ὅτι ἐσταυρώθη ἐπὶ τοῦ κρανίου), CG, item Vat[a] *et quia vidimus* .. E Vat[b] om ὅτι (Pendere videtur et h. l. et in seqq. ab εἶπαν.) | λαβόντα cum CG (et E?) .. B λαμβάνοντα | καὶ ἐμπτύσμ. εἰς τὸ πρ. αὐτ. cum G .. C κ. ἐμπτ. ἔλαβεν, B καὶ ὅτι ἐμπτ. ἐλάμβανεν εἰς τὸ πρόσωπ. αὐτοῦ, E καὶ ὅτι ἐμπτ. ἔλαβε τὸ πρόσωπ. αὐτ. | καὶ ὅτι (cum C, BG om) οἱ στρ. (B οἱ στρ. post περιέθ. ponit) -- περιέθ. αὐτῷ cum BCG .. E om | καὶ ὅτι (cum BE; G om) ἐφραγελλώθη cum BEG .. C κ. ὅτι ἐφραγέλλωσαν αὐτόν | καὶ ἀπόφ. ἔλαβ. ἀπὸ (BG ὑπὸ) Πιλ. cum BCG .. E om | καὶ ὅτι (cum C; G om) ἐπὶ τοῦ (G τόπου pro τοῦ) Κρανίου ἐστ. cum CG .. BE κ. ὅτι ἐπὶ ξύλου ἐστ. (item Fabr *in ligno mortuus est*; neque magis Vatt Ven τοῦ Κρανίου exprimunt) | καὶ ὅτι ὄξος cum BCE .. G om ὅτι | ἐπότισαν αὐτόν cum BC Vat[a] .. EG Vat[b] ἐποτίσθη | μετὰ χολῆς cum B (item *felle et acelo potaverunt*) .. C add καὶ ὑσσώπου, item G μεμιγμένης .. E om | καὶ ὅτι (cum CE; BG om; praeterea C add τὸ σῶμα αὐτοῦ) λόγχῃ (B om? alio loco ponit?) ἐξεκέντησεν: ita BCEG, sed B post verba καὶ τὴν πλευρὰν αὐτοῦ deficit, nisi quod ex vestigiis scripturae deperditae concludendum videtur sequi ὁ στρατιώτης Λογγῖνος | Λογγῖνος: ita G; CE ὁ Λογγ. | ὁ στρατιώτης cum C, item *miles* Vatt Ven .. G ὁ ἑκατόνταρχος, E ὁ στρατηγός | καὶ ὅτι τὸ σῶμα: ita omnes i. e. CEG | ᾐτήσατο Ἰωσ. ὁ τίμιος πατὴρ ἡμῶν cum C, item Vatt *postulavit pretiosus* (Vat[b] *dominus*) *pater noster Ioseph* (Vat[b] *Ios. pat. nost.*) .. E ᾐτήσατο ὁ τίμιος Ἰωσήφ, G ὁ τίμιος πατὴρ ᾐτήσατο Ἰωσήφ | καὶ ὅτι καθὼς λέγει (ita E, C λέγουσιν) ἀνέστη cum EC, similiter Vatt Ven (sed Latini om καθ. λέγ.) .. G om | καὶ (G add ὅτι) καθὼς λέγουσιν: ita CEFGH, item Ven | Εἴδομεν (ita FH; CG ἴδωμεν) cum CFGH Copt (simile anacoluthon vide supra) .. E Ven (Vatt) εἶδον | καὶ ὅτι ῥαββὶ etc: hanc postremam partem addunt CEFGH (reliqui codices graeci AB iam ante defecerunt, item D), item Coptus interpres. De latinis vero codicibus Vatt Ven priora tantum habent eaque cum capite XVII. coniungunt; Fabr etc omittunt. | καὶ ὅτι: ita CEFGH .. Vatt Ven Copt om ὅτι | ὁ ῥαββὶ (H ῥαββίς, G ῥαμβίς) Λευὶς cum FGH .. CE om ὁ | εἶπεν .. G ante Λευὶς ponit | Συμεῶνος .. FH Συμεών | καὶ ὅτι εἶπεν cum CEFGH .. Copt

Digitized by Google

ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. καὶ εἶπαν πάντες οἱ διδάσκαλοι πρὸς πάντα τὸν λαὸν κυρίου Εἰ παρὰ κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ὑμῶν, γινώσκοντες γνώσεσθε, οἶκος Ἰακώβ, ὅτι γέγραπται Ἐπικατάρατος πᾶς ὁ ἐπὶ ξύλου κρεμάμενος. καὶ ἑτέρα γραφὴ διδάσκει Θεοὶ οἵτινες τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποιήσαντο, ἀπολοῦνται. καὶ εἶπαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται πρὸς ἀλλήλους Εἰ ἕως τοῦ σώμμου τοῦ λεγομένου Ἰωβὴλ τὸ μνημόσυνον αὐτοῦ, γινώσκετε ὅτι ἐπικρατεῖ ἕως τοῦ αἰῶνος, καὶ ἔγειρεν ἑαυτῷ λαὸν καινόν. τότε παρήγγειλαν οἱ ἀρχισυνάγωγοι καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται παντὶ τῷ Ἰσραὴλ λέγοντες Ἐπικατάρατος ὁ ἀνὴρ ἐκεῖνος ὃς ποίημα χειρὸς ἀνθρώπου προσκυνήσει, καὶ ἐπικατάρατος ἀνὴρ ὃς κτίσματα παρὰ τὸν κτίσαντα προσκυνήσει. καὶ εἶπεν πᾶς ὁ λαός Ἀμὴν ἀμήν.

Καὶ ὕμνησεν πᾶς ὁ λαὸς τὸν κύριον καὶ εἶπεν Εὐλογητὸς κύριος, ὃς ἔδωκεν κατάπαυσιν τῷ λαῷ Ἰσραὴλ κατὰ πάντα ὅσα

---

dicens | καὶ εἶπαν (ita EFH; G εἴπατε λοιπόν) πάντες (E om) οἱ διδ. πρὸς πάντα τὸν λαὸν κυρίου (haec cum FGH; E πρὸ πάντων τῶν λαῶν) .. C om καὶ εἶπαν usque dum sequitur καὶ εἶπαν οἱ ἱερεῖς | Εἰ: ita FH, item Coptus ut videtur (postquam enim nonnulla praecedunt quae legi nequeunt, pergit *quando haec erunt insignia coram oculis nostris*) .. EG om | ὑμῶν cum FH .. EG Copt ἡμῶν | γινώσκοντες γνώσεσθε cum FGH Copt .. E γινώσκετε οὖν καὶ γνώσεσθε | οἶκος Ἰακώβ cum FH, item G ὁ οἶκ. τοῦ Ἰακ., item Copt .. E λαὸς Ἰσραήλ | Ἐπικατάρατος πᾶς ὁ ἐπὶ ξύλ. κρεμ. cum FGH Copt .. E om una cum seqq. καὶ ἑτέρα γραφὴ διδάσκει (Copt *Etenim scriptura nos docet*) | οἵτινες cum G .. E οἳ | ἐποιήσαντο cum G .. E ἐποίησαν | ἀπολοῦνται cum G (item Copt) .. E ἀπολέσθωσαν | καὶ οἱ Λευ. cum CE .. G om οἱ | Εἰ ἕως τοῦ σώμμου (ita codex, sed quid sit non assequor) τ. λεγ. Ἰωβὴλ τὸ μν. αὐτοῦ cum G; nec fere aliter Copt, sed plura ibi latent. Legitur enim sic *Et dixerunt sacerdotes et Levitae inter se ... et ille quem vocant Iobel, eius memoria persistit, si ... scilole nomen eius mansurum esse in sempiternum et relicturum esse sibi populum novum* .. C καὶ ἕως τοῦ λεγομένου Ἰουὴλ τὸ μνημόσυνον αὐτοῦ .. E εἰ ἐν τοσούτῳ μετὰ τοῦ λεγομένου Ἰησοῦ καὶ τὸ μνημόσυνον αὐτοῦ ἐστί | ἐπικρατεῖ (C -κρατῆ) ἕως cum CG .. E ἐπικρατίσεως | καὶ ἔγειρεν cum G, item C ἐγείρη .. E ποιεῖ | καὶ οἱ Λευῖται cum CE .. G om οἱ | χειρὸς ἀνθρώπου cum CE .. G χειρῶν ἀνθρώπων | καὶ ἐπικατάρατος ὁ ἀνὴρ ὃς κτίσματα (Copt *creaturam*) π. τ. κτίσ. προσκυνήσει cum E Copt .. CG om | καὶ εἶπεν πᾶς ὁ λαός Ἀμὴν ἀμήν cum CE (is addit γένοιτο γένοιτο) Copt (ter habet ἀμήν) .. G ab hoc εἶπ. πᾶς ὁ λαός transilit ad id quod sequitur ὕμνησεν πᾶς ὁ λαός

Καὶ ὕμνησεν: ita E Copt .. C κ. λοιπὸν ὕμν. | Εὐλογητὸς κύριος (E add ἀμήν) ὃς ἔδωκεν cum EG Copt .. C om male Εὐλογ. κύριος | κατάπαυσιν cum CG .. E ἀνάπαυσιν | κατὰ πάντα ὅσα ἐλάλησεν: haec (nobiscum) Copt cum

ἐλάλησεν· οὐκ ἔπεσεν ῥῆμα ἓν ἀπὸ παντὸς ῥήματος αὐτοῦ τοῦ ἀγαθοῦ ὅσα ἐλάλησεν Μωυσῆ τῷ δούλῳ αὐτοῦ. εἴη κύριος ὁ θεὸς ἡμῶν μεθ' ἡμῶν καθὼς ἦν μετὰ τῶν πατέρων ἡμῶν· μὴ ἀπολέσῃ ἡμᾶς. καὶ μὴ ἀπολέσῃ ἡμᾶς τοῦ κλῖναι καρδίαν ἡμῶν πρὸς αὐτόν, τοῦ πορευθῆναι ἡμᾶς ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, τοῦ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ κρίματα αὐτοῦ ἃ ἐνετείλατο τοῖς πατράσιν ἡμῶν. καὶ ἔσται κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, Κύριος βασιλεὺς ἡμῶν· αὐτὸς σώσει ἡμᾶς. οὐκ ἔστιν ὅμοιός σοι, κύριε· μέγας εἶ σύ, κύριε, καὶ μέγα τὸ ὄνομά σου. ἐν τῇ δυνάμει σου ἴασαι ἡμᾶς, κύριε, καὶ ἰαθησόμεθα· σῶσον ἡμᾶς, κύριε, καὶ σωθησόμεθα· ὅτι μερὶς καὶ κληρονομία σου ἐσμέν. καὶ οὐκ ἐάσει κύριος τὸν λαὸν αὐτοῦ ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ τοῦ μεγάλου, ὅτι ἤρξατο κύριος τοῦ ποιεῖν ἡμᾶς εἰς λαὸν αὐτοῦ.

Καὶ ὑμνήσαντες ἅπαντες ἀπῆλθεν ἕκαστος ἀνὴρ εἰς τὸν

---

praecedentibus coniungit | ῥῆμα ἓν ἀπὸ παντός .. G om (a ῥῆμα ad ῥήματος transiliens) | ἀπὸ παντὸς ῥήματος α. τ. ἀ. ὅσα (ita G; C ὡς) ἐλάλ. Μω. τ. δ. αὐτοῦ cum CG (similiter Copt) .. E ἀπὸ πάντων ὧν ἐλάλησεν ἐν χειρὶ Μωυσῆ. | εἴη κύρ. ὁ θε. ἡμῶν (C om) μεθ' ἡμῶν cum CFG .. E κύρ. ὁ θε. ἡμῶν ἔσται μεθ' ἡμῶν | καθώς .. F καθά | μὴ ἀπολέσῃ (cod. -σει) ἡμᾶς. καὶ μὴ ἀπολέσῃ (cod. -σει) ἡμᾶς cum G, item F omissis καὶ μὴ ἀπ. ἡμᾶς, item C μὴ ἀπολέσας ἡμᾶς omissis καὶ μὴ ἀπ. ἡμᾶς .. E μὴ ἐγκαταλίπῃς ἡμᾶς κύριε, καὶ μὴ ἀπώσῃ ἡμᾶς, item Copt *ne derelinquas nos domine, non recedemus a te ut* (sed Copt etiam in seqq. *tibi, in viis tuis, tua mandata* etc) | τοῦ κλῖναι cum E, item ut videtur Copt (*non recedemus a te ut humiliemus cor nostrum tibi*) .. CFG τοῦ εἶναι | καρδίαν ἡμῶν cum FG Copt .. C (et E?) καρδίας ἡμῶν | τοῦ πορευθῆναι ἡμᾶς cum CFG .. E τοῦ πορεύεσθαι | τὰ κρίματα cum EFGH .. C τὰ δικαιώματα | καὶ ἔσται κύριος εἰς βασιλέα (ita G; E βασιλεὺς) ἐπὶ πᾶσαν – – ἐκείνῃ· καὶ (E om) ἔσται κύριος (E om) εἷς cum GE Copt .. CFH a priore καὶ ἔσται κύριος ad alterum transiliunt | Κύριος βασιλεὺς ἡμῶν cum FGH Copt .. C (item E?) κύρ. ὁ θεὸς εἷς, βασιλεὺς ἡμῶν | ὅμοιός σοι (ita CEG; FH σου) .. CE (non Copt) addunt ἐν θεοῖς | μέγας εἶ σύ cum CE .. FGH om σύ | ἴασαι ἡμᾶς h. l. cum EFH .. G ante ἐν τῇ δυν. σ. κύριε | μερὶς καὶ κληρονομία cum CFGH Copt .. E μερὶς κληρονομίας | καὶ (G Copt ὅτι) οὐκ ἐάσει κύριος cum FGH Copt .. CE καὶ οὐκ ἐάσεις κύριε, sed in seqq. non mutant τὸν λα. αὐτοῦ nec (sed E om ἕνεκεν usque μεγάλου) ἕνεκεν τ. ὀν. αὐτοῦ τ. μ. | τοῦ ποιεῖν ἡμᾶς cum FGH .. C (ἡμᾶς ποι.?) E (ἡμ. ποι.?) om τοῦ

ἅπαντες ἀπῆλθεν cum FGH .. CE (omisso ἅπαντες) ἀπῆλθον | εἰς τὸν

οἶκον αὐτοῦ, δοξάζοντες τὸν θεόν, ὅτι αὐτοῦ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

οἶκον αὐτοῦ: ab his verbis deficit E | ὅτι αὐτοῦ ἡ δόξα (ita FH; G ὅτι αὐτῷ πρέπει δόξα καὶ τὸ κράτος) εἰς -- ἀμήν cum FGH .. Copt post εἰς τὸν οἶκ. αὐτοῦ tantummodo addit *in pace, amen* .. C ὅτι αὐτῷ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις· μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Digitized by Google

ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΟΥ ΠΑΘΟΥΣ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΚΑΙ ΤΗΣ ΑΓΙΑΣ ΑΥΤΟΥ ΑΝΑΣΤΑΣΕΩΣ·

ΣΥΓΓΡΑΦΕΙΣΑ ΠΑΡΑ ΙΟΥΔΑΙΟΥ ΑΙΝΕΑ ΟΝΟΜΑΤΙ· ΗΝ ΜΕΤΗΝΕΓΚΕΝ ΕΚ ΤΗΣ ΕΒΡΑΙΚΗΣ ΓΛΩΤΤΗΣ ΕΙΣ ΤΗΝ ΡΩΜΑΙΔΗ ΔΙΑΛΕΚΤΟΝ ΝΙΚΟΔΗΜΟΣ ΤΟΠΑΡΧΗΣ ΡΩΜΑΙΟΣ.

Μετὰ τὸ καταλυθῆναι τὴν βασιλείαν τῶν Ἑβραίων, τετρακοσίων χρόνων παραδραμόντων, καὶ ὑπὸ τὴν βασιλείαν τῶν Ῥωμαίων τελούντων καὶ τῶν Ἑβραίων, τοῦ Ῥωμαίων βασιλέως βασιλέα αὐτοῖς χειροτονοῦντος· τοῦ Τιβερίου Καίσαρος ὕστερον τὰ ῥωμαϊκὰ σκῆπτρα διέποντος, ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ βασιλέα χειροτονήσαντος ἐν τῇ Ἰουδαίᾳ Ἡρώδην, τὸν υἱὸν Ἡρώδου τοῦ πρὶν τὰ νήπια ἀποκτείναντος ἐν τῇ Βηθλεέμ, καὶ τὸν Πιλᾶτον ἐν τῇ Ἱερουσαλὴμ ἔχοντος ἡγεμόνα· τοῦ Ἄννα δὲ καὶ τοῦ Καϊάφα τὴν ἀρχιερωσύνην ἐχόντων τῆς Ἱερουσαλήμ, Νικόδημος τοπάρχης Ῥωμαῖος Ἰουδαῖον προσκαλεσάμενος Αἰνέαν ὀνόματι ἐζήτησε συγγράψασθαι τὰ κατὰ τοὺς καιροὺς Ἄννα καὶ Καϊάφα πραχθέντα ἐν Ἱερουσαλὴμ περὶ τοῦ Χριστοῦ· ὃ δὴ καὶ ποιήσας ὁ Ἰουδαῖος καὶ τῷ Νικοδήμῳ παραδούς, οὗτος αὖθις ἀπὸ τῆς ἑβραϊκῆς συγγραφῆς μετήνεγκε ταῦτα εἰς τὴν ῥωμαϊκὴν διάλεκτον. ἔχει δὲ τὰ τῆς ἱστορίας οὕτως.

---

* Hunc titulum habent ABC: τοῦ πάθους cum A .. BC τοῦ τιμίου πάθους | τοῦ κυρ. ἡμῶν cum AC .. B add καὶ σωτῆρος ἡμῶν | καὶ τῆς cum A .. BC καὶ περὶ τῆς | παρά cum BC .. A περί | Αἰνέα cum A .. BC Ἐνναία | μετήνεγκεν ἐκ τῆς cum BC .. A μετήνεγκε τῆς | εἰς τήν cum A .. BC om τήν | ῥωμαΐδη (C - ΐδι) cum BC .. A ῥωΐδα (pro ῥωμαΐδα?)

Praefationem habent AB: παραδραμόντων .. B -μούντων | ἔτει τῆς .. A ἐπὶ τῆς | ἐν τῇ Βηθλεέμ .. B om τῇ | ἐν τῇ Ἱερουσαλήμ .. B om τῇ | τοῦ Ἄννα δέ .. B om δέ | Αἰνέαν .. B Ἐνναίαν | ἔχει δέ .. B om δέ

Digitized by Google

Caput I.

1 Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πολλὰ καὶ μεγάλα καὶ ἐξαίσια θαύματα ἐν τῇ Ἰουδαίᾳ ἐργασαμένου, καὶ διὰ τοῦτο φθονηθέντος ὑπὸ τῶν Ἑβραίων, ἡγεμονεύοντος εἰς Ἱεροσόλυμα τοῦ Πιλάτου, ἀρχιερατευόντων δὲ τοῦ τε Ἄννα καὶ τοῦ Καϊάφα, ἦλθον ἐκ τῶν Ἰουδαίων πρὸς τοὺς αὐτοὺς ἀρχιερεῖς Ἰούδας, Λευί, Νεφθαλείμ, Ἀλέξανδρος, Σύρος, καὶ ἄλλοι πολλοὶ λέγοντες κατὰ τοῦ Χριστοῦ· οὓς καὶ ἀπέστειλαν οἱ τοιοῦτοι ἀρχιερεῖς εἰπεῖν ταῦτα καὶ τῷ Πιλάτῳ. οἳ καὶ ἀπελθόντες εἶπον πρὸς αὐτὸν ὅτι ἄνθρωπος περιπατεῖ ἐν τῇ πόλει ταύτῃ πατέρα ἔχων Ἰωσὴφ λεγόμενον καὶ μητέρα Μαριάμ, ὀνομάζει δὲ αὐτὸν βασιλέα καὶ υἱὸν θεοῦ· καὶ Ἰουδαῖος ὢν ἀνατρέπει τὰς γραφὰς καὶ καταλύει τὰ σάββατα. ἠρώτησεν οὖν ὁ Πιλᾶτος μαθεῖν ἐξ αὐτῶν κατὰ τίνα τρόπον καταλύει τὰ σάββατα. καὶ ἀπεκρίθησαν οὗτοι λέγοντες ὅτι τοὺς ἀσθενεῖς ἰατρεύει ἐν σαββάτῳ. λέγει ὁ Πιλᾶτος Εἰ τοὺς ἀσθενοῦντας ὑγιεῖς ποιεῖ, οὐδὲν κακὸν ποιεῖ. λέγουσιν αὐτῷ Εἰ καλῶς ἐνήργει τὰς ἰατρείας, μικρὸν ἂν ἦν τὸ κακόν· μαγείαις δὲ χρώμενος ποιεῖ ταύτας καὶ τοὺς δαίμονας ἔχων παρ' ἑαυτῷ. λέγει ὁ Πιλᾶτος Τὸ ἰατρεύειν ἄρρωστον διαβολικὸν ἔργον οὐκ ἔστιν, ἀλλὰ χάρισμα ἐκ θεοῦ.

2 Εἶπον οἱ Ἑβραῖοι Δεόμεθά σου τῆς μεγαλειότητος μετακαλέσασθαι αὐτόν, ὡς ἂν γνωρίσῃς ἀκριβῶς ὅπερ λέγομεν. ἐκβαλὼν οὖν ὁ Πιλᾶτος τὸ μανδύλιον αὐτοῦ δέδωκεν ἑνὶ τῶν ὑπηρετῶν αὐτοῦ λέγων Ἄπελθε καὶ δεῖξον τοῦτο τῷ Ἰησοῦ καὶ εἰπὲ αὐτῷ Πιλᾶτος ὁ ἡγεμὼν καλεῖ σε πρὸς αὐτὸν ἐλθεῖν. ἀπῆλθε τοίνυν ὁ ὑπηρέτης, καὶ εὑρὼν τὸν Ἰησοῦν προσεκαλεῖτο τοῦτον,

---

I, 1. Ἰησοῦ Χριστοῦ: B om | καὶ τοῦ Καϊάφα: A om τοῦ | Ἰούδας: B ὁ Ἰούδας | καὶ τῷ Πιλάτῳ: B add ἡγεμόνι | Μαριάμ: A Μαρίαν | οὖν ὁ Πιλᾶτος: B οὖν ὁ ἡγεμὼν ὁ Πιλ. | οὗτοι λέγοντες: A om λέγοντες | ἀσθενοῦντας: B ἀσθενεῖς | μαγείαις: B μαγείᾳ | παρ' ἑαυτῷ: B περὶ αὐτῷ | ἐκ θεοῦ: B ἦν ἐκ θεοῦ

2. σου τ. μεγαλειότητος: B τῆς μεγαλότητός σου | τὸ μανδύλιον (A μανδύλιον et infra μανδίλιον, B ut videtur μανδήλιον): B add ἤτοι τὸ φακιόλιον | ἑνὶ τῶν ὑπηρ. αὐτοῦ: B add Ῥαχαὰβ ὀνόματι, ἤγουν τῷ κούρσορι (scriptum est τοῦ κούρσορος) αὐτοῦ | εὑρὼν τὸν Ἰησοῦν: ab his inde verbis textus codicis B confusus est. Statim enim sequuntur haec: ἐν τῇ ἡμέρᾳ κυριακῇ τῶν Ἑβραίων

ἁπλώσας ἐπὶ γῆς καὶ τὸ τοῦ Πιλάτου μανδύλιον καὶ ἐπάνω αὐτοῦ πατεῖν αὐτὸν προτρεπόμενος. ὅπερ ἰδόντες οἱ Ἑβραῖοι καὶ μεγάλως ἀγανακτήσαντες ἦλθον πρὸς τὸν Πιλᾶτον, γογγύζοντες κατ' αὐτοῦ πῶς τοσαύτης τιμῆς τὸν Ἰησοῦν ἠξίωσεν.

[3] Καὶ οὗτος τὸν ἀποσταλέντα ὑπηρέτην ἀνερευνήσας πῶς οὕτως ἐποίησεν, ἀπεκρίθη ὁ ὑπηρέτης Ὅτε με ἀπέστειλες πρὸς τὸν Ἰουδαῖον Ἀλέξανδρον, ἐνέτυχον τῷ Ἰησοῦ εἰσερχομένῳ τὴν πύλην τῆς πόλεως καθημένῳ ἐπὶ ὄνου· καὶ εἶδον τοὺς Ἑβραίους ὅτι ἐστρώννυον ἐν τῇ ὁδῷ τὰ ἱμάτια αὐτῶν, καὶ περιεπάτει ὁ ὄνος ἐπάνω τῶν ἱματίων, καὶ ἕτεροι ἔκοπτον κλάδους· καὶ ἐξήρχοντο εἰς ὑπάντησιν αὐτοῦ καὶ ἔκραζον Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. οὕτως οὖν ἔδει καὶ ἐμὲ ποιῆσαι.

[4] Ἀκούσαντες οἱ Ἰουδαῖοι τοὺς λόγους τούτους εἶπον πρὸς αὐτόν Σὺ δὲ Ῥωμαῖος ὢν πῶς ἐγίνωσκες τὰ παρὰ τῶν Ἑβραίων λεγόμενα; ἀπεκρίθη ὁ ὑπηρέτης Ἕνα ἐκ τῶν Ἑβραίων ἠρώτησα, καὶ εἶπέ μοι ταῦτα. εἶπεν ὁ Πιλᾶτος Τί λέγει Ὡσαννά; εἶπον οἱ Ἰουδαῖοι Σῶσον ἡμᾶς κύριε. ἀπεκρίθη ὁ Πιλᾶτος Ἐπεὶ ὁμολογεῖτε ὅτι οὕτως ἔλεγον οἱ παῖδες ὑμῶν, πῶς νῦν κατηγορεῖτε καὶ λέγετε κατὰ τοῦ Ἰησοῦ ὅσα λέγετε; ἐσιώπησαν οἱ Ἰουδαῖοι καὶ οὐδὲν εἶχον ἀντειπεῖν.

καθήμενον ἐπὶ ὄνου, καὶ ἐν τῇ ὁδῷ αὐτοῦ Ἑβραῖοι ἐστρώννυον τὰ ἱμάτια αὐτῶν, καὶ περιεπάτει ὁ ὄνος ἐπάνω τῶν ἱματίων: quae quidem ad id pertinent quod paullo infra sectione 3. media narratur. Sed non attulit Thilo quibus ea verba excipiuntur, his tantum notatis *Tum iste minister dicitur Pilati* μανδήλιον *pedibus Christi substravisse, et Iudaeis id factum indignantibus coram Pilato ea fere respondisse quae in nostro textu* (i. e. in recensione priore) *leguntur.* Rursus incipit Thilonis notatio a verbis ἐπεὶ ὁμολογεῖτε i. e. a sect. 4. media. | ἠξίωσεν: codex ἠξίωσης. ἠξίωσας? ἠξίωσες?

3. πῶς οὕτως: codex π. οὗτος | ἀπέστειλες: sic | ποιῆσαι: codex ἐποίησα. Suspicari possis legendum esse ποιῆσαι, καθὼς καὶ ἐποίησα

4. οἱ παῖδες ὑμῶν: B οἱ ἀπειρόκακοι παῖδ. ὑμ.

C loco priorum quattuor sectionum haec habet:

[1] Τότε ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα ἐπὶ ἡγεμόνα τὸν Πιλᾶτον, ὃς (cod. ὁ) ἦν Ῥωμαῖος· ἦν δὲ παρασκευὴ πρωΐ. καὶ ἰδὼν Ἰούδας πῶς ἤγαγον τὸν Ἰησοῦν ἐνώπιον τοῦ Πιλάτου, ἐν τρόμῳ καὶ δειλίᾳ ἐκατεκρίθη διὰ τῆς αἰσχρᾶς ἐπιβουλίας αὐτοῦ, καὶ τῇ αὐτοῦ ἀπογνώσει μεταμεληθεὶς βουλόμενος ἀποστρέψαι τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις τῶν Ἰουδαίων. (Ad sequentia cf. quae infra ad XI, 2. ex codice A adnotavimus.) καὶ γνόντες (cod. γνοὺς) αὐτὸν οἱ κακοῦργοι καὶ οἱ κατήγοροι ὅπερ βούλεται ὁ Ἰούδας ποιῆσαι, λέγουσιν (cod. λέγουν) κατ' αὐτοῦ ὁμοφώνως, ἅμα καὶ ὁ λαὸς ὑβριστικῶς

Digitized by Google

[5] Ἐρχομένου δὲ τοῦ Ἰησοῦ πρὸς τὸν Πιλᾶτον, προσεκύνουν αὐτὸν οἱ στρατιῶται τοῦ Πιλάτου. ἵσταντο δὲ καὶ ἄλλοι ἔμπροσθεν τοῦ Πιλάτου κατέχοντες σημαίας. καὶ ἐρχομένου τοῦ Ἰησοῦ ἔκλιναν καὶ αἱ σημαῖαι καὶ προσεκύνησαν αὐτόν. θαυμάζοντος οὖν ἐπὶ τῷ γεγονότι τοῦ Πιλάτου, εἶπον οἱ Ἰουδαῖοι

(cod. -στικός) Ὁ προδότης, ὁ παράνομος, ὁ ἄπιστος, ὁ ἀχάριστος, ὁ τὸν διδάσκαλον αὐτοῦ πωλήσας καὶ φονεύσας, ὁ παρ' αὐτοῦ τοὺς πόδας νιπτόμενος, ὁ τὸ βαλάντιον αὐτοῦ κατέχων καὶ ὅσα ἤθελων διδοὺς ἐξ αὐτοῦ, ἐδίδου τῇ γυναικὶ αὐτοῦ, καὶ ὅσα ἤθελων κρύπτων· καὶ πᾶσαν τὴν αἰτίαν τῆς σταυρώσεως ἐτίθουν ἐπάνω αὐτοῦ. [2] Οὗτος δὲ ἀγανακτῶν καὶ μὴ δυνάμενος τοὺς ὀνειδισμοὺς ὑπομένειν, καὶ τοσοῦτον ὑπὸ πάντων κατακρινόμενος καὶ ὑβριζόμενος, παραγενόμενος ἐν τῷ ναῷ καὶ εὑρὼν τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς καὶ Φαρισαίους εἶπεν Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον· γινώσκω ἀληθῶς ὅτι κακῶς ἐποίησα· καὶ λάβετε τὰ ἀργύρια ἃ μοι δεδώκατε διὰ τὸ προδοῦναι τὸν Ἰησοῦν πρὸς φόνον ὑμῶν. οἱ δὲ εἶπον Τί πρὸς ἡμᾶς; σὺ ὄψει. μὴ (ab hoc inde loco usque ἀπήγξατο textum Venetum una cum Parisiensi affert etiam Thilo) θελόντων δὲ τῶν Ἰουδαίων δέξασθαι τὰ ἀργύρια, ῥίψας ταῦτα ἐν μέσῳ (cod. B μέσον) αὐτῶν ἔφυγε. [3] Καὶ ἀπελθὼν εἰς τὸν οἶκον αὐτοῦ ποιῆσαι ἀγχόνην διὰ σχοινίου τοῦ κρεμασθῆναι, καὶ εὗρεν τὴν γυναῖκα αὐτοῦ καθημένην καὶ (τοῦ?) πυρεάζειν ἀλέκτορα ἐν τῇ ἀνθρακιᾷ, ἔστω (sic uterque codex) ἐν τῇ σούβλᾳ. Πρὸ τοῦ γεύσασθαι αὐτόν, καὶ λέγει αὐτῇ Ἀνάστα, γύναι, οἰκονόμησόν μοι σχοινίον, ὅτι βούλομαι κρεμασθῆναι, ὡς ἦν ἄξιος. ἡ δὲ γυνὴ αὐτοῦ ἔφη αὐτῷ Τί ἄρα λέγεις τὰ ῥήματα ταῦτα (cod. B ταῦτ. τὰ ῥήμ.); καὶ ὁ Ἰούδας λέγει αὐτῇ Γίνωσκε ἐν ἀληθείᾳ ὅτι ἀδίκως παρέδωκα τὸν διδάσκαλόν μου Ἰησοῦν τοῖς κακούργοις πρὸς Πιλᾶτον τοῦ θανατῶσαι αὐτόν· αὐτὸς δὲ μέλλει ἀναστήσεσθαι (codd. -στήσεται) τῇ τρίτῃ ἡμέρᾳ, καὶ οὐαὶ ἡμῖν. καὶ ἡ γυνὴ αὐτοῦ εἶπεν αὐτῷ Μὴ λέγε (cod. B λέγειν) μηδὲ νομίσῃς (uterque codex νομήσας) οὕτως· ὅτι ὥσπερ οὗτος ὁ ἀλέκτωρ πυριαζόμενος (supra est πυρεάζειν) ἐν τῇ ἀνθρακιᾷ (cod. C utroque loco ἀνθρακίᾳ, hoc accentu) φωνῆσαι δύναται, οὕτως καὶ ὁ Ἰησοῦς ἀναστήσεται, ὥσπερ λέγεις. καὶ εὐθὺς ἐν τῷ λόγῳ αὐτῆς ὁ ἀλέκτωρ ἐκεῖνος ἔδωκε τὰς πτέρυγας αὐτοῦ καὶ ἔκραξε τρίτον. εἶτα πεισθεὶς ὁ Ἰούδας ἔτι πλεῖον, καὶ εὐθὺς ἐποίησε τὴν ἀγχόνην διὰ σχοινίου καὶ ἐκρεμάσθη, καὶ οὕτως ἀπήγξατο (hucusque textum exscripsit Thilo) τῇ ψυχῇ. (Sequitur οἱ δὲ τῷ σώματι. ἄλλοτε ἐλάκισεν [sic], ἐπρίσθη καὶ ἐβρέμεσεν [?]: quae margini adscripta fuisse indeque in textum irrepsisse apparet.) [4] Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανά (sic), ὅτι ἐπιτιμὴ αἵματός ἐστιν. συμβούλιόν τε λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι κύριος. Iam sequitur Ἐρχομένου δὲ τοῦ Ἰησοῦ etc, quae cum sectione nostri textus 5. conveniunt.

5. πρὸς τὸν Πιλᾶτον: BC πρ. τ. ἡγεμόνα Πιλ. | ἵσταντο δὲ καί: BC om δέ | καὶ ἐρχ. τ. Ἰησοῦ: haec BC om | καὶ προσεκύνησαν (BC -κύνουν): καί ex BC recepi; quod si cum codice A omittitur, ἔκλιναν ad milites referendum est eos qui κατέχοντες σημαίας modo dicti sunt. | ἐπὶ τ. γεγονότι: ita AB .. C om

Digitized by Google

πρὸς αὐτόν Κύριε, οὐχὶ τὰ σημεῖα προσεκύνησαν τὸν Ἰησοῦν, ἀλλ' οἱ στρατιῶται οἱ ταῦτα κατέχοντες ἀμελῶς.

[6] Λέγει ὁ Πιλᾶτος τῷ ἀρχισυναγώγῳ Ἔκλεξαι ἄνδρας δυνατοὺς δώδεκα καὶ δὸς αὐτοῖς τὰ σημεῖα ὥστε κατέχειν ταῦτα ἰσχυρῶς. καὶ τούτου γενομένου ἐκέλευσεν ὁ Πιλᾶτος τῷ ὑπηρέτῃ ἐκβαλεῖν ἔξω τὸν Ἰησοῦν καὶ πάλιν εἰσαγαγεῖν αὐτόν. εἰσερχομένου δὲ αὐτοῦ πάλιν ἔκλιναν τὰ σημεῖα καὶ προσεκύνησαν αὐτόν. ἐθαύμασεν οὖν μεγάλως ὁ Πιλᾶτος. οἱ δὲ Ἰουδαῖοι εἶπον Μάγος ἐστίν, καὶ διὰ τοῦτο ποιεῖ αὐτά.

Caput II.

[1] Λέγει ὁ Πιλᾶτος τῷ Ἰησοῦ Ἀκούεις τί οὗτοί σου καταμαρτυροῦσιν, καὶ οὐκ ἀποκρίνῃ; ἀπεκρίθη ὁ Ἰησοῦς καὶ λέγει Πᾶς ἄνθρωπος ἐξουσίαν ἔχει τοῦ λαλεῖν εἴτε καλὸν θέλει εἴτε κακόν· ἔχοντες οὖν καὶ αὐτοὶ ἐξουσίαν ἃ θέλουσιν λέγουσιν.

[2] Εἶπον οἱ Ἰουδαῖοι πρὸς αὐτόν Τί ἔχομεν λέγειν περὶ σοῦ; πρῶτον, ὅτι ἐξ ἁμαρτίας εἶ γεγεννημένος· δεύτερον, ὅτι διὰ σέ, ὅτε ἐγεννήθης, ἐφόνευσαν τὰ βρέφη· τρίτον, ὅτι ὁ πατήρ σου καὶ ἡ μήτηρ σου ἔφυγον εἰς τὴν Αἴγυπτον, διὸ οὐδὲν εἶχον θάρσος εἰς τὸν λαόν.

[3] Ἐπὶ τούτοις ἀπεκρίθησαν οἱ Ἰουδαῖοι οἱ παρόντες ἐκεῖσε θεοσεβεῖς ἄνθρωποι καὶ εἶπον Ἡμεῖς λέγομεν ὅτι ἡ γέννησις αὐτοῦ ἐξ ἁμαρτίας οὐκ ἔστιν· οἴδαμεν γὰρ ὅτι τὴν μητέρα αὐτοῦ Μαριὰμ ὁ Ἰωσὴφ κατὰ λόγον μνηστείας ἐδέξατο εἰς τήρησιν.

τὰ σημεῖα: C τὰ σημαῖα

6. δυνατούς: C καλοὺς δυνατούς | καὶ δὸς αὐτ. τ. σημεῖα: haec BC om | ταῦτα: BC αὐτά | δὲ αὐτοῦ πάλιν ἔκλιναν: BC δὲ τοῦ Ἰησοῦ ἔκλιναν | προσεκύν. αὐτόν: C add ὡς βασιλέα τῶν βασιλευόντων καὶ κύριον τῶν κυριευόντων | ἐστίν: ita A .. (B?) C ἐστί | ποιεῖ αὐτά: B π. ταῦτα

II, 1. τί οὗτοι: A τί ὅτι | ἀποκρίνῃ: C ἀποκρίνει | εἴτε καλ. θ. ε. κακόν: ita AB .. C ἃ θέλει | οὖν: C om | ἃ θέλ. λέγουσιν cum A .. B ἃ θέλ. λέγειν, C φθέγγειν ἃ θέλουσιν

2. Εἶπον: C add οὖν | C γεγενημένος | ὅτε ἐγεννήθης: A ὅτι ἐγ. | ἐφόνευσαν τὰ βρέφη cum C .. A ἐφονεύθησαν δεκατέσσαρες χιλιάδες βρέφη, B ἐφονεύθ. τεσσαράκοντα τέσσαρες χιλιάδες βρέφη | εἰς τὴν Αἴγ. cum A .. BC om τήν | θάρσος cum A .. C θάρος, B θάρρος

3. οἱ (A om) παρόντες ἐκεῖσε cum AB .. C οἱ παρ. δώδεκα | ὅτι ἡ γέννησις αὐτοῦ – – Μαριὰμ (ita B; A Μαρίαν) – – ἐδέξατο (h. l. A add ταύτην. Quod si quis retinere voluerit, non tam ταύτην quam ἑαυτῷ corrigendum vi-

Digitized by Google

εἶπεν ὁ Πιλᾶτος Λοιπὸν ψεύδεσθε ὑμεῖς οἱ λέγοντες ὅτι ἐξ ἁμαρτίας ἐστὶν ἡ γέννησις αὐτοῦ. λέγουσιν πάλιν αὐτοὶ τῷ Πιλάτῳ Ὁ λαὸς ὅλος μαρτυρεῖ ὅτι μάγος ἐστίν. ἀπεκρίθησαν οἱ θεοσεβεῖς Ἰουδαῖοι καὶ εἶπον Ἡμεῖς καὶ εἰς τὴν μνηστείαν τῆς μητρὸς αὐτοῦ ἦμεν, καὶ Ἰουδαῖοί ἐσμεν, καὶ πᾶσαν τὴν πολιτείαν αὐτοῦ οἴδαμεν· ἀλλὰ μάγον εἶναι, τοῦτο οὐκ οἴδαμεν. οἱ δὲ ταῦτα λέγοντες Ἰουδαῖοι ἦσαν οὗτοι· Λάζαρος, Ἀσθάριος, Ἀντώνιος, Ἰάκωβος, Ζαρᾶς, Σαμουήλ, Ἰσαάκ, Φινεές, Κρίσπος, Δάγριππος, Ἀμεσὲ καὶ Ἰούδας.

4 Λέγει οὖν πρὸς αὐτοὺς ὁ Πιλᾶτος Εἰς τὴν ζωὴν τοῦ Καίσαρος θέλω ἵνα ὀμόσητε, εἰ χωρὶς ἁμαρτίας ἐστὶν ἡ γέννησις τοῦ ἀνθρώπου τούτου. ἀπεκρίθησαν οὗτοι Ὁ νόμος ἡμῶν ὁρίζει ἵνα μηδὲν ὀμνύωμεν, ὅτι μεγάλη ἁμαρτία ἐστὶν ὁ ὅρκος. πλὴν εἰς τὴν ζωὴν τοῦ Καίσαρος ὀμνύομεν ὅτι χωρὶς ἁμαρτίας ἐστὶν ἡ γέννησις αὐτοῦ· εἰ δὲ ψευδόμεθα, καρατομηθῆναι πάντας ἡμᾶς κέλευσον. ταῦτα τούτων εἰπόντων ἀπεκρίθησαν οἱ κατηγοροῦντες Ἰουδαῖοι πρὸς τὸν Πιλᾶτον καὶ εἶπον Καὶ πλέον πιστεύεις τοῖς τοιούτοις δώδεκα μόνοις Ἰουδαίοις ἢ τῷ παντὶ πλήθει καὶ ἡμῖν ἀκριβῶς εἰδόσιν αὐτὸν μάγον καὶ βλάσφημον καὶ υἱὸν θεοῦ ἑαυτὸν ὀνομάζοντα;

5 Τότε ἐκέλευσεν ὁ Πιλᾶτος ἐξελθεῖν πάντας ἐκ τοῦ πραιτωρίου ἄνευ μόνων τῶν ῥηθέντων δώδεκα· καὶ τούτου γενομένου

---

detur.) – – πάλιν αὐτοί (B αὐτ. πάλ.) – – ὅλος (A om) – – μάγος (A ὁ μάγος) – – Ἰουδαῖοι (B οἱ Ἰουδ.) – – ἦμεν (B ἦμεϑα) – – εἶναι τοῦτο (A εἶν. τοῦτον, B τοῦτον εἶν.) οὐκ οἴδαμεν (A εἴδαμεν) cum AB . . C sic: ὅτι ἡ γέννησις αὐτοῦ καὶ ἡ ἀναστροφὴ οὐκ ἔστιν ἐξ ἁμαρτίας, ὡς φατέ· ὅτι καὶ εἰς τὴν μνηστείαν τῆς μητρὸς αὐτοῦ εἰσμέν (sic; corrige ἦμεν. Item C infra εἶσαν pro ἦσαν.), καὶ ἡ μήτηρ αὐτοῦ Μαρία ἐδόϑη τῷ Ἰωσὴφ εἰς μνηστείαν, οὐ γαμικήν, ἀλλ' εἰς τήρησιν· καὶ πᾶσαν τὴν πολιτείαν αὐτοῦ ἴδομεν (codex ἴδωμεν), ἀλλὰ μάγον ἢ πλάνον οὐκ οἴδαμεν, ὡς φϑέγγεσϑε (cod. -σϑαι) | λέγοντες Ἰουδαῖοι cum BC . . A λέγ. ϑεοσεβεῖς Ἰουδ. | Δάζαρος usque Κρίσπος: in his nominibus codd. ABC prorsus consentiunt | Δάγριππος cum BC . . A Δαγρίπος (hoc accentu). Ex altera recensione nomen Ἀγρίππας huc quadrat | Ἀμεσέ cum A . . BC Εὐμεσσέ

4. τοῦ Καίσαρος: C om τοῦ | ἀπεκρ. οὗτοι cum AC . . B add καὶ εἶπον | ἵνα μηδ. ὀμνύωμ. cum AB . . C μὴ ὀμνύειν ὅλως | πλὴν cum A . . BC πλ. δέ | ὀμνύομεν cum A . . BC ὀμνύωμεν | πάντας cum A . . BC om | ταῦτα τούτ. εἰπ. cum AB . . C om | πρ. τὸν Πιλ. cum A . . BC om τόν | μόνοις cum A . . BC om | τῷ παντὶ cum A . . BC παντὶ τῷ | βλάσφημον cum BC . . A βλασφημοῦντα | ἑαυτόν: C om

5. ἐξελϑεῖν πάντας cum AC . . B πάντας ἐξελϑ. | μόνων: AC μόνον |

Digitized by Google

λέγει πρὸς αὐτοὺς κρυφίως ὁ Πιλᾶτος Τὸν ἄνθρωπον τοῦτον φαίνεται ὅτι ἀπὸ φθόνου καὶ μανίας θέλουσιν οἱ Ἰουδαῖοι ἵνα φονεύσουσιν αὐτόν. ἓν γάρ, διότι καταλύει τὰ σάββατα, κατηγοροῦσιν αὐτοῦ· αὐτὸς δὲ τότε ποιεῖ καλὸν ἔργον, διότι θεραπεύει τοὺς ἀσθενεῖς· τοῦτο καταδίκη θανάτου εἰς τὸν ἄνθρωπον οὐκ ἔστιν. λέγουσιν αὐτῷ καὶ οἱ δώδεκα Ναί, κύριε, οὕτως ἔχει.

Caput III.

[1] Ἐξῆλθεν οὖν ὁ Πιλᾶτος ἔξω μετ' ὀργῆς καὶ θυμοῦ, καὶ λέγει πρὸς τὸν Ἄνναν καὶ τὸν Καϊάφαν καὶ πρὸς τὸν ὄχλον οἳ ἔφερον τὸν Ἰησοῦν Μάρτυρα ἔχω τὸν ἥλιον ὅτι οὐδὲν πταῖσμα εὑρίσκω εἰς τοῦτον τὸν ἄνθρωπον. ἀπεκρίθη ὁ ὄχλος Εἰ οὐκ ἦν οὗτος γόης καὶ μάγος καὶ βλάσφημος, οὐκ ἂν πρὸς τὸ μεγαλεῖον τὸ σὸν αὐτὸν ἤγομεν. εἶπεν ὁ Πιλᾶτος Ἐξετάσατε τοῦτον ὑμεῖς, καὶ ἐπεὶ νόμον ἔχετε, καθὼς λέγει ὁ νόμος ὑμῶν, οὕτως ποιήσατε. εἶπον οἱ Ἰουδαῖοι Ὁ νόμος ἡμῶν οὐδένα ἄνθρωπον παραχωρεῖ φονεῦσαι. λέγει ὁ Πιλᾶτος Εἰ ὑμεῖς φονεύειν οὐ βούλεσθε, πόσον μᾶλλον ἐγώ.

[2] Τότε ἐστράφη ὁ Πιλᾶτος ἐν τῷ παλατίῳ καὶ λέγει πρὸς τὸν Ἰησοῦν Εἰπέ μοι, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ἀπεκρίθη ὁ Ἰησοῦς Σὺ τοῦτο λέγεις, ἢ ἄλλοι Ἰουδαῖοι εἶπον τοῦτο πρὸς

φαίνεται: A praem ἄρχοντες, item BC κατὰ τὸ φαινόμενον ἄρχοντες, quae verba in margine ad οἱ Ἰουδαῖοι adscripta fuisse iam Thilo suspicatus est. Praeterea B post φαίνεται add μοι | ἀπὸ φθόνου cum AB .. C διὰ φθόνου | καὶ μανίας cum A .. BC om καί | φονεύσουσιν cum AC .. B (?) φονεύσωσιν | ἕν: A ἐάν, C ένα | τὰ σάββατα cum BC .. A τὸ σάββατον | A κατηγορ. αὐτόν | διότι θεραπεύει cum BC .. A ὅτι θεραπ. | τοὺς ἀσθενεῖς: C add ὡς καὶ τὰς λοιπὰς ἡμέρας | τοῦτο καταδίκη cum BC .. A τότε καταδ. | καὶ οἱ δώδ. cum C .. AB om καί | C κύριέ μου

III, 1. καὶ τὸν Καϊάφαν: C om τόν | ὄχλον cum BC .. A λαόν | οἳ ἔφερον (BC ὃν ἤφερον) τ. Ἰησ. cum BC .. A om | Μάρτυρα – – εἰς τ. τ. ἄνθρωπ. cum AB .. C Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου, atque eadem B praemittere dicitur illis Μάρτυρα etc | ἀπεκρ. ὁ ὄχλ. cum A .. BC add καὶ εἶπεν | Εἰ οὐκ cum A .. BC Ἐὰν μή | μάγος κ. βλάσφημος cum A .. BC βλάσφ. κ. μάγ. καὶ κακοποιός | αὐτὸν ἤγομεν cum A .. BC ἤγομ. αὐτ. καὶ παρεδώκαμεν | εἶπεν ὁ Πιλ. cum A .. BC εἶπ. οὖν ὁ Πιλ. | C Ἐξετάσετε | A οὕτω | εἶπον οἱ Ἰουδ. cum AB .. C εἶπ. οὖν οἱ Ἰουδ. | φονεῦσαι cum A .. BC ἡμᾶς φον. | πόσον: sic AB; C τόσον

2. καὶ λέγει πρ. τὸν Ἰησοῦν cum A .. BC καὶ ἐφώνησεν τὸν Ἰησοῦν (C τῷ Ἰησοῦ) καὶ εἶπεν αὐτῷ | σὺ εἶ cum AC .. B εἶ σὺ εἶ | ἀπεκρ. ὁ Ἰησ.

Digitized by Google

σέ, ἵνα με ἐρωτήσεις; εἶπεν ὁ Πιλᾶτος Καὶ μήτι ἐγὼ Ἑβραῖός εἰμι; ἐγὼ οὐκ εἰμὶ Ἑβραῖος· ὁ λαός σου δὲ καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε εἰς τὰς χεῖράς μου· καὶ εἰπέ μοι εἰ βασιλεὺς εἶ τῶν Ἰουδαίων. ἀπεκρίθη ὁ Ἰησοῦς Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐν τῷ κόσμῳ τούτῳ· εἰ γὰρ ἦν ἡ ἐμὴ βασιλεία ἐν τούτῳ τῷ κόσμῳ, οἱ στρατιῶταί μου οὐκ ἂν ἔμελλον ἀμελῆσαι κρατηθῆναί με· λοιπὸν ἡ βασιλεία μου οὐκ ἔστιν ἐν τούτῳ τῷ κόσμῳ. λέγει ὁ Πιλᾶτος Τὸ λοιπὸν βασιλεὺς εἶ; εἶπεν ὁ Ἰησοῦς Σὺ εἶπας· ἐγὼ εἰς τοῦτο ἐγεννήθην τοῦ μαρτυρεῖν τὴν ἀλήθειαν, καὶ εἴ τίς ἐστιν ἄνθρωπος τῆς ἀληθείας, πιστεύει τὸν λόγον μου καὶ ποιεῖ αὐτόν. λέγει ὁ Πιλᾶτος Τί ἐστιν ἡ ἀλήθεια; ἀπεκρίθη ὁ Ἰησοῦς Ἡ ἀλήθειά ἐστιν ἐκ τῶν οὐρανῶν. λέγει ὁ Πιλᾶτος Ἐν τῇ γῇ δὲ οὐκ ἔστιν ἀλήθεια; λέγει ὁ Χριστός Ἐγώ εἰμι ἡ ἀλήθεια· καὶ πῶς ἐν τῇ γῇ κρίνεται ἡ ἀλήθεια παρὰ τῶν ἐχόντων γηΐνην ἐξουσίαν;

Caput IV.

1 Ἀφεὶς οὖν ὁ Πιλᾶτος τὸν Χριστὸν μόνον ἐξῆλθεν ἔξω καὶ λέγει τοῖς Ἰουδαίοις Ἐγὼ οὐδὲν εὑρίσκω πταῖσμα εἰς τοῦτον τὸν ἄνθρωπον. ἀπεκρίθησαν οἱ Ἰουδαῖοι Ἡμεῖς ἵνα εἴπωμεν τῇ μεγαλειότητί σου τί εἶπεν αὐτός· εἶπεν ὅτι δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. λέγει ὁ Πιλᾶτος Καὶ ποῖον ναὸν εἶπεν ἵνα καταλύσῃ; εἶπον οἱ Ἑβραῖοι Τὸν ναὸν τοῦ Σολομῶντος, ὃν ἔκτιζεν ὁ Σολομὼν ἐπὶ ἔτεσι τεσσαράκοντα ἓξ.

---

cum A .. BC ἀπεκρ. αὐτῷ ὁ Ἰησ. καὶ εἶπεν | ἐρωτήσεις: ita AC .. B -τήσῃς | C εἶπεν δὲ ὁ Πιλ. | ἐγὼ οὐκ εἰμὶ Ἑβρ. cum AB .. C om | ὁ λα. σου δέ cum A .. BC om δέ | οὐκ ἔστ. ἐν τῷ κ. τούτῳ: C add ἀλλ' αἰώνιος | ἔμελλον cum A .. BC ἔμελον | ἐν τούτῳ τ. κ. cum A .. BC ἐν τῷ κ. τούτῳ | Τὸ λοιπόν cum AB .. C om Τό | εἶπ. ὁ Ἰησ. cum A .. BC ἀπεκρίθη Ἰησοῦς | Τί ἐστ. ἡ ἀλήθ. cum A .. BC om ἡ | ἀπεκρ. ὁ Ἰησ. (B ὁ Χριστός) Ἡ ἀλήθ. ἐστ. (A add ὁ Χριστὸς ὁ) ἐκ τ. οὐρ. – – γηΐνην ἐξουσίαν cum AB .. C ἀπεκρ. ὁ Ἰησ. Ἐγώ εἰμι ἡ ἀλήθεια, ὃς λαλῶ τὴν ἀλήθειαν

IV, 1. εἰς τοῦτ. τ. ἄνθρωπ. cum A .. B ἐν τούτῳ τῷ ἀνθρώπῳ, C ἐν τῷ ἀνθρ. τούτῳ | Ἡμεῖς ἵνα εἴπωμεν cum AB .. C Ἐροῦμεν | εἶπεν ὅτι cum AB .. C ἔφη ὅτι | λέγει ὁ Πιλ. Καὶ (A om) – – καταλύσῃ (B -λύσει); εἶπ. οἱ Ἑβραῖοι (B Ἰουδαῖοι) – – ἐπὶ ἔτεσι (B ἐπὶ ἔτη) τεσσ. ἓξ cum AB .. C ὃν (prioribus omissis) ἔκτιζεν ὁ Σολομὼν (hoc accentu) ἐπὶ ἔτη τεσσ. ἓξ. καὶ ἀναστὰς ὁ ἀρ-

Digitized by Google

[2] Λέγει ὁ Πιλᾶτος ἰδίᾳ πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς γραμματεῖς καὶ τοὺς Φαρισαίους Παρακαλῶ ὑμᾶς, μηδὲν ποιήσατε κακὸν εἰς τοῦτον τὸν ἄνθρωπον. ἐὰν γὰρ ποιήσητε κακὸν εἰς τοῦτον, ἄδικα μέλλετε ποιήσειν· οὐ γάρ ἐστιν δίκαιον ἀποθανεῖν τοιοῦτον ἄνθρωπον, ὅστις ἐποίησεν ἀγαθὰ μεγάλα πρὸς πολλοὺς ἀνθρώπους. εἶπον ἐκεῖνοι πρὸς τὸν Πιλᾶτον Εἰ ὁ ἀτιμάσας, κύριέ μου, τὸν Καίσαρα ἄξιός ἐστι θανάτου, πόσῳ γε μᾶλλον οὗτος ὁ ἀτιμάζων τὸν θεόν.

[3] Τότε ὥρισεν ὁ Πιλᾶτος, καὶ ἐξῆλθον πάντες ἔξω. εἶτα λέγει τῷ Ἰησοῦ Τί θέλεις ποιήσω σοι; λέγει ὁ Ἰησοῦς τῷ Πιλάτῳ Ποίησον εἰς ἐμὲ ὅπως ἐστιν ὡρισμένον. λέγει ὁ Πιλᾶτος Πῶς ἐστὶν ὡρισμένον; ἀπεκρίθη Ἰησοῦς Ὁ Μωυσῆς καὶ οἱ προφῆται ἔγραψαν σταυρωθῆναί με καὶ ἀναστῆναι. ἀκούσαντες οἱ Ἑβραῖοι εἶπον πρὸς τὸν Πιλᾶτον Τί ζητεῖτε ἀκοῦσαι μεγαλωτέραν ὕβριν ἐξ αὐτοῦ πρὸς τὸν θεόν; λέγει ὁ Πιλᾶτος Ὕβρεως λόγος οὗτος πρὸς τὸν θεὸν οὐκ ἔστιν, ἐπεὶ ἐν ταῖς προφητικαῖς βίβλοις γράφεται. εἶπον οἱ Ἑβραῖοι Ἡ ἡμετέρα γραφὴ λέγει Ἐὰν πταίσῃ ἄνθρωπος πρὸς ἄνθρωπον, ἤγουν ἐὰν ὑβρίσῃ αὐτόν, ἄξιός ἐστιν ἵνα λαμβάνῃ μετὰ ῥάβδου πληγὰς τεσσαράκοντα· ἐὰν δὲ ὑβρίσῃ τις τὸν θεόν, ἵνα λιθοβολῆται.

[4] Τότε ἦλθε μηνυτὴς ἀπὸ τῆς Πρόκλης τῆς γυναικὸς Πιλάτου πρὸς αὐτόν· τὸ δὲ μήνυμα ἔλεγεν ὅτι πρόσεχε μὴ συγκα-

---

χιερεὺς λέγει τῷ Ἰησοῦ Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. λέγει Ἰησοῦς (non ὁ Ἰησ.) Σὺ εἶπας. τότε ὁ ἀρχιερεὺς διέσχισεν τὰ ἱμάτια αὐτοῦ λέγων ὅτι ἐβλασφήμησεν· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ

2. ἰδίᾳ cum A .. B κατ' ἰδίαν, C κατ' ἰδία | C πρὸς τοὺς ἀρχιερ. καὶ γραμμ. καὶ Φαρισ. | C om Παρακαλῶ -- ἐὰν γὰρ ποιήσητε (B -σετε) κακ. εἰς τοῦτ. (B εἰς τοῦτ. κακ.) -- ποιήσειν | C μεγάλα ἀγαθὰ εἰς πολλ. ἀνθρ. | C θανάτ. ἐστὶν | γε cum C .. AB om | ὁ ἀτιμάζων cum A .. B ὁ ἀτιμάσας .. C ὁ ὑβρίζων

3. C ὅρισεν | ὅπως ἐστὶν cum BC .. A ὅπερ ἐστὶν | λέγ. ὁ Πιλ. Πῶς ἐ. ὡρ. ἀπεκρ. Ἰησ. cum A .. BC nil nisi καὶ πάλιν ὁ Ἰησοῦς ἔφη | με καὶ ἀναστ. cum BC .. A κ. ἀναστ. με | ἀκούσ. οἱ Ἑβρ. cum A .. BC ἀκούσ. δὲ ταῦτα οἱ Ἰουδαῖοι (B Ἑβραῖοι) | ζητεῖτε cum A .. BC ζητεῖς | μεγαλωτέραν cum AB .. C μεγαλειοτέραν | λόγος οὗτος cum AC .. B (?) ὁ λ. οὗτ. | B πρὸς Θεόν | Ἐὰν πταίσῃ -- ὑβρίσῃ αὐτόν cum AB .. C Ἐὰν ὑβρίσει ἄνθρωπος ἄνθρωπον | C om ἄξιός ἐστιν | C ἵνα λαμβάνει | C εἰ δὲ τὸν Θε. ὑβρίσει τις | C λιθοβολεῖται, A -λίται

4. τὸ δὲ μήνυμα ἔλεγ. cum AB .. C nil nisi λέγων | ὅτι πρ. μὴ συγκ.

Digitized by Google

ταβῇς ἵνα γένηταί τι κακὸν εἰς τὸν Ἰησοῦν τὸν καλὸν ἄνθρωπον. ὅτι κατὰ ταύτην τὴν νύκταν φοβεροὺς ὀνείρους εἶδον δι' αὐτόν. ἔδωκεν δὲ ἀπολογίαν ὁ Πιλᾶτος πρὸς τοὺς Ἑβραίους λέγων ὅτι ἐὰν ἔχετε ὕβριν εἰς τὸν θεὸν τὸν λόγον ὃν λέγετε ὅτι εἶπεν ὁ Ἰησοῦς, λάβετε αὐτὸν καὶ κρίνατε ὑμεῖς κατὰ τὸν νόμον ὑμῶν. εἶπον οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ Ἡμεῖς θέλομεν ἵνα σταυρώσεις αὐτόν. λέγει ὁ Πιλᾶτος Οὐκ ἔστιν τοῦτο καλόν.

5 Στραφεὶς δὲ ὁ Πιλᾶτος πρὸς τὸν λαὸν εἶδε πολλοὺς κλαίοντας, καὶ εἶπεν Ἐμοὶ δοκεῖ ὅτι οὐκ ἔστι τοῦ λαοῦ παντὸς θέλημα τὸν ἄνθρωπον τοῦτον ἀποθανεῖν. λέγουσιν οἱ ἱερεῖς καὶ οἱ γραμματεῖς Ἡμεῖς διὰ τοῦτο τὸν λαὸν ἅπαντα ἠγάγομεν, ἵνα λάβῃς πληροφορίαν ὅτι πάντες τὸν θάνατον αὐτοῦ θέλουσιν. λέγει ὁ Πιλᾶτος Τί γὰρ κακὸν ἐποίησεν; εἶπον οἱ Ἑβραῖοι Βασιλέα ἑαυτὸν εἶναι λέγει καὶ υἱὸν θεοῦ.

Caput V.

1 Ἰουδαῖος οὖν θεοσεβὴς μέσον σταθεὶς ὀνόματι Νικόδημος εἶπεν πρὸς τὸν Πιλᾶτον Δέομαι τῆς μεγαλειότητός σου ἐᾶσαί με εἰπεῖν πρὸς σὲ ὀλίγα τινὰ ῥήματα. Εἰπέ, ἔφη ὁ Πιλᾶτος. λέγει ὁ Νικόδημος Ἐγὼ εἶπα τοῖς ἱερεῦσιν καὶ τοῖς Λευίταις καὶ τοῖς γραμματεῦσι καὶ τῷ λαῷ παρὼν ἐν τῇ συναγωγῇ Τίνα λόγον ἔχετε κατὰ τοῦ ἀνθρώπου τούτου; οὗτος ὁ ἄνθρωπος πολλὰ θαύματα ποιεῖ, ὅσα ἄνθρωπός ποτε οὐκ ἐποίησεν οὐδὲ μὴ ποιήσει. ἄφετε οὖν αὐτόν· καὶ εἰ μέν ἐστιν ἀπὸ θεοῦ ὅσα ποιεῖ, ἵστασθαι

ἵνα γένητ. (A λέγηται) -- τ. καλ. ἄνθρωπον (A τ. καλ. τὸν ἄνθρωπον, sed correctum est ἀνθρώπων, non mutato τόν) cum AB .. C Πρόσεχε τῷ δικαίῳ Ἰησοῦ μὴ συγκαταβῇς (omissum est ἵνα) γένηταί τι κακὸν εἰς αὐτόν | ταύτην cum BC .. A om | νύκταν cum AC | Ἑβραίους cum A .. BC Ἰουδαίους | λέγων (codex ὁ λέγ.) ὅτι ἐὰν ἔχετε ὕβριν εἰς τ. θ. τὸν λόγ. cum A .. BC Ἰδοὺ ἐὰν ἔχετε ὅτι ὕβρις ἐστὶ πρὸς τ. θ. τὸν λόγ. | εἶπον οἱ Ἰουδ. cum AB .. C λέγουσιν οἱ ἱερεῖς καὶ γραμματεῖς | ἵνα σταυρώσεις (B -σῃς) cum BC .. A ἵνα σταυρώσωμεν | C (item B?) ἔφη ὁ Πιλᾶτος

5. Στραφεὶς δὲ ὁ Πιλ. -- ὅτι οὐκ ἔστι (ita A; B οὐκ εἶναι) -- θέλουσιν. λέγει ὁ Πιλᾶτος cum AB .. C omnia om | εἶπ. οἱ Ἑβρ. cum A .. BC εἶπ. οὖν οἱ Ἰουδαῖοι

V, 1. Ἰουδ. οὖν μέσον σταθεὶς -- ἐᾶσαί με (A μοι) -- Εἰπέ, ἔφη ὁ Πιλ. (B ἔφ. ὁ Πιλ. Εἰπέ) -- ἐν τῇ συναγωγῇ Τίνα cum AB .. C nil nisi haec Ἰουδ. οὖν θεοσεβ. Νικόδημος ὀνόματι σταθεὶς μέσον πάντων ἔφη Τίνα | C om οὐδὲ μὴ ποιήσει | C om οὖν | εἰ μέν ἐστιν .. C om ἐστιν

Digitized by Google

μελλουσιν· εἰ δέ ἐστιν ἀπὸ ἀνθρώπων, καταλυθῆναι μέλλουσιν. Καθὼς ἐγένετο καὶ ὅταν ἀπέστειλεν ὁ θεὸς τὸν Μωυσῆν εἰς τὴν Αἴγυπτον, καὶ εἶπεν πρὸς αὐτὸν ὁ Φαραὼ βασιλεὺς τῆς Αἰγύπτου ἵνα ποιήσῃ σημεῖον, καὶ ἐποίησεν. εἶτα εἶχεν ὁ Φαραὼ καὶ μάγους δύο, τὸν Ἰαννῆν καὶ τὸν Ἰαμβρῆν, καὶ ἐποίησαν καὶ αὐτοὶ σημεῖα μαγικῇ τέχνῃ χρώμενοι, οὐχὶ δὲ ὅσα ἐποίησεν ὁ Μωυσῆς. εἶχον δὲ οἱ Αἰγύπτιοι τοὺς τοιούτους μάγους ὡς θεούς· διότι δὲ οὐκ ἦσαν ἐκεῖνοι ἐκ θεοῦ, κατελύθησαν ὅσα ἐποίησαν. οὗτος οὖν ὁ Ἰησοῦς τὸν Λάζαρον ἀνέστησεν, καὶ ζῇ. διὰ τοῦτο δέομαί σου, κύριέ μου, ἵνα μηδὲν παραχωρήσῃς φονευθῆναι τοῦτον.

[2] Ἐθυμώθησαν οἱ Ἑβραῖοι κατὰ τοῦ Νικοδήμου καὶ εἶπον αὐτῷ Τὴν ἀλήθειαν τοῦ Ἰησοῦ ἵνα παραλάβῃς καὶ μέρος ἵνα ἔχεις μετ' αὐτοῦ. λέγει ὁ Νικόδημος Ἀμὴν ἀμήν· γένοιτό μοι καθὼς λέγετε.

Caput VI.

[1] Ταῦτα εἰπόντος τοῦ Νικοδήμου ἕτερος ἐγερθεὶς Ἑβραῖος λέγει τῷ Πιλάτῳ Δέομαί σου, κύριέ μου Πιλᾶτε, ἄκουσον κἀμοῦ. ἀπεκρίθη ὁ Πιλᾶτος Εἰπὲ ὅ τι βούλῃ. λέγει ὁ Ἑβραῖος Ἐγὼ ἐκείμην ἀσθενῶν ἐπὶ κλίνης ἔτη τριάκοντα ὀκτώ, καὶ ἰδών με ἐλυπήθη καὶ εἶπέ μοι Ἐγείρου, ἆρον τὸν κράββατόν σου καὶ

C om εἰ δέ ἐστιν usque καταλυθ. μέλλ. | καὶ εἶπεν πρός cum BC .. A om καί | ὁ Φαραὼ βασ. τῆς Αἰγύπτου: BC om ὁ et τῆς | B (?) δύω | καὶ τὸν Ἰαμβρῆν: BC om τόν | καὶ ἐποίησαν καὶ αὐτοί: C om καί prius | οὐχὶ δὲ ὅσα -- κατελύθησαν ὅσα ἐποίησ. cum A .. BC καὶ κατελύθησαν (C ἐκατελύθησαν) αὐτῶν τὰ σημεῖα ὑπὸ τῆς Μωσαϊκῆς ῥάβδου, διότι οὐκ ἦσαν ἐκ θεοῦ, εἰ καὶ ὡς θεοὺς εἶχον τοὺς μάγους οἱ Αἰγύπτιοι | ἀνέστησεν: C add τεταρταῖον διὰ λόγου μόνου | καὶ ζῇ: C add τὰ ἔργα αὐτοῦ παρίστανται ἀληθινὰ πρὸς ἔλεγχον τοῦ φθόνου τῶν Φαρισαίων. | ἵνα μηδὲν παραχωρήσῃς: C μηδὲν (sic) παραχωρήσεις | φονευθ. τοῦτον cum AB .. C φονευθ. τὸν τοιοῦτον ἰατρὸν καὶ ζωοτρόφον

2. Ἐθυμώθησαν cum A .. BC add λιάν | οἱ Ἑβραῖοι cum AB .. C οἱ γραμματεῖς | τοῦ Ἰησοῦ: C om τοῦ | ἵνα ἔχεις: ita AC; B (?) ἵνα ἔχῃς | B ter habet ἀμήν | γένοιτό μοι (B om) καθ. λέγ. cum AB .. C om

VI, 1. Ταῦτα εἰπόντος τ. Νικ. cum AB .. C om | Ἑβραῖος cum AB .. C Ἰουδαῖος | κύριέ μου cum A .. BC om μου | ἀπεκρίθη usque ὁ Ἑβραῖος cum A .. BC om | καὶ ἰδών με cum BC .. A praem καὶ ἀκούων τὰ θαύματα ὅσα ἐποίει ὁ θεός, ἐκονόμισα (sic) καὶ ἤγαγόν με βαστακτῶς ἄνθρωποι μετὰ τοῦ κραββάτου ἔμπροσθεν αὐτοῦ | ἆρον cum BC .. A καὶ ἆρον (pergit τ. κράβατόν

Digitized by Google

ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ ἐν τῷ εἰπεῖν μοι τὸν λόγον ἠγέρθην καὶ περιεπάτουν. λέγουσιν οἱ Ἑβραῖοι Ἐρωτήσατε αὐτὸν ἐν ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος τοῦτο γέγονεν. λέγει ἐκεῖνος Ἐν σαββάτῳ. εἶπον οἱ Ἰουδαῖοι Καὶ λοιπὸν ἀληθῶς ἡμεῖς λέγομεν ὅτι τὸ σάββατον οὐ τηρεῖ.

2 Ἕτερος πάλιν σταθεὶς μέσον εἶπεν Ἐγὼ ἐγεννήθην τυφλός, καὶ πορευομένου τοῦ Ἰησοῦ κατὰ τὴν ὁδὸν ἐβόησα πρὸς αὐτὸν λέγων Ἐλέησόν με, κύριε, υἱὲ Δαυίδ. καὶ λαβὼν πηλὸν ἔχρισέ μου τοὺς ὀφθαλμούς, καὶ εὐθὺς ἀνέβλεψα. Ἕτερος εἶπε Κυλλὸς ἤμην, καὶ ἰδὼν αὐτὸν ἐβόησα Ἐλέησόν με, κύριε. καὶ λαβόμενός με τῆς χειρός, εὐθὺς ἠγέρθην. Ἄλλος εἶπεν Ἐγὼ λεπρὸς ἦν, καὶ ἰάσατό με μόνον διὰ λόγου.

Caput VII.

Εὑρέθη ἐκεῖ καὶ γυνὴ ὀνομαζομένη Βερονίκη καὶ εἶπεν ὅτι δώδεκα ἦν ἔτη ἐγὼ ἐν ῥύσει αἵματος, καὶ μόνον τοῦ ἱματίου αὐτοῦ τῆς ἄκρας ἥψάμην, καὶ εὐθὺς ἰάθην. λέγουσιν οἱ Ἰουδαῖοι Μαρτυρίαν γυναικὸς ὁ νόμος οὐ παραδέχεται.

Caput VIII.

Ἄλλοι ἄνθρωποι ἐβόησαν Οὗτος ὁ ἄνθρωπος προφήτης ἐστί, καὶ οἱ δαίμονες αὐτὸν φοβοῦνται. λέγει ὁ Πιλᾶτος Καὶ πῶς οὐδὲν ἐφοβοῦντο οὕτω καὶ τοὺς γονεῖς ὑμῶν οἱ δαίμονες; λέγουσιν ἐκεῖνοι Οὐ γινώσκομεν. Ἄλλοι πάλιν εἶπον Τὸν Λάζαρον τέσσαρας ἡμέρας ἔχοντα ἐν τῷ μνημείῳ διὰ μόνου λόγου ἀνέ-

σ.) | καὶ ἐν τῷ εἰπεῖν – – περιεπάτουν cum AB .. C καὶ εὐθὺς ἦρα τὸ κλινίδιόν μου καὶ ἀπῆλθον εἰς τὸν οἶκόν μου | λέγουσιν οἱ – – γέγονεν (B ἐγένετο) – – οὐ τηρεῖ cum AB .. C om (sed vide ad finem sectionis 2.)

2. Ἕτερος πάλιν στ. μέσον (B ἐν μέσῳ) – – ἰάσατό με μόνον διὰ λόγου cum AB .. C sic: Ὁμοίως καὶ ὅ ποτε τυφλὸς ἐκ γεννητῆς (sic, non γενετῆς) καὶ ὁ λεπρὸς καὶ ἕτεροι λεπροὶ καὶ παράλυτοι ἔκραζαν (sic) Διὰ λόγου μόνου τοῦ Ἰησοῦ ἰάθημεν. λέγουσιν οἱ γραμματεῖς Ἀλλὰ διὰ σαββάτου ἐποίησεν, καὶ τὸ σάββατον οὐ τηρεῖ.

VII. ἦν ἔτη cum BC .. A ἔτη ἦν | τοῦ ἱματ. αὐτ. τῆς ἄκρας cum AB .. C τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ | οἱ Ἰουδαῖοι cum AB .. C οἱ γραμματεῖς | C οὐ δέχεται

VIII. Ἄλλοι ἄνθρωποι cum AB .. C Ἄλλοι πάλιν θεοσεβεῖς | προφ. ἐστί cum AB .. C προφ. ἦν | καὶ οἱ δαίμονες – – οὕτω (A οὕτως post ὑμῶν) – – τέσσ. ἡμέρ. ἔχ. ἐν τῷ μνημείῳ (B τεταρταῖον ὄντα ἐν τῷ μνήματι) – – ἀκούσας

στησεν. ἀκούσας οὖν ὁ Πιλᾶτος τὴν ἀνάστασιν τοῦ Λαζάρου ἐφοβήθη, καὶ λέγει πρὸς τὸν λαόν Διὰ τί θέλετε ἵνα χύσητε αἷμα ἀνθρώπου δικαίου;

Caput IX.

[1] Εἶτα προσεκαλέσατο τὸν Νικόδημον καὶ τοὺς δώδεκα θεοσεβεῖς Ἰουδαίους καὶ εἶπε πρὸς αὐτούς Τί λέγετε ἵνα ποιήσω, ὅτι ὁ λαὸς ταράσσεται; λέγουσιν ἐκεῖνοι Οὐ γινώσκομεν· ὃ βούλῃ, ποίησον. ὁ λαὸς δὲ ὅσον ποιεῖ, ἀδίκως ποιεῖ ἵνα αἴρῃ τοῦτον. ἐξῆλθεν πάλιν ὁ Πιλᾶτος ἔξω καὶ λέγει πρὸς τὸν λαόν Οἴδατε ὅτι ἐν ταῖς ἑορταῖς τῶν ἀζύμων ἐστὶν σύνηθες ἵνα ἐλευθερῶ δι' ὑμᾶς ἕνα ἀπὸ τῶν κεκρατημένων εἰς φρουρὰν ὑπευθύνων. ἔχω οὖν ἕνα ἐν τῇ φυλακῇ κακοῦργον λῃστὴν λεγόμενον Βαραβᾶν, ἔχω καὶ τὸν Ἰησοῦν, ὅστις ποτὲ κακὸν οὐκ ἐποίησεν· τίνα οὖν ἐκ τῶν δύο θέλετε ἵνα ἀπολύσω ὑμῖν; ἀπεκρίθη ὁ λαός Ἀπόλυσον ἡμῖν τὸν Βαραβᾶν. λέγει ὁ Πιλᾶτος Τί οὖν ποιήσω τὸν Ἰησοῦν; λέγουσιν ἐκεῖνοι Σταυρωθήτω. πάλιν ἐβόησαν ἕτεροι ἐξ αὐτῶν Ἐὰν τὸν Ἰησοῦν ἀπολύσεις, οὐκ εἶ φίλος τοῦ Καίσαρος, διότι υἱὸν θεοῦ ἑαυτὸν ὀνομάζει καὶ βασιλέα. καὶ ἐὰν ἐλευθερώσεις αὐτόν, γίνεται βασιλεὺς καὶ μέλλει λαβεῖν τὴν βασιλείαν τοῦ Καίσαρος.

[2] Ἐθυμώθη οὖν ὁ Πιλᾶτος καὶ εἶπε Πάντοτε ἡ γενεὰ ὑμῶν ἦν διαβολικὴ καὶ ἄπιστος, καὶ ἀεὶ πρὸς τοὺς εὐεργέτας ὑμῶν ἦτε ἀντίδικοι. εἶπον οἱ Ἑβραῖοι Καὶ τίνες ἦσαν ἡμῶν εὐεργέται; λέγει ὁ Πιλᾶτος Ὁ θεὸς ἐλευθερώσας ὑμᾶς ἐκ τῶν χειρῶν Φαραώ,

---

οὖν (A ἀκ. ταῦτα) -- ἀνθρώπου δικαίου (B δίκαιον ἀνθρώπου) cum AB .. C ἐκ πέντε ἄρτων χιλιάδας ἔθρεψε πέντε, καὶ ἐν ἑπτὰ ἄρτοις χιλιάδας τέσσαρας· καὶ οἱ δαίμονες αὐτὸν φοβοῦνται. λέγει ὁ Πιλᾶτος Καὶ πῶς οὐδὲν ἐφοβοῦντο οὕτω καὶ τοὺς γον. ὑμ. τὰ δαιμόνια; καὶ ἀπόκρισιν οὐκ ἔδωκαν.

IX, 1. Εἶτα προσεκαλέσατο -- ὅσον ποιεῖ ἀδίκως ποιεῖ (A om ἀδίκ. ποι.) ἵνα αἴρῃ (A εὕρῃ, B εὕρωσι) τοῦτον (uterque codex τοῦτο) cum AB .. C om | ἐξῆλθεν πάλιν: C εἶτα ἐξῆλθ. πάλ. | Οἴδατε (A Οἶδα) -- ἐστὶν σύνηθες cum AB .. C Ἔθος ἐστὶν ἐν ταῖς ἑορτ. τ. ἀζύμων | ἔχω οὖν ἕνα cum A .. BC om ἕνα | Βαραβᾶν: A h. l. Βαρανβάν, sed infra Βαραβάν (hunc accentum et A et C habent) | C ἀπεκρ. ὁ ἀγνώμων λαός | C ἕτεροι ἐβόησαν | ἀπολύσεις cum C .. A (et B?) -λύσῃς | B ὀνομάζει ἑαυτόν | ἐλευθερώσεις (B -σῃς?) αὐτόν cum AB .. C αὐτ. ἀπολύσῃς | γίνεται cum BC .. A καὶ γέννηται (γεγένηται?)

2. εἶπ. οἱ Ἑβρ. cum AB .. C εἶπ. οὖν οἱ Ἰουδαῖοι | C ὁ ἐλευθερῶν ὑμᾶς | χειρ.

Digitized by Google

καὶ διαπεράσας ὑμᾶς τὴν ἐρυθρὰν θάλασσαν ὡς ἐπὶ ξηρᾶς, καὶ χορτάσας ὑμᾶς τὴν ὀρτυγομήτραν, ἐκ πέτρας ἀνύκμου ποτίσας τὸ ὕδωρ, καὶ ὁ δοὺς ὑμῖν νόμον, ἐν κατελύσατε τὸν θεὸν ἀρνησάμενοι· καὶ εἰ μὴ Μωυσῆς ἐστάθη παρακαλῶν τὸν θεόν, πικρῷ θανάτῳ ἂν ἐμέλλετε παραπολέσθαι. πάντων οὖν ἐκείνων ἐπελάθεσθε. οὕτω δὲ καὶ νῦν λέγετε ὅτι οὐδὲν ἀγαπῶ ἐγὼ τὸν Καίσαρα ἀλλ' ἔχω μῖσος εἰς αὐτόν, καὶ θέλω ἵνα ἐπιβουλεύσωμαι κατὰ τῆς βασιλείας αὐτοῦ.

3 Καὶ ταῦτα εἰπὼν ὁ Πιλᾶτος ἠγέρθη τοῦ θρόνου μετὰ θυμοῦ, θέλων φυγεῖν ἐξ αὐτῶν. ἔκραξαν οὖν οἱ Ἰουδαῖοι λέγοντες Ἡμεῖς τὸν Καίσαρα θέλομεν βασιλεύειν ἡμῶν, οὐ τὸν Ἰησοῦν, διότι ὁ Ἰησοῦς ἐδέξατο ἐκ τῶν μάγων χαρίσματα. καὶ ἤκουσε τοῦτο καὶ ὁ Ἡρῴδης ὅτι βασιλεὺς μέλλει γενέσθαι, καὶ ἠθέλησεν ἵνα φονεύσῃ αὐτόν, καὶ ἐν τούτῳ ἀπέστειλεν καὶ ἀπέκτεινεν πάντα τὰ βρέφη τὰ ἐν Βηθλεέμ. διὰ τοῦτο δὲ καὶ Ἰωσὴφ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ ἔφυγον ἀπὸ τοῦ φόβου αὐτοῦ εἰς τὴν Αἴγυπτον.

4 Ἀκούσας τοιγαροῦν ὁ Πιλᾶτος κατεσίγησε πάντα τὸν λαὸν καὶ λέγει Λοιπὸν οὗτός ἐστιν ὁ Ἰησοῦς, ὃν ἐζήτει ἵνα φονεύσῃ τότε ὁ Ἡρῴδης; λέγουσιν αὐτῷ Ναί. γνωρίσας οὖν ὁ Πιλᾶτος ὅτι τῆς ἐπικρατείας ἐστὶ τοῦ Ἡρῴδου, ὡς ἐκ τοῦ γένους καταγόμενος τῶν Ἰουδαίων ἀπέστειλεν πρὸς αὐτὸν τὸν Ἰησοῦν. ὃν ἰδὼν Ἡρῴδης ἐχάρη μεγάλως· ἦν γὰρ ἐπιθυμῶν ἰδεῖν αὐτὸν

Φαραώ cum BC .. A χ. τοῦ Φαρ. | θάλ. ὡς ἐπὶ ξηρᾶς (A ξηρῆς) cum AB .. C θάλ. διὰ ξηρᾶς | ὀρτυγομήτραν cum BC .. A μάννα ἐν ἐρήμῳ | ἐκ πέτρας -- τὸ ὕδωρ cum BC .. A καὶ ποτίσ. ὑμ. ὕδωρ ἐκ πέτρ. | καὶ ὁ δούς cum AB .. C καὶ διδούς | τὸν (C καὶ τὸν) θεόν'. . B om τόν | A ἂν (C om) ἐμέλλ. πάντες παρ. | ἐπελάθεσθε cum BC .. A add καὶ εἰς μετάνοιαν οὐκ ἔρχεσθε | οὕτω δέ: C om δέ | ὅτι: non est in ABC | οὐδέν cum BC .. A οὐδέ | θέλω ἵνα ἐπιβουλεύσωμαι cum AB .. C θέλω ἐπιβουλεύσομαι

3. τοῦ θρόνου: ita (absque ἀπό) AB .. C om | C om θέλ. φυγ. ἐξ αὐτ. | C ἔκραξ. οὖν πάλιν | C om ὁ Ἰησοῦς | ἐδέξ. ἐκ τ. μ. cum AC .. B ἐκ τ. μ. ἐδέξ. | καὶ ἤκουσε τ. κ. ὁ (B om) Ἡρῴδ: -- καὶ ἠθέλ. cum AB .. C τοῦτο ἀκούσας Ἡρ. -- ἠθέλ. | C ἵνα φονεύσει αὐτόν | A ἀπέκτειναν | διὰ τοῦτο δέ cum A .. BC om δέ | B καὶ ὁ Ἰωσ. ὁ | ἀπὸ τ. φ. αὐτοῦ (ita A*; A**B αὐτῶν) cum AB .. C om | C εἰς Αἴγυπτον

4. κατεσίγησε cum C .. AB praem τοὺς τοιούτους λόγους καὶ φοβηθείς | λέγει cum BC .. A εἶπε | ἐζήτει ἵνα φον. τότε ὁ Ἡρῴδ. cum A .. BC ἐζήτει τότε Ἡρῴδ. φονεῦσαι | ὡς ἐκ τοῦ γ. κ. τ. Ἰουδ. cum A .. BC om | BC τὸν Ἰησ. πρὸς αὐτ. | ὃν ἰδὼν -- μεγάλως cum A .. BC καὶ ἰδὼν αὐτὸν ὁ Ἡρῴδης

Digitized by Google

ἀπὸ πολλοῦ ἀκούων τὰ θαύματα ἃ ἐποίει. ἐνέδυσεν οὖν αὐτὸν ἱμάτια λευκά· εἶτα ἤρξατο αὐτὸν ἐρωτᾶν. ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. θέλων δὲ ὁ Ἡρῴδης ἰδεῖν καὶ θαῦμά τί ποτε γενόμενον παρὰ τοῦ Χριστοῦ καὶ μὴ ἰδών, ἀλλ' ὅτι οὐδὲ ἀπεκρίνατο πρὸς αὐτὸν τὸν τυχόντα λόγον, αὐτὸν ἀπέστειλεν αὖθις πρὸς τὸν Πιλᾶτον. τοῦτο ἰδὼν ὁ Πιλᾶτος εἶπε τοῖς ὑπηρέταις αὐτοῦ ἀγαγεῖν ὕδωρ. νιπτόμενος οὖν τὰς χεῖρας μετὰ τοῦ ὕδατος ἔφη πρὸς τὸν λαόν Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ καλοῦ ἀνθρώπου τούτου. ὑμεῖς ὄψεσθε ὅτι ἀδίκως φονεύεται, ἐπεὶ οὔτε ἐγὼ εὗρον ἐν αὐτῷ αἰτίαν, ἀλλ' οὔτε Ἡρῴδης· διὰ τοῦτο γὰρ ἔπεμψεν αὖθις τοῦτον πρὸς ἐμὲ ὄπισθεν. εἶπον οἱ Ἰουδαῖοι Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

5 Τότε ἐκάθισεν ὁ Πιλᾶτος εἰς τὸν θρόνον αὐτοῦ ἵνα ποιήσῃ ἀπόφασιν. ὥρισεν οὖν, καὶ ἦλθεν ἔμπροσθεν αὐτοῦ ὁ Ἰησοῦς. καὶ ἔφερον στέφανον ἐξ ἀκανθῶν καὶ ἔθηκαν ἐπὶ τὴν κεφαλήν

ἐχάρη λίαν | ἃ ἐποίει cum A . . sed BC haec add: οὐχ ὡς μέλλων τι κερδᾶναι (C κερδάναι) ψυχωφελὲς (C τι repetit ante ψυχ.) ὁ Ἡρῴδης ἐκ τῆς θέας τοῦ Ἰησοῦ, ἀλλ' ὅτι ἤκουεν ὅτι σοφός ἐστιν καὶ τερατουργός, ἐπεθύμει ἰδεῖν ἀλλόκοτον ἄνθρωπον καὶ ἀκοῦσαι αὐτοῦ τί λέγει, οὐχ ἵνα πιστεύσει (ita C; B -σῃ) | ἱμάτ. λευκά cum A . . BC add ἤγουν λαμπρὰν ἐσθῆτα | ἐρωτᾶν cum A . . BC add Πόθεν εἶ καὶ ποίου γένους | ἀπόκρ. οὐκ ἔδ. αὐτ. cum A . . BC ἐσιώπα. Iidem add εἱστήκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς κατηγοροῦντες αὐτόν | ἰδεῖν καὶ θαῦμα cum A . . BC praem αὐτόν | αὐτὸν (sed videtur potius ἀντ- scriptum esse) ἀπέστ. cum A . . BC praem ἐμπαίξας | τοῦτο (ita BC; A τοῦτον) ἰδών . . BC istis haec praem: καὶ ἐγένοντο φίλοι ὅ τε Πιλᾶτος καὶ Ἡρῴδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς. ὁ δὲ λαὸς ἔκραζε (B -ξε) πρὸς τὸν Πιλᾶτον λέγοντες (B λέγων) Σταυρωθήτω. λέγει ὁ Πιλᾶτος Τὸν βασιλέα ὑμῶν σταυρώσω; οἱ δὲ μεγάλως ἔκραζον Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. | ὑπηρέταις cum AB . . C στρατιώταις | νιπτόμενος οὖν: A praem καὶ οὗτοι ἔφερον | τοῦ καλοῦ (A add τοῦ) ἀνθρ. τούτ. cum A . . BC τοῦ δικαίου τούτου καὶ καλοῦ ἀνθρ. | φονεύεται: A praem τοῦτο | ἀλλ' οὔτε cum BC . . A οὐδέ | πρὸς ἐμέ cum A . . BC πρ. με | εἶπον cum A . . BC add οὖν

5. Τότε ἐκάθισεν cum A . . BC praem haec: οἱ δὲ ἀρχιερεῖς ἐθορυβοῦντο ἵνα τὸν Ἰησοῦν συντόμως ἀπολέσωσιν. τότε λέγει τῷ Ἰησοῦ ὁ Πιλᾶτος Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. λέγει ὁ Πιλᾶτος Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς Οὐκ ἔχεις (ita uterque) ἐξουσίαν κατ' ἐμοῦ οὐδεμίαν, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς μέ σοι μείζονα (C μείζων) ἁμαρτίαν ἔχει. | ὁ Πιλ. εἰς τ. θρ. αὐτ. cum AB . . C ἐν θρόνῳ ὁ Πιλ. | ἵνα ποιήσῃ (A -ήσι) ἀπόφ. cum AB . . C ἵνα ἀπόφασιν δῷ, et add (item B?) κατὰ τοῦ Ἰησοῦ | ἔμπροσθεν αὐτοῦ: A om αὐτοῦ | ἔθηκαν cum

Digitized by Google

αὐτοῦ καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ χεῖρα. εἶτα ἐποίησεν ἀπόφασιν, καὶ λέγει πρὸς αὐτόν Ἡ γενεά σου λέγει καὶ μαρτυρεῖ σε ὅτι θέλεις ἵνα βασιλεύσῃς· διὰ τοῦτο ὁρίζω ἵνα σε τύψωσι πρῶτον μετὰ ῥάβδου πληγὰς τεσσαράκοντα, καθὼς ὁρίζουσιν οἱ νόμοι τῶν βασιλέων, καὶ ἵνα σε ἐμπαίξωσι, καὶ τελευταῖον ἵνα σε σταυρώσωσιν.

Caput X.

[1] Τῆς τοιαύτης οὖν ἀποφάσεως γενομένης παρὰ τοῦ Πιλάτου ἤρξαντο οἱ Ἰουδαῖοι τύπτειν τὸν Ἰησοῦν, οἱ μὲν ῥάβδοις, οἱ δὲ χερσίν, οἱ δὲ ποσίν· οἱ δὲ καὶ εἰς τὸ πρόσωπον αὐτοῦ ἔπτυον. εὐθὺς οὖν κατασκευάσαντες τὸν σταυρὸν καὶ δόντες τοῦτον πρὸς αὐτὸν ἐπέταντο ὁδεύειν. καὶ οὕτω πορευόμενος, βαστάζων καὶ τὸν σταυρόν, ἦλθε μέχρι καὶ τῆς πύλης τῆς πόλεως Ἱεροσολύμων. ἀπὸ τῶν πολλῶν οὖν πληγῶν καὶ ἀπὸ τοῦ βάρους τοῦ σταυροῦ μὴ δυναμένου τούτου περιπατεῖν, ἐκ τῆς ἐπιθυμίας ἧς εἶχον οἱ Ἰουδαῖοι σταυρῶσαι αὐτὸν ὅσον τάχος, ἄραντες ἀπ' αὐτοῦ τὸν σταυρὸν ἔδωκαν αὐτὸν πρός τινα συναντήσαντα αὐτοῖς ὀνόματι Σίμωνα, ὅστις εἶχε καὶ δύο υἱούς, Ἀλέξανδρον καὶ Ῥοῦφον· ἦν δὲ ἀπὸ Κυρήνης τῆς πόλεως. ἔδωκαν οὖν πρὸς αὐτὸν τὸν σταυρόν, οὐχ ὡς ἐλεοῦντες τὸν Ἰησοῦν καὶ ἐλαφρύνοντες ἀπὸ τοῦ βάρους αὐτόν, ἀλλ' ἐπιθυμοῦντες, ὡς εἴρηται, φονεῦσαι αὐτὸν συντομώτερον.

A (-κεν) B .. C add μετὰ πυγμῆς | καὶ κάλαμον cum AB .. C praem καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτῷ (codex αὐτό) ἤγουν χλαμύδα κοκκίνην | ἵνα βασιλεύσῃς: C -σεις, A -ης | ἵνα σε τύψωσι πρῶτον cum AB .. C ἵνα δήσωσί σε ἐπὶ τὸν κίονα καὶ τύψωσι | A ἐμπαίξουσι

X, 1. τύπτειν τὸν Ἰησοῦν -- ἔπτυον cum A .. C (similiterque ut videtur B) τύπτειν τὸν Ἰησοῦν ἐπὶ τὸν νῶτον καὶ πᾶν μέλος, οἱ μὲν βουνεύροις, οἱ δὲ ῥάβδοις, ἄλλοι χερσίν, ἕτεροι ποσίν· οἱ δὲ εἰς τὸ πρόσωπον ἔπτυον, ἕτεροι ἐράπιζον ἐξ ὄπισθεν εἰς τὸ πρόσωπον, καὶ ἄλλοι ἔλεγον ἔμπροσθεν Προφήτευσον τίς ἐστιν ὁ παίσας σε· ἕτεροι γονυπετοῦντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων | καὶ δόντες τοῦτον cum A .. BC praem ὑπήγοντο πρὸς τὸ σταυρῶσαι αὐτόν | βαστάζων καὶ τὸν (C om) cum AC .. B καὶ βαστ. τόν | μέχρι καί cum A .. BC om καί | μὴ δυναμένου τούτου cum A .. BC μὴ δυνάμενον τοῦτον | ἐκ τῆς ἐπιθυμίας: BC praem οὗτοι | ἧς cum AC .. B ἣν | ὅσον τάχος cum A .. BC τάχος | πρός τινα (A om τινα): BC add Κυρηναῖον | Σίμωνα: BC add ἐξερχόμενον (C -μένου) ἀπ' ἀγροῦ | συντομώτερον: BC add ἠγγάρευσαν οὖν αὐτὸν τὸν Κυρηναῖον ἵνα ἄρῃ τὸν σταυρὸν αὐ-

Digitized by Google

[2] Ἠκολούθει οὖν ἐκεῖ ἐκ τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης.

Εἶτα φυγὼν ὑπάγει πρὸς τὴν θεοτόκον καὶ λέγει αὐτῇ Ποῦ ἦσθα καὶ οὐκ ἦλθες ἵνα ἴδῃς τί ἐγένετο; ἀπεκρίθη αὐτῇ Τί ἐστιν ὅπερ ἐγένετο; λέγει ὁ Ἰωάννης Γίνωσκε ὅτι ἐπίασαν οἱ Ἰουδαῖοι τὸν διδάσκαλόν μου καὶ ὑπάγουσιν ἵνα σταυρώσωσιν αὐτόν. ἀκούσασα τοῦτο ἡ μήτηρ αὐτοῦ ἔκραξε φωνῇ μεγάλῃ λέγουσα Υἱέ μου, υἱέ μου, τί ἄρα κακὸν ἐποίησας καὶ ὑπάγουσίν σε ἵνα σταυρώσουσιν; ἠγέρθη ὥσπερ ἐσκοτισμένη, καὶ ἀπέρχεται κλαίουσα κατὰ τὴν ὁδόν. ἠκολούθουν αὐτῇ καὶ γυναῖκες, ἥ τε Μάρθα καὶ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ Σαλώμη, καὶ ἕτεραι παρθένοι. ἦν δὲ καὶ Ἰωάννης μετ' αὐτῆς. ὡς οὖν ἔφθασαν εἰς τὸ πλῆθος τοῦ ὄχλου, λέγει ἡ θεοτόκος πρὸς τὸν Ἰωάννην Ποῦ ἔστιν ὁ υἱός μου; λέγει ὁ Ἰωάννης Ὁρᾷς ἐκεῖνον τὸν φοροῦντα τὸν στέφανον τὸν ἀκάνθινον καὶ τὰς χεῖρας δεδεμένον; ἀκούσασα ἡ θεοτόκος καὶ ἰδοῦσα αὐτὸν ὀλιγοψύχησε καὶ ἔπεσεν ἐξ ὀπίσω εἰς τὴν γῆν, καὶ ἔκειτο ἱκανὴν ὥραν· καὶ αἱ γυναῖκες ὅσαι ἠκολούθουν αὐτῇ ἱστάμεναι γύρωθεν αὐτῆς ἔκλαιον. ἀφ' οὗ δὲ ἀνέπνευσε καὶ ἠγέρθη, ἐβόησε φωνῇ μεγάλῃ λέγουσα Κύριέ μου, υἱέ μου, ποῦ

τοῦ. καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθὰ (-θὰ C, -θᾶ B) τόπον, ὅ ἐστι μεθερμηνευόμενον κρανίου τόπος.

2. Ἠκολούθει: A -λούθησαν (sic) | λέγει αὐτῇ (A αὐτήν) cum A .. C (similiterque B per totam hanc sectionem) λέγει μετὰ δακρύων Ὦ κυρία μου καὶ μῆτερ τοῦ διδασκάλου μου | ἦλθες ἵνα ἴ. τ. ἐγ. cum A .. C εἶδας τὸ συμβάν | αὐτῇ Τί -- ἐγέν. cum A .. C ἡ πάναγνος Τί ἐστιν, Ἰωάννη | λέγει ὁ Ἰω. Γίνωσκε -- σταυρώσ. αὐτόν cum A .. C ὁ δὲ μετὰ θερμῶν δακρύων καὶ οἰμωγῶν ἀπείρων ἔφη Τὸν φίλτατον υἱόν σου καὶ διδάσκαλόν μου ὑπάγουσιν οἱ ἀχάριστοι καὶ ἄθεοι Ἰουδαῖοι σταυρῶσαι αὐτόν· τὸν ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ἄμορφον ἐποιήσασι (sic) μετὰ δαρμῶν | ἀκούσασα -- σε (in codice deest) ἵνα σταυρώσουσιν cum A .. C ἀκούσ. τοῦτο ἡ θεοτόκος ἔκραξε μεγάλῃ τῇ φωνῇ Οἴμοι οἴμοι, υἱέ μου γλυκύτατε· τί γὰρ κακὸν ἐποίησας τοῖς Ἰουδαίοις καὶ ὑπάγουσίν σε σταυρῶσαι; | ἠγέρθη -- κατὰ τὴν ὁδόν cum A .. C ἐκαθέζετο δὲ καὶ ἠγέρθη ὡς ἐσκοτισμένη καὶ ἀπήρχετο δρομαία κλαίουσα κατὰ τ. ὁδ. | καὶ γυναῖκες: C add κλαίουσαι | C καὶ Σαλώμη | C τὸν ἀκάνθινον στέφανον | τὰς χεῖρ. δεδεμένον cum A .. C praem καὶ τὸ πρόσωπον μεμελανωμένον ἐκ τῆς πληγῆς τοῦ ἐξ (dele?) ἀκανθίνου στεφάνου καὶ τῶν ἐμπτυσμάτων. Praeterea A, non item C, post δεδεμένον add ἐκεῖνός ἐστιν | ἀκούσασα ἡ θεοτ. -- ἔκλαιον cum A .. C ἀκούσ. ἡ θεοτ. τὰς χεῖρας δεδεμένον καὶ ἰδ. αὐτὸν ὀλιγοψύχως ἔπεσεν ὄπισθεν χαμαὶ εἰς τὴν γῆν, καὶ ἔκειτο ἐπὶ ἱκανὴν ὥραν· καὶ αἱ -- ἱστάμεναι γύρ. αὐτῆς καὶ ἔκλαιον | ἀφ' οὗ δὲ -- φωνῇ μεγ. λέγουσα Κύριέ μου, υἱέ μου cum A .. C vero plurima de suo addit. Habet enim ita: ἀφ' οὗ δὲ ἀν. κ. ἠγέρθη, δραμοῦσα ὡς λέαινα ὑπὸ (potius ἀπό?) ἀγροῦ καὶ διαρρήξασα τὰ ἱμάτια αὐτῆς,

Digitized by Google

τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; πῶς ὑπομενῶ θεωρεῖν σε τοιαῦτα πάσχοντα; καὶ ταῦτα λέγουσα κατέξαινε μετὰ τῶν ὀνύχων τὸ πρόσωπον αὐτῆς καὶ ἔτυπτε τὸ στῆθος. ποῦ διέβησαν, ἔλεγε, τὰ ἀγαθὰ ὅσα ἐποίησας ἐν τῇ Ἰουδαίᾳ; τί κακὸν πρὸς τοὺς Ἰουδαίους ἐποίησας; οὕτως οὖν ἰδόντες αὐτὴν οἱ Ἰουδαῖοι θρηνοῦσαν καὶ κράζουσαν, ἦλθον καὶ ἐδίωξαν αὐτὴν ἀπὸ τῆς ὁδοῦ· ἡ δὲ οὐκ ἐπείθετο φυγεῖν, ἀλλ' ἔμενε λέγουσα ὅτι φονεύσατε ἐμὲ πρῶτον, Ἰουδαῖοι παράνομοι.

[3] Τότε ἀπεσώθησαν εἰς τὸν λεγόμενον Κρανίον τόπον, ὃς ἦν λιθόστρωτος, καὶ ἐκεῖ ἔστησαν οἱ Ἰουδαῖοι τὸν σταυρόν. ἔπειτα ἐξέδυσαν τὸν Ἰησοῦν, καὶ ἔλαβον τὰ ἱμάτια αὐτοῦ οἱ στρατιῶται καὶ διεμερίσαντο ταῦτα πρὸς ἑαυτούς, αὐτῷ δὲ ἐνέδυσαν ῥάσον κόκκινον, καὶ ἀνεβίβασαν αὐτὸν καὶ ἐκάρφωσαν ἐν

οὐρανολόξως (?) ὑπεβλέπετο τοὺς Ἰουδαίους λέγουσα Δότε μοι ἄνδρες ὀδὸν περιπατῆσαι καὶ περιπλακῆναι τῷ τραχήλῳ τοῦ ἀρνίου μου· δότε μοι ἄνδρες τόπον ὅπως κλαύσω τὸν παμφίλτατον υἱόν μου, τὸ ἀρνίον τῆς ψυχῆς μου· δότε μοι ἄνδρες τόπον [ἵνα] τύχω τὸ ϑυλλαγγάλακτον (?) τῶν μασϑῶν μου· δότε ἄνδρες τόπον ὅπως ϑεωρήσω καὶ κλαύσω τὸν γλυκύτατον υἱόν μου. καὶ τὸ στῆϑος αὐτῆς τύπτουσα ἐβόα λέγουσα Οἴμοι οἴμοι, γλυκύτατε υἱέ, φῶς τῶν ἐμῶν ὀφϑαλμῶν, παμβασιλεῦ. οἴμοι οἴμοι, πῶς ὑπομενῶ ϑεωρῶν σε ἐν σταυρῷ κρεμάμενον; οἴμοι οἴμοι, ποῦ μοι τοῦ Γαβριὴλ τὰ εὐαγγέλια; δεῦτε πάντες κλαύσατε τὴν τετραυματισμένην μου ψυχήν, ὅτι τὸν μονογενῆ μου υἱὸν καὶ γλυκύτατον βλέπω ἀπαγόμενον ὡς ἀρνίον ἄκακον ἐπὶ σταυροῦ καὶ ὡς κατάδικον ταῖς χερσὶ δεδεμένον, καὶ τὸν τανύσαντα τὸν οὐρανὸν ὡσεὶ δέρριν ὡς λῃστὴν μετὰ λῃστῶν ἀπαγόμενον. δεῦτε ἀκούσατε λαοὶ φυλαὶ καὶ γλῶσσαι, τοιοῦτον ἄδικον ϑάνατον δίδουν (sic) τοῦ υἱοῦ μου. καὶ πάλιν γεγωνοτέρᾳ φωνῇ ἐβόα λέγουσα Υἱέ μου, υἱέ μου γλυκύτατε | Ποῦ τὸ κάλλος -- πάσχοντα cum A .. C sic: Ποῦ σου τὸ κάλλος ἔδυ τῆς μορφῆς; πῶς ἀγνώριστος φαίνῃ μοι· ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνϑρώπων ἦς (codex ἦν) πρότερον, νῦν δὲ ἀγνώριστος εἶ (codex εἴη), γλυκύτατε. πῶς ὑπομενῶ ϑεωρῶν σε τοιαῦτα πάσχοντα; | καὶ ταῦτα λέγουσα -- καὶ (codex om) ἔτυπτε -- πρὸς τ. Ἰουδ. ἐποίησας cum A .. C καὶ ταῦτα λέγουσα ἔτυπτε τὸ στῆϑος αὐτῆς καὶ δακρυρροοῦσα μετὰ οἰμωγῶν βαρέων λέγουσα Ποῦ ἔδυ, υἱέ μου, τὰ ἀγαϑὰ ὅσα ἐποίησας ἐν τῇ Ἰουδαίᾳ; τί γὰρ κακόν, υἱέ μου γλυκύτατε, πρὸς τοὺς ἀχαρίστους Ἰουδαίους ἐποίησας; ἀντὶ ἀγαϑῶν κακὰ ἔλαβες· ἀντὶ τοῦ ἀγαπᾶν σε, υἱέ μου παμφίλτατε, τὸν ψόγον προσεφέρασι (sic) καὶ σταυρῷ σε προσηλῶσαι βούλονται. οἴμοι, οἴμοι. | ἐδίωξαν cum A .. C ἐδίωκον | ὅτι φονεύσατε: C om ὅτι

3. Τότε ἀπεσώϑησαν (ita B; A ἀπεσύϑησαν; C ἔσωσαν) -- Κρανίον (ita A; C κρανίου) -- τὸν σταυρόν | ἔπειτα ἐξέδυσαν τὸν Ἰησοῦν -- ἕκτῃ τῆς ἡμέρας cum A .. C vero in hunc modum exaggerata habet: καὶ ἐξέδυσαν τὰ ἱμάτια αὐτοῦ, καὶ διεμερίσαντο ταῦτα οἱ στρατιῶται πρὸς ἑαυτούς, καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄραφος ἐκ τῶν ἄνωϑεν ὕφαντος δι' ὅλου· εἶπον οὖν πρὸς ἀλλήλους οἱ στρατιῶται Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται. τοῦτο

τῷ σταυρῷ ὥρᾳ ἕκτῃ τῆς ἡμέρας. μετὰ ταῦτα ἔφερον καὶ δύο λῃστάς, τὸν μὲν δεξιᾷ αὐτοῦ, τὸν δὲ ἀριστερᾷ.

4 Τότε ἡ θεοτόκος ἱσταμένη καὶ βλέπουσα ἔκραξέ φωνῇ

ὅλον γέγονεν ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλλον κλῆρον. καὶ γονυπετοῦντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτὸν λέγοντες Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων. καὶ ἐμπτύσαντες αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτόν, τότε αὐτὸν ἐσταύρωσαν. ἦν δὲ ὥρα ἕκτη τῆς ἡμέρας, παρασκευῆς οὔσης, ὅτε ἀνεβίβασαν αὐτὸν ἐν τῷ σταυρῷ καὶ ἐκάρφωσαν τανύσαντες τὰς παναχράντους αὐτοῦ χεῖρας, ὡς ἦν δυνατόν, καὶ τοὺς πόδας αὐτοῦ σύραντες κάτωθεν. Praeterea C h. l. add Ὁ δὲ Πιλᾶτος ἔγραψε τίτλον, καὶ ἐπέθηκεν (cod. ἐπέθηκαν) ἐπάνω αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην γράμμασιν ἑλληνικοῖς καὶ ῥωμαϊκοῖς (perperam additum est Ἰουδαίων) καὶ ἑβραϊκοῖς λέγων Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων. οἱ δὲ ἀρχιερεῖς ἔλεγον Μὴ γράφε οὕτως, ἀλλ' ὅτι αὐτὸς εἶπεν (sic). ὁ δὲ Πιλᾶτος ἔλεγεν Ὃ γέγραφα, γέγραφα. | μετὰ ταῦτα ἔφερον -- ἀριστερᾷ cum A .. C τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν ὀνόματι Δυσμᾶς, καὶ εἷς ἐξ εὐωνύμων ὀνόματι Γίστας. οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες Οὐαὶ ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτὸν καὶ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων λέγοντες Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι, ὁ Χριστὸς ὁ υἱὸς (? βασιλεύς?) τοῦ Ἰσραήλ· καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.

4. Τότε ἡ θεοτόκος -- Υἱέ μου, υἱέ μου cum A .. horum loco C longas Mariae lamentationes habet. Legitur enim ibi sic: Καὶ ταῦτα πάλιν ἀκούσασα ἡ θεοτόκος λυπουμένη καὶ ἐκ βάθους κράξασα Ὦ πόποι (praeterea additur quod corruptum est μ'ἐγόντος), καὶ πρὸς τὸν ἀρχάγγελον ἔλεγεν Ὦ Γαβριήλ, ποῦ εἶ ἵνα δικάσομαι μετὰ σοῦ; ποῦ μοι τὸ Χαῖρε ὃ ἔφης; πῶς οὐκ εἶπές μοι ἔκτοτε τὰ ἄμετρα βάσανα τοῦ γλυκυτάτου καὶ φιλτάτου μου υἱοῦ, καὶ [τοῦ] μονογενοῦς τὸν ἄδικον θάνατον; πῶς οὐκ εἶπές μοι τὴν ἀπαραμύθητον θλῖψιν .... (quae sequuntur corrupta sunt; scripta enim ita sunt: τῆς ἐμῆς μόνης μοῦ ἀγαπητοῦ υἱοῦ); πῶς οὐκ εἶπές μοι τὸ ἀνεκδιήγητον καὶ τεθλιμμένον χωρισμὸν τοῦ σπλαγχνικοῦ μου υἱοῦ καὶ τὴν στέρησιν τῶν ἐσκοτισμένων μου ὀφθαλμῶν; πῶς τότε οὐκ εἶπές μοι τὴν πανεπίβουλον παράδοσιν τοῦ υἱοῦ μου παρὰ τοῦ δολίου καὶ παρανόμου Ἰούδα τοῦ μαθητοῦ καὶ ἐπιβούλου; κύριε ἐλέησον. πῶς οἱ τετυφλωμένοι καὶ ἐσκοτισμένοι μου ὀφθαλμοὶ βλέπουσι τοσαῦτα βάσανα τοῦ γλυκυτάτου καὶ σπλαγχνικωτάτου μου υἱοῦ; τίς ἐν πάσῃ τῇ οἰκουμένῃ εἶχεν τοιούτους πόνους, καὶ εὑρεθῇ κατασβέσαι μου τοὺς τοιούτους βαρυτάτους πόνους καὶ στεναγμοὺς τοῦ χωρισμοῦ τοῦ μονογενοῦς μου υἱοῦ καὶ θεοῦ; οἴμοι οἴμοι, υἱέ μου παμφίλτατε. ποῦ καταφύγω ἢ ποῦ προσδράμω; οἴμοι, τέκνον, οἴμοι. καὶ πῶς φανήσομαι τοῖς ἀνθρώποις (corrupte additur τῆς τοσαύτης λυπημένης καὶ παραπονεμένης); τί εἶχον λέγειν καθ' ἑαυτῶν ὑπὲρ ἐμέ; οἴμοι, αὕτη ἐστὶν τοῦ (in codice scriptum est τοῦτόδυνος) κεκριμένου μήτηρ, ὅσπερ ἐκαλεῖτο βασιλεὺς καὶ υἱὸς τοῦ θεοῦ. οἴμοι, γλυκύτατε υἱέ μου, πῶς ἔχω μνησθῆναι τῆς ἀμέτρου καὶ σπλαγχνικῆς σου ἀγάπης; ἀλλ' ἕως θανάτου ἔστωσαν ἐν ἐμοὶ λύπη, θλίψεις, πόνοι, δάκρυα καὶ στεναγμοὶ ἀπαραμύθητοι. καὶ οὐκ ἔστιν ἐν ἐμοὶ παρηγορία, υἱέ μου, οὐδεμία, ὅτι, ἄρτι βλέπω, χωρίζομαι ἀπὸ σοῦ. καὶ λοιπόν, υἱέ μου,

Digitized by Google

μεγάλῃ λέγουσα Υἱέ μου, υἱέ μου. Καὶ στραφεὶς πρὸς αὐτὴν ὁ Ἰησοῦς καὶ ἰδὼν τὸν Ἰωάννην πλησίον αὐτῆς καὶ κλαίοντα μετὰ τῶν λοιπῶν γυναικῶν εἶπεν Ἰδοὺ ὁ υἱός σου. ἔπειτα λέγει καὶ πρὸς τὸν Ἰωάννην Ἰδοὺ ἡ μήτηρ σου. Ἡ δὲ ἔκλαιε μεγάλως λέγουσα Διὰ τοῦτό σε κλαίω, υἱέ μου, ὅτι πάσχεις ἀδίκως, ὅτι σε παρέδωκαν οἱ παράνομοι Ἰουδαῖοι εἰς πικρὸν θάνατον. χωρὶς σοῦ, υἱέ μου, τί ἐγὼ γενήσομαι; πῶς ζήσω χωρὶς σοῦ; ποταπὴν βιοτὴν διάξω; ποῦ οἱ μαθηταί σου οἱ καυχώμενοι συναποθνήσκειν σοι; ποῦ οἱ παρὰ σοῦ ἰαθέντες; πῶς οὐχ εὑρέθη τις βοηθῆσαί σοι; Καὶ πρὸς τὸν σταυρὸν ἀφορῶσα ἔλεγε Κλῖνον σταυρέ, ἵνα περιλαβοῦσα τὸν υἱόν μου καταφιλήσω τὸν ἐμὸν υἱόν, ὃν ἐν τοῖς μασθοῖς τούτοις ξενοτρόπως ὡς μὴ ἄνδρα γνῶσα ἐθήλασα. κλῖνον σταυρέ, βούλομαι τῷ υἱῷ μου περιπλακῆναι· κλῖνον σταυρέ, ἵνα τῷ υἱῷ μου ὡς μήτηρ συντάξωμαι. Ταῦτα ἀκούοντες οἱ Ἰουδαῖοι προσελθόντες ἐδίωξαν καὶ αὐτὴν καὶ τὰς γυναῖκας καὶ τὸν Ἰωάννην μακράν.

ἀποθανοῦμαι κἀγὼ ἅμα σὺν σοί, καὶ ἐλθέτω, δέομαί σου υἱέ, ὁ ἀρχάγγελος Γαβριὴλ ὁ δόσας μοι πρῶτον τότε χαράν, καὶ συνζεύξει τὴν ψυχήν μου μετὰ σοῦ. πάλιν ἔκραξε φωνῇ μεγάλῃ μετὰ οἰμωγῶν [καὶ] δακρύων καὶ ἀτενίζουσα πρὸς αὐτόν Υἱέ μου, υἱέ μου, τί πέπονθα οὕτως αἰφνιδίως; τί γένωμαι χωρὶς σοῦ, υἱέ μου; | Καὶ στραφεὶς -- Ἰδοὺ ἡ μήτηρ σου cum A .. C τότε στραφεὶς πρὸς τὴν μητέρα ὁ Ἰησοῦς καὶ ἰδὼν τὴν μητέρα καὶ τὸν ἀγαπητὸν μαθητὴν Ἰωάννην ἱστάμενον πλησίον αὐτῆς καὶ κλαίοντα μετὰ τῶν λοιπῶν γυναικῶν, εἶπε πρὸς τὴν θεοτόκον ὁ Ἰησοῦς Γύναι, ἰδοὺ ὁ υἱός σου· ἔπειτά φησι πρὸς τὸν Ἰωάννην Ἰδοὺ ἡ μήτηρ σου | Ἡ δὲ ἔκλαιε -- βοηθῆσαί σοι cum A .. C ἡ δὲ θεοτόκος κλαίων (sic) ἐκραύγαζεν Διὰ τ. σε κλ., υἱέ μου, διότι σε παρέδωκαν οἱ παράν. Ἰουδ. εἰς πικρὸν καὶ ἄτιμον θάνατον, ὡς ἐκεῖνοι νομίζουν (sic)· ἀλλ' ὁ θάνατός σου, υἱέ μου, ἅγιος καὶ δίκαιος καὶ σωτηρία τοῦ κόσμου παντὸς εὑρεθήσεται. ἐκτὸς σοῦ, υἱέ μου, ποταπὴν βιοτὴν διάξω; | Καὶ πρὸς τὸν σταυρὸν -- βούλομαι (codex uterque βουλομένη) -- συντάξωμαι cum A .. C καὶ πρ. τ. σταυρ. ἀφορ. ἔλεγεν Κλῖνον στ., ἵνα περιλαβοῦσα τὸν υἱ. μου καὶ καταφιλήσω τὰ σπλάγχνα μου, τὰ φύλλα τῆς καρδίας μου, ὃν ἐν τοῖς μασθοῖς τούτοις ξενοτρόπως ὡς μὴ ἄ. γν. ἐθήλασα. κλῖνον στ., βουλομένη τῷ φιλτάτῳ μου υἱῷ περιπλ. κλ. στ., ἵνα τῷ ποθεινοτάτῳ μου υἱῷ ὡς μήτηρ συντάξωμαι (codex συντάξαι) καὶ καταφιλήσω. Practereaque add Ποῦ τὸ κάλλος σου, υἱέ μου γλυκύτατε; ποῦ σου ἡ εὐπρέπεια, υἱέ μου παμφίλτατε; ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, οὐκ ἔχεις εἶδος οὐδὲ κάλλος, υἱέ μου γλυκύτατε, ὑπὸ χειρῶν ἀνόμων. λοιπὸν σὺν σοὶ θανοῦμαι. | Ταῦτα ἀκούοντες οἱ (C add μισόθεοι) Ἰουδ. πρ. ἐδ. καὶ (C om) αὐτὴν καὶ -- μακράν cum AC. Sed C add Τότε ἡ πάναγνος ἀλαλάξασα (cod. -λάξας) ἔλεγεν Οἴμοι οἴμοι, υἱέ μου, οὐδὲ καθ' (sic) ὅψιν ἀφιοῦμαι βλέπειν σε. οἴμοι οἴμοι, τί εἴπω εἰς τὴν μισοθείαν (sic) τῶν ἀμνήμων Ἰουδαίων; πάντες (sic) μητέρες, συνκλαύσατέ μοι μόνῃ, τῇ μόνῃ ἀγαπητῇ

Digitized by Google

5 Ἔπειτα ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων Πάτερ, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. ἔπειτα λέγει Διψῶ. καὶ εὐθὺς ἔδραμεν εἷς ἀπὸ τῶν στρατιωτῶν καὶ λαβὼν σπόγγον καὶ πλήσας αὐτὸν χολῆς καὶ ὄξους μεμιγμένον καὶ θεὶς ἐπὶ καλάμου ἐπότιζε τὸν Ἰησοῦν. καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. οἱ δὲ Ἰουδαῖοι οἱ ἱστάμενοι καὶ βλέποντες κατεγέλων αὐτὸν καὶ ἔλεγον Ἐὰν ἀληθῶς ἔλεγες ὅτι υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, καὶ παρευθὺς ἵνα πιστεύσωμεν εἰς σέ. ἕτεροι ἔλεγον καταγελῶντες Ἄλλους ἔσωσεν, ἄλλους ἐθεράπευσεν, καὶ ἰάσατο ἀσθενεῖς, παραλελυμένους, λεπρούς, δαιμονιζομένους, τυφλούς, χωλούς, νενεκρωμένους, καὶ ἑαυτὸν οὐ δύναται θεραπεῦσαι.

6 Ὡσαύτως καὶ ὁ ἐν τῷ ἀριστερῷ αὐτοῦ μέρει ἐσταυρωμένος λῃστὴς πρὸς αὐτὸν ἔλεγεν Ἐὰν τοῦ θεοῦ υἱὸς εἶ, κατάβηθι καὶ σῶσον καὶ ἑαυτὸν καὶ ἡμᾶς. ὄνομα αὐτῷ ἦν Γίστας. ὁ δὲ ἐκ δεξιῶν ἐσταυρωμένος ὀνόματι Δυσμᾶς ὠνείδιζε τὸν αὐτὸν λῃστὴν λέγων Ταλαίπωρε καὶ ἄθλιε, οὐ φοβῇ τὸν θεόν; ἡμεῖς ἄξια ὧν ἐπράξαμεν ἐπάθομεν· οὗτος δὲ πάντως οὐδὲν κακὸν ἔπραξε. καὶ στραφεὶς πρὸς τὸν Ἰησοῦν λέγει αὐτῷ Κύριε, ὅταν βασιλεύ-

---

μητρὶ τοῦ υἱοῦ μου (pergit καὶ ἐμῆς μόνης υἱοῦ ἀγαπητοῦ). συνκλαύσατέ μοι, πάντες (sic) φυλαὶ καὶ γλῶσσαι. τὴν παρθενίαν ἐφύλαξα (codex φυλάξας), μὴ τύχω τὰς λύπας τῶν μητέρων· κἀγὼ δὲ ὑπερῆρα πάντας (sic) τὰς μητέρας κλαυθμοῖς τε καὶ ὀδυρμοῖς.

5. Ἔπειτα ἐβόησεν ὁ Ἰησ. (C Ὁ δὲ Ἰησ. ἐβό.) -- στήσῃς (C στήσεις) -- ποιοῦσιν (C add οἱ ἄθλιοι) -- εἷς ἀπὸ (C om) τῶν στρ. cum AC | καὶ λαβὼν σπόγγον -- οὐκ ἤθελε πιεῖν cum C; in A enim textus corruptus est in hunc modum: καὶ ἐγέμισεν ἀγγίον καὶ λαβὼν ὄξους (ἀγγεῖον ὄξους καὶ λαβών?) καὶ θεὶς (adde ἐπί?) καλάμου ἐπότιζεν αὐτόν. Reliqua καὶ γευσ. -- πιεῖν A non habet. | C κατεγέλουν | Ἐάν ex C est; A om | καὶ παρευθὺς -- εἰς σέ cum A . . C καὶ πιστεύσωμέν σοι | C om ἕτεροι ἔλεγ. καταγελ. | χωλούς ex C est . . A om

6. αὐτοῦ μέρει: C om αὐτοῦ | λῃστής: C add ἦγουν ὁ Γίστας, sed om πρ. αὐτ. ἔλεγεν | C κατάβηθι ἀπὸ τοῦ σταυροῦ καὶ σῶσον σεαυτὸν καὶ ἡμᾶς. Tum om ὄνομα -- Γίστας | C ὁ δὲ ἐκ δεξιῶν λῃστὴς ὁ Δυσμᾶς | C Ὦ ἄθλιε καὶ ταλαίπ., οὐ φοβεῖ τ. Θ.; ἡμεῖς γὰρ ἄξια ὧν ἐπράξαμεν ἀπελάβομεν· οὗτος δὲ π. οὐδ. κ. ἐποίησεν οὔτε ἔπραξεν. Praeterea idem perperam addita habet haec: οὐκ οἶδας ἄθλιε τὸν ἥλιον σκοτισθέντα καὶ τὴν σελήνην ἐφ' ὅλην τὴν οἰκουμένην ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης; τὸ καταπέτασμα τοῦ ναοῦ σχισθέντα (sic); | C om αὐτῷ | Κύριε, ὅταν -- ἀληθειαν (post ἀληθειαν in codice pergitur ὅτι ἐν τῇ βασιλείᾳ μου, ἵνα σε ἔχω etc, ex quibus priora ὅτι ἐν

Digitized by Google

σης, μή μου ἐπιλάθου. ὁ δὲ εἶπεν αὐτῷ Σήμερον, λέγω σοι ἀλήθειαν, ἵνα σε ἔχω εἰς τὸν παράδεισον μετ' ἐμοῦ.

Caput XI.

[1] Ἔπειτα ὁ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, ἀπέπνευσε. καὶ παραυτίκα ἦν ἰδεῖν τὰς πέτρας σχιζομένας· σεισμὸς γὰρ ἐγένετο εἰς τὴν γῆν ἅπασαν, καὶ τοῦ σεισμοῦ σφοδροῦ καὶ μεγάλου γεγονότος ἐσχίζοντο καὶ αἱ πέτραι. ἠνοίγοντο καὶ τὰ μνημεῖα τῶν νεκρῶν, καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη, καὶ σκότος

τ. β. μ. ex margine irrepsisse in textum videntur, nisi aliquid excidit) -- μετ' ἐμοῦ cum A .. C Μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ὁ δὲ Ἰησοῦς εἶπ. αὐτῷ Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Iam sequitur in codice C narratio de Iesu infante cum parentibus in praedonem Dysmam incidente, tam ieiuna illa quidem tamque vitiose et corrupte scripta ut paucis eam excerpere quam totam exscribere praestet. Incipit his: οὗτος ὁ λῃστὴς ὁ Δυσμᾶς εἰς τὴν γέννησιν Χριστοῦ, ὃ ἐστιν εἰς χρόνους λγ', ὅταν φωνὴ ἐξῆλθεν ὑπὸ ἀγγέλου τῷ Ἰωσὴφ ἵνα ἄρῃ τὸ βρέφος καὶ τὴν μητέρα αὐτοῦ etc. Pergitur de itinere Egyptiaco, in quo prope iam ad fines Egypti Maria cum Iosepho esuriens allocuta esse dicitur palmam (φοινικαίαν κάρπιμον καὶ πάνυ ὡραίαν) Κλῖνε δένδρον μου καλὸν καὶ χάρισόν μοι ἐκ τοῦ σοῦ ὡραιοτάτου καρποῦ. Additur καὶ εὐθὺς ἔκλινεν, καὶ ἐλάβασιν ἀπὸ τοῦ καρποῦ ὅσον ἤθελον. καὶ πάλιν ἕστατο τὸ δένδρον ὡς καὶ πρότερον. Iam vero incidunt in Dysmam praedonem (καὶ διερχόμενοι μικρὸν ἔμπροσθεν συνήντησαν τούτου τοῦ λῃστοῦ τοῦ λεγομένου Δυσμᾶ). Iste pulchritudine Mariae tactus eam cum infante (ἐν ὠλέναις αὐτῆς) adorasse et exclamavisse dicitur Εἰ γὰρ μητέρα εἶχεν θεός, εἶχον ἂν εἰπεῖν ὅτι σὺ εἶ. Recipit autem sanctam familiam in domum suam, et exiens venatum vehementer commendat uxori suae. Huic est filius leprosus, semper plorans, qui aqua de lavacro Iesu ablutus extemplo sanatur. Quam rem Dysmas a venatione reversus maxime miratus Mariam omni modo veneratur et in itinere adiuvat. Nec minus resipiscens ipse adest redeunti ex Egypto, ita ut Maria ei benedicat et remunerationem officiorum ei factum iri promittat. Quam remunerationem revera locum habuisse, significatur his: διὰ τοῦτο ἠξιώθη καὶ ἐν τούτῳ διὰ τῆς χάριτος τοῦ ἐλεήμονος θεοῦ καὶ τῆς αὐτοῦ μητρός -- ἵνα μαρτυρήσει ἐν τῷ σταυρῷ ἅμα σὺν Χριστῷ. Narratio exit repetitis verbis latronis et Iesu de cruce pendentium.

XI, 1. Ἔπειτα -- ἀπέπνευσε cum A .. C Τότε ὁ Ἰησ. κρ. φ. μ. εἶπε Πάτερ, εἰς χεῖράς (A χειρά) σου π. τὸ πν. μ., καὶ μετὰ τοῦ λόγου ἀπέπν. | καὶ παραυτίκα -- ἕως ἐννάτης ἐγένετο cum A .. B (ab hoc enim loco rursus huius codicis textum Thilo attulit) C ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ παραυτίκα σεισμὸς ἐγένετο μέγας εἰς τὴν γῆν ἅπασαν, ὥστε πᾶς ὁ κόσμος ἔφριξε, καὶ ἀπὸ τοῦ (B om) σφοδροῦ σεισμοῦ ἐσχίζοντο αἱ πέτραι. ἠνοίγοντο καὶ (C om) τὰ (C om) μνημεῖα τῶν νεκρῶν (C om τ. νεκρ.) καὶ πολλὰ σώματα τῶν δικαίων ἠγέρθησαν. καὶ (C om) ἐσκοτίσθη ὁ ἥλιος καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη μέσον, καὶ

Digitized by Google

ἀπὸ ἕκτης ὥρας ἕως ἐνάτης ἐγένετο. καὶ τούτων πάντων γινομένων φοβηθέντες οἱ μὲν Ἰουδαῖοι ἔλεγον ὅτι ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Λογγῖνος δὲ ὁ ἑκατόνταρχος ἱστάμενος εἶπεν Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος· ἄλλοι ἐρχόμενοι καὶ ὁρῶντες αὐτὸν κατατύπτοντες τὰ στήθη ἀπὸ τοῦ φόβου αὖθις ἐστρέφοντο ὄπισθεν.

2 Ὁ δὲ ἑκατόνταρχος τὰ τοιαῦτα πάντα θαύματα κατανοήσας, ἀπελθὼν εἰς τὸν Πιλᾶτον διηγήσατο ταῦτα. ὁ δὲ ἀκούσας ἐθαύμασεν καὶ ἐξεπλάγη, καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ καὶ τῆς λύπης τῇ ἡμέρᾳ ἐκείνῃ φαγεῖν ἢ πιεῖν οὐκ ἠθέλησε. διεμηνύσατο δέ, καὶ ἦλθεν πρὸς αὐτὸν ὅλον τὸ συνέδριον ἀφ' οὗ διέβη τὸ σκότος, καὶ εἶπεν πρὸς τὸν λαόν Εἴδετε πῶς ἐσκοτίσθη ὁ ἥλιος, εἴδετε πῶς ἐσχίσθη τὸ καταπέτασμα. ὄντως ἐγὼ καλῶς ποιῶν τὸν ἄνθρωπον τὸν καλὸν οὐδαμῶς φονεῦσαι προεθυμούμην. οἱ δὲ κακοῦργοι ἔλεγον πρὸς τὸν Πιλᾶτον ὅτι τοιοῦτον σκότος ἔκλειψις ἡλίου ἐστί, καθὼς ἐγένετο καὶ ἐν ἑτέροις καιροῖς. εἶτα λέγουσιν

σκότ. ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης. | καὶ τούτων (BC add οὖν) π. γινομένων (BC γενομ.) οἱ μὲν Ἰουδ. (ita BC; A οἱ Ἰ. μὲν αὐτῶν) ἔλεγον -- ἦν. Λογγ. δὲ (BC om) ὁ ἑκ. ἱστάμ. (BC add μετὰ παρρησίας) εἶπεν -- ἦν οὗτος. (A h. l. addit ἕτεροι ἔλεγον τῷ Ἰούδᾳ Τί πρὸς ἡμᾶς; σὺ ὄψῃ.) ἄλλοι ἐρχ. -- κατατύπτοντες (ita BC; A τύπτ.) τὰ στ. (BC add αὐτῶν καὶ) ἀπὸ -- ὄπισθεν.

2. Ὁ δὲ ἑκατόνταρχος -- διηγήσ. ταῦτα cum ABC | ὁ δὲ ἀκούσας ἐθ. καὶ (A om) ἐξεπλ. -- ἠθέλησε cum AB .. C om | διεμηνύσατο -- πρὸς αὐτὸν (BC om) -- πρ. τ. λαόν (BC add ὁ Πιλᾶτος) cum ABC | Εἴδετε (h. l. codex εἴδετε, postea ἴδετε) πῶς ἐσκοτίσθη -- προεθυμούμην cum A .. BC Εἴδετε πῶς σεισμὸς καὶ σκότος ἐφ' ὅλην τὴν οἰκουμένην ἐγένετο καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη. ὄντως καλῶς ἐγὼ ἐποίουν, τὸν ἄνθρωπον οὐδαμ. φον. προεθυμούμην | οἱ δὲ κακοῦργοι -- τοιοῦτον (B τοιοῦτο) -- καιροῖς ex BC .. A haec in Iudam proditorem transfert, de quo plura addit quae hunc in locum parum quadrant. Habet enim ita: ὁ δὲ Ἰούδας ἐκεῖ παριστάμενος εἶπεν Ἔκλειψις ἡλίου ἐστί, καθὼς ἐγένετο καὶ ἐν ἑτέροις καιροῖς. ἀλλ' ὅμως ὁ λαὸς ὅλος αὐτὸν καὶ μόνον κατηγόρουν καὶ ὕβριζον καὶ ἐπάνω αὐτοῦ τὴν αἰτίαν ἐτίθεσαν τῆς σταυρώσεως, καὶ κατεβόων αὐτοῦ πάντες Ὁ προδότης, λέγοντες, ὁ παράνομος, ὁ ἄπιστος, ὁ ἀχάριστος, ὁ τὸν διδάσκαλον αὐτοῦ φονεύσας, ὁ παρ' αὐτοῖ τὰς πόδας νιπτόμενος, ὁ τὸ βαλάντιον αὐτοῦ κατέχων καὶ ὅσα θέλων διδοὺς ἐξ αὐτοῦ καὶ ὅσα θέλων ἀποκοπτόμενος. ἐφ' οἷς οὗτος ἀγανακτῶν καὶ μὴ δυνάμενος τοὺς ὀνειδισμοὺς ὑπομένειν ταῖς ἀκοαῖς, παραγενόμενος ἐν τῷ ναῷ καὶ εὑρὼν τοὺς ἀρχιερεῖς καὶ τοὺς γραμματεῖς εἶπεν Γινώσκω ἀληθῶς ὅτι κακῶς ἐποίησα· καὶ λάβετε τὰ ἀργύρια ἃ μοι δεδώκατε διὰ τὸ προδοῦναι τὸν Ἰησοῦν πρὸς φόνον ὑμῖν. μὴ θελόντων δὲ τῶν Ἰουδαίων δέξασθαι τὰ ἀργύρια, ῥίψας ταῦτα μέσον αὐτῶν ἔφυγε, καὶ ἀπελθὼν ἐποίησεν ἀγχόνην διὰ σχοινίου καὶ ἐκρεμάσθη, καὶ

Digitized by Google

αὐτῷ Ἡμεῖς ἔχομεν τὴν ἑορτὴν τῶν ἀζύμων διὰ τῆς αὔριον ἡμέρας, καὶ παρακαλοῦμέν σε, ἐπεὶ ἔτι πνέουσιν οἱ ἐσταυρωμένοι, ἵνα καταθλασθῶσι τὰ ὀστᾶ αὐτῶν καὶ καταβιβασθῶσιν. εἶπεν ὁ Πιλᾶτος Τοῦτο γενήσεται. ἀπέστειλεν οὖν στρατιώτας καὶ εὗρον ἔτι πνέοντας τοὺς δύο ληστάς, καὶ συνέθλασαν αὐτῶν τὰ σκέλη· τὸν δὲ Ἰησοῦν εὑρόντες τεθνηκότα οὐδαμῶς αὐτοῦ ἥψαντο, εἰ μὴ εἷς στρατιώτης ἐλόγχευσεν αὐτὸν ἐν τῇ δεξιᾷ πλευρᾷ, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

[3] Πρὸς ἑσπέραν δὲ τῆς παρασκευῆς καταντώσης Ἰωσήφ τις ἀνὴρ εὐγενὴς καὶ πλούσιος, θεοσεβὴς Ἰουδαῖος, εὑρὼν τὸν

οὕτως ἀπήγξατο. Conferenda sunt haec cum tribus prioribus sectionibus capitis primi in codice C, quemadmodum supra pag. 268 sq. exscripsimus. Iam vero sequitur Iudaeorum et Pilati de titulo crucis disputatio, conferenda cum iis quae supra ad X, 3. ex codice C attulimus. Legitur in codice A sic: Οἱ δὲ Ἰουδαῖοι προσελθόντες εἶπον τῷ Πιλάτῳ Οὐ καλῶς ἐγράφησαν, κύριε ἡμῶν, τὰ γράμματα ἄνωθεν τῆς κεφαλῆς τοῦ Ἰησοῦ· μαρτυροῦσι γὰρ αὐτὸν βασιλέα ἡμῶν. διὰ τοῦτο δεόμεθά σου ἵνα �ρίσῃς καὶ γράφῃς ἐκεῖσε ὅτι οὗτος εἶπεν ὅτι ἐστὶ βασιλεὺς τῶν Ἰουδαίων. ἔφη ὁ Πιλᾶτος Ὃ ἔγραψα, ἔγραψα. Tandem pergitur iis quae in textum recepimus, εἶτα λέγουσιν αὐτῷ etc. His rursus codices BC haec praemissa habent: καὶ ὁ Πιλᾶτος λέγει αὐτοῖς (uterque codex αὐτῶν) Καὶ τὰ ἕτερα καὶ ἐξαίσια θαύματα τί λέγετε εἶναι; καὶ οὐκ εἶχόν τι ἀπολογηθῆναι. Pergunt autem καὶ ταῦτα λέγων οὗτος, προσελθόντες λέγουσιν Ἡμεῖς ἔχομεν etc. | διὰ τῆς αὔρ. ἡμ. cum BC .. A διὰ τὴν αὔριον | ἵνα h. l. cum BC .. A ante ἐπεὶ ἔτι | καταθλασθῶσιν τὰ ὀστᾶ cum A .. BC κατακλασθῶσι τὰ σκέλη | τοὺς ληστάς cum BC .. A τ. δύο λ. | εἰ μὴ εἷς στρατ. ἐλόγχ. αὐτόν cum A .. BC τότε ἀπελθὼν εἷς στρατ. καὶ ἐλόγχευσε τὸν Ἰησοῦν | BC ἐν τῇ δεξ. αὐτοῦ πλ.

Post αἷμα καὶ ὕδωρ codd. BC plura addita habent de prophetarum circa res Christi ultimas vaticiniis. Ea in C sic leguntur: καὶ ἐπληρώθησαν οἱ λόγοι τῶν προφητῶν. Ἱερεμίας εἶπεν Δεῦτε καὶ ἐμβάλωμεν (codex ἐμβάλλομεν) ξύλον εἰς τὸν ἄρτον τοῦτον, καὶ ἐκτρίψομεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ ἀπὸ γῆς ζώντων (sic) οὐ μὴ μνησθῇ ἔτι, κύριε τῶν δυνάμεων, κρίνων δίκαια. Ζαχαρίας ἔφη Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυρίοις. Ἡσαΐας εἶπεν Τὸν νῶτόν μου ἔδωκαν εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ κύριος ἐγενήθη βοηθός μου. καὶ πάλιν ὁ αὐτὸς εἶπεν Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. καὶ λοιπὸν ἐπληρώθησαν νῦν οἱ λόγοι τῶν προφητῶν, καθὼς προείπομεν.

3. Post καταντώσης C add haec: εἰς ἀπείρους λογισμοὺς ἐλθὼν (sic) ἡ θεοτόκος, διαβουλευομένους τοὺς Ἰουδαίους (sic. Potius scribe -μένων τῶν -αίων) ἀφεῖναι ἄταφον τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ τὸ ἀφεῖναι μόνον τὸ σῶμα ἐδύρετο καὶ πρὸς τὸν Πιλᾶτον ἀπελθεῖν οὐκ ἐπαρρησιάζετο. καὶ στέλλει πρὸς Ἰωσὴφ τὸν Ἰωάννην. ἐλθὼν δὲ Ἰωσὴφ πρὸς τὴν θεοτόκον λέγει πρὸς αὐτόν Ἰωσήφ, παρακαλῶ

Digitized by Google

Νικόδημον, ὃν προφθάσας ὁ λόγος ἐδήλωσε, λέγει αὐτῷ Οἶδα ὅτι ζῶντα τὸν Ἰησοῦν ἠγάπας καὶ τοὺς λόγους αὐτοῦ ἡδέως ἤκουες, καὶ πρὸς τοὺς Ἰουδαίους εἶδόν σε μαχόμενον ὑπὲρ αὐτοῦ. εἰ δοκεῖ σοι οὖν, πορευθῶμεν πρὸς τὸν Πιλᾶτον καὶ αἰτησώμεθα τὸ σῶμα τοῦ Ἰησοῦ πρὸς ταφήν, ὅτι μεγάλη ἁμαρτία κεῖσθαι αὐτὸν ἄταφον. Δέδοικα, λέγει ὁ Νικόδημος, μή πως ὀργισθέντος τοῦ Πιλάτου πάθω τι κακόν. εἰ δὲ σὺ μόνος ἀπελθὼν καὶ αἰτήσας λάβῃς τὸν τεθνηκότα, τότε κἀγὼ συνοδεύσω σοι καὶ τὰ πρὸς κηδείαν ἐπιτήδεια πάντα συνδιαπράξομαι. ταῦτα εἰπόντος τοῦ Νικοδήμου ὁ Ἰωσὴφ εἰς τὸν οὐρανὸν ἀτενίσας τοὺς ὀφθαλμοὺς καὶ εὐξάμενος τῆς αἰτήσεως μὴ διαμαρτῆσαι, ἀπῆλθεν πρὸς τὸν Πιλᾶτον, καὶ προσαγορεύσας ἐκαθέσθη. εἶτά φησι πρὸς αὐτόν Δέομαί σου, κύριέ μου, εἴ τι παρὰ τὸ δοκοῦν τῇ μεγαλειότητί σου αἰτήσομαι, μὴ ὀργισθῆναί μοι. ὁ δὲ ἔφη Καὶ τί ἐστιν ὃ αἰτεῖς; λέγει Ἰωσὴφ Ἰησοῦν τὸν καλὸν ἄνθρωπον, ὃν ὑπὸ φθόνου οἱ Ἰουδαῖοι κατήνεγκαν εἰς τὸ σταυρῶσαι, τοῦτον παρακαλῶ ἵνα μοι δῷς πρὸς ταφήν. λέγει ὁ Πιλᾶτος Καὶ τί

σε, παρηγόρησον τὴν λύπην μου, ὅτι εἶδα (οἶδ.?) τὴν ἀληθινὴν ἀγάπην σου πρὸς τὸν γλυκύτατον υἱόν μου, καὶ ποίησόν μοι δύο αἰτήματα. ἄπελθε πρὸς Πιλᾶτον αἰτῆσαι τὸ σῶμα τοῦ ἀγαπητοῦ μου υἱοῦ ἵνα θάψω, καὶ δώρησαί μοι καὶ τὸ μνημεῖον ὃ ἔχεις λελατομημένον καινὸν ἐν τῷ κήπῳ. ὁ δὲ Ἰωσὴφ πλησθεὶς δακρύων τε (sic) σφοδρῶν λέγει Κυρία μου, γενηθήτω τὸ θέλημά σου, ὡς θέλεις. Iam pergit οὗτος ὁ Ἰωσὴφ ἀνὴρ εὐγενής τε καὶ πλούσιος καὶ θεοσεβὴς Ἰουδαῖος, εὑρὼν καὶ τὸν Νικόδημον, ὃν προφθάσας ὁ λόγος ἐδήλωσε, λέγει αὐτῷ Οἶδα ὅτι τὸν Ἰησοῦν ἠγάπας λίαν καὶ τοὺς λόγ. αὐτοῦ (αὐτοῦ in A deest) -- μεγάλη (A add ἐστὶ) ἁμαρτία -- ἄταφον. | ὁ Νικόδημος: C om ὁ | ἐπιτήδεια cum A .. C ἐπιτάφια | C ἀτενίσας εἰς τ. οὐρ. τὸ ὄμμα | C καὶ αἰτησάμενος μὴ διαμαρτ. τῆς αἰτήσεως | πρὸς αὐτόν: C add μετὰ δακρύων | κύριέ μου: C om μου | εἴ τι: A om τι | C τῇ σῇ μεγαλειότητι | Καὶ τί: C om Καί | λέγει Ἰωσὴφ Ἰησ. τ. καλ. (cod. add τὸν) ἄνθρ. -- κατήνεγκαν εἰς τὸ (ita C; A κατηνέγκασάν σε) σταυρῶσαι cum A .. C λέγ. Ἰωσ. Ἰησ. τὸν ξένον καὶ καλὸν ἄνθρωπον, ὃν -- σταυρῶσαι | τοῦτον παρακαλῶ -- πρ. ταφήν cum A .. C haec mirum in modum exaggerat: Δός μοι τοῦτον τὸν ξένον, ἵνα τὸν ξένον τοῦτον κηδεύσω. δός μοι τοῦτον τὸν ξένον ἵνα τὸν ἐκ ξένης χώρας ὄντα κηδεύσω τὸν ξένον· ὅπου τὴν κεφαλὴν κλίνει, οὐκ ἔχει ὁ ξένος. δός μοι τοῦτον τὸν ξένον, ὅπου ὁ Ἰούδας ὁ Ἰσκαριώτης τοῦτον ἐπαρέδωκεν τοῖς Ἰουδαίοις ἀδίκως ὡς ξένον. δός μοι τοῦτον τὸν ξένον etc. Decies repetito isto Δός μοι cum variis additamentis (quinto loco ὅτι ἀδελφοὺς οὐκ ἔχει ὡς ξένος, sexto ὅπου καὶ οἱ μαθηταὶ αὐτοῦ ἔφυγον, καὶ οὐκ ἦν τις κηδεῦσαι τοῦτον τὸν ξένον, octavo ὅπου Ἰουδαῖοι αὐτὸν κατεμαστίγωσαν ὡς ἐξ ἀλλοδαπῆς χώρας ξένης ὄντα ξένον, decimo δός μοι τὸ σῶμα τοῦ τεθνηκότος ἵνα τοῦτο καταφιλήσω ἐν τῇ ἀποχωρήσει μας [sic, neo-

Digitized by Google

γέγονεν ὅτι μαρτυρηθέντα τοῦτον ὑπὸ τῆς γενεᾶς αὐτοῦ ἐπὶ μαγείαις καὶ ἐν ὑποψίᾳ ὄντα λαβεῖν τὴν βασιλείαν τοῦ Καίσαρος καὶ οὕτω παρ' ἡμῶν εἰς θάνατον ἐκδοθέντα, τιμᾶσθαι αὖθις τοῦτον νεκρὸν ἐπιτρέψωμεν; ὁ δὲ Ἰωσὴφ περίλυπος γενόμενος καὶ δακρύσας τοῖς ποσὶ προσέπεσε τοῦ Πιλάτου Μή σοι, λέγων, κύριέ μου, ἐπὶ νεκρῷ φθόνος τις ἐπιγένηται. πᾶσα γὰρ κακία ἐν τῇ τελευτῇ δεῖ συναπόλλυσθαι τοῦ ἀνθρώπου. ἐγὼ δὲ οἶδα τὴν μεγαλειότητά σου, πόσα ἐσπούδασας ὥστε μὴ σταυρῶσαι τὸν Ἰησοῦν, καὶ πόσα πρὸς τοὺς Ἰουδαίους ὑπὲρ αὐτοῦ εἶπας, τὰ μὲν παραινῶν, τὰ δὲ καὶ θυμούμενος, καὶ ὕστερον πῶς τὰς χεῖρας ἀπένιψας καὶ μηδαμῶς ἔχειν μέρος ἀπεφήνω μετὰ τῶν θελόντων ἀποκτανθῆναι αὐτόν. ἐφ' οἷς ἅπασι δέομαί σου μὴ ἀποστραφῆναι τὴν αἴτησίν μου. οὕτω τοίνυν ἐπικείμενον ἰδὼν ὁ Πιλᾶτος τὸν Ἰωσὴφ καὶ ἱκετεύοντα καὶ δακρύοντα, ἤγειρεν αὐτὸν λέγων Ἄπιθι· χαρίζομαί σοι τὸν τοιοῦτον νεκρόν, καὶ τοῦτον λαβὼν πράττε ὅσα σὺ βούλῃ.

4 Καὶ τότε ὁ Ἰωσὴφ εὐχαριστήσας τῷ Πιλάτῳ καὶ καταφιλήσας αὐτοῦ τὰς χεῖρας καὶ τὰ ἱμάτια, ἐξῆλθεν τῇ καρδίᾳ μὲν χαίρων ὡς τοῦ ποθουμένου τυχών, τοὺς ὀφθαλμοὺς δὲ φέρων ἔτι δακρύοντας· οὕτω καὶ τὴν χαρὰν εἶχε λελυπημένος. ἅπεισιν οὖν πρὸς τὸν Νικόδημον καὶ τὰ γενόμενα πάντα διασαφεῖ. εἶτα σμύρνην καὶ ἀλόην ἑκατὸν λίτρας καὶ μνημεῖον καινὸν ἐξωνησά-

---

graece]), bis sequitur similiter Δώρησαί μοι. Iste locus omnino conferendus est cum Epiphanii oratione in sepulchrum Christi pag. 264. (ed. Colon. 1682.) Denique est Δέομαι τῇ μεγαλειότητί (sic) σου μὴ παρακούσῃς τῆς αἰτήσεώς μου. ταῦτα ἔλεγεν Ἰωσὴφ τεχνιέντως πρὸς Πιλᾶτον ἵνα λάβῃ τὸ σῶμα τοῦ Ἰησοῦ, τῇ (codex ἡ δὲ τῇ) ἀγχονίᾳ τῆς ψυχῆς μεγάλα ἐγκωμιάσας τὸν Ἰησοῦν μυστικῶς. | λέγει ὁ Πιλᾶτος (C ὁ δὲ Πιλ. λέγει) Καὶ τί -- ἐν (C om) ὑποψίᾳ ὄντα (C add ἤθελον. Corrige θέλειν?) λαβεῖν -- τοῦτον (C add τὸν) νεκρὸν ἐπιτρέψωμεν (ita C; A -ψομεν) | ὁ δὲ Ἰωσὴφ -- ὥστε μὴ σταυρῶσαι (C ἵνα μὴ σταυρωθῆναι) -- ἀποκτανθῆναι (C ἀποκτεῖναι) -- τ. αἴτησίν μου (C add ἀλλ' οἰκετῶς [corrige ἱκέτης] σοι προσπίπτω). οὕτω τοίνυν -- καὶ τοῦτ. λαβ. (haec C om) πράττε (C πρᾶττε [hoc accentu] εἰς αὐτὸν) ὅσα σὺ βούλῃ (C σοι βουλητά.)

4. C sic: Τότε Ἰωσὴφ εὐχαριστήσας -- ἐξῆλθε χαίρων τῇ καρδίᾳ ὡς τὸν ποθούμενον τυχών, τοὺς ὀφθ. δὲ -- χαρὰν [omisso εἶχε] ἔτι λελυπημένος καὶ τὴν λύπην χαίρων καὶ ἀγαλλιώμενος. ἅπεισιν οὖν -- διασαφεῖ. | εἶτα σμύρνην -- ἐξωνησάμενοι (codex -μενος) -- κατέθεντο cum A .. C διότι δὲ κἀκεῖνος εὐσεβὴς καὶ ἠγάπα τὸν Ἰησοῦν, καὶ εἶπε τούτῳ πάντα τὰ τοῦ Πιλάτου. ἐξωνησάμενοι δὲ σμύρνην -- λίτρας καὶ μνημεῖον καινόν, ἐν σ. λ. ἐκαθεῖλαν τὸ·

Digitized by Google

μενοι, ἐν σινδόνι λευκῇ ἅμα τῇ θεοτόκῳ καὶ τῇ Μαγδαληνῇ Μαρίᾳ καὶ τῇ Σαλώμῃ σὺν τῷ Ἰωάννῃ καὶ ταῖς λοιπαῖς γυναιξὶ τοῦτον κηδεύσαντες ὡς ἔθος ἐν τῷ τάφῳ κατέθεντο.

5 Ἡ δὲ θεοτόκος ἔλεγε κλαίουσα Πῶς οὐ μή σε θρηνήσω, υἱέ μου· πῶς τὸ ἐμὸν πρόσωπον οὐ σπαράξω τοῖς ὄνυξιν. τοῦτο ἐκεῖνό ἐστιν, υἱέ μου, ὅπερ Συμεὼν ὁ πρεσβύτης προεῖπέ μοι, ὅτε τεσσαρακονθήμερον βρέφος προσήγαγόν σε ἐν τῷ ναῷ. αὕτη ἐστὶν ἡ ῥομφαία ἥτις νῦν κατὰ τὴν ψυχήν μου διέρχεται. τίς τὰ ἐμὰ δάκρυα, γλυκύτατέ μου υἱέ, καταπαύσει; πάντως οὐδεὶς εἰ μὴ σὺ μόνος, ἐὰν καθὼς εἶπας ἀναστήσῃ τριήμερος.

Ἡ Μαγδαληνὴ Μαρία ἔλεγε κλαίουσα Ἀκούσατε, λαοὶ φυλαὶ καὶ γλῶσσαι, καὶ μάθετε ποίῳ θανάτῳ οἱ παράνομοι Ἰουδαῖοι τὸν μυρία καλὰ πρὸς αὐτοὺς πεποιηκότα παραδεδώκασιν. ἀκούσατε καὶ θαυμάσατε. τίς ἀκουστὰ ποιήσει ταῦτα πρὸς ἅπαντα κόσμον; ἐγὼ ἐν Ῥώμῃ μόνη πρὸς τὸν Καίσαρα ἀπελεύσομαι· ἐγὼ τούτῳ δηλώσω ὅσον κακὸν ὁ Πιλᾶτος τοῖς παρανόμοις Ἰουδαίοις πειθόμενος πέπραχεν. Ὡσαύτως καὶ Ἰωσὴφ ὀδύρετο λέγων Οἴμοι, γλυκύτατε Ἰησοῦ, ἐξ ἀνθρώπων φίλε ἐξαισιώτατε· εἰ χρὴ μὲν καὶ ἄνθρωπον ὀνομάζειν σε, τὸν οἷα οὐδέποτε πεποίηκεν ἄνθρωπος θαύματα ἐργασάμενον. πῶς σε κηδεύσω, πῶς σε ἐνταφιάσω. νῦν ἔδει μὲν συμπαρεῖναι οὓς ἐν ὀλίγοις ἄρτοις ἐξέθρεψας· οὕτω γὰρ οὐκ ἂν ἔδοξα τῆς ἀξίας ἀπολειπόμενος.

σῶμα ἅμα σὺν τῇ Θεοτόκῳ - - ἅμα καὶ τῇ Σαλώμῃ - - ἐν τάφῳ καινῷ κατέθεντο.

5. Ἡ δὲ (C add πάναγνος) Θεοτ. ἔλεγ. κλαίουσα (C Θρηνωδοῦσα ἔλεγ.) cum AC | Πῶς οὐ (C om) μή σε Θρ. υἱ. μ. (C add ποθητέ) -- τοῖς ὄνυξιν cum AC. Sed C his plura praem, de quibus pauca excerpere satis erit. Ea incipiunt Πῶς σε κλαύσω, γλυκύτατε υἱέ μου, Θεωρῶν (sic) σε ἀδίκως Θνήσκοντα. πῶς Θεωρῶ σε, φίλτατόν μέλος μου. πῶς ζήσω χωρὶς σοῦ etc. Extrema sunt εὐχαριστῶ, υἱέ μου, τῷ ἡλίῳ (cod. τοῦ ἡλίου) σου ὅτι ἀπημαυρώθη, καὶ τῇ γῇ (cod. τῆς γῆς) ὅτι ἐσχίσθη καὶ ἐφοβήθη, καὶ ταῖς πέτραις (cod. αἱ πέτραι) διότι ἐφράγησαν ἰδὼν (sic) τὴν ἀνομίαν τῶν ἀμνήμων Ἰουδαίων. | τοῦτο ἐκεῖνο - - προσήγαγόν σε ἐν τῷ (ita C; A ἤγαγον τῷ) ναῷ - - ἀναστήσῃ (C -στήσει) τριήμερος cum AC.

ἔλεγε κλαίουσα cum A .. C κλαίουσα καὶ τριχώμενος σὺν δάκρυσιν ἔλεγε | Ἀκούσατε, λαοὶ -- πέπραχεν: in his AC plerumque consentiunt | Ὡσαύτως καὶ Ἰωσὴφ etc ex AC, nisi quod C pleraque exaggerat. Ita idem post ἀπολειπόμενος add οὕτω δὲ καὶ Ἰωάννης καὶ αἱ γυναῖκες ὀδύροντο. τότε καὶ Νικόδη-

Digitized by Google

Εἶτα ὁ μὲν Ἰωσὴφ μετὰ τοῦ Νικοδήμου ἐπορεύθησαν εἰς τὰ ἴδια. ὁμοίως δὲ καὶ ἡ θεοτόκος μετὰ τῶν γυναικῶν, συμπαρόντος καὶ τοῦ Ἰωάννου αὐταῖς.

Caput XII.

[1] Ταῦτα γνωρίσαντες οἱ Ἰουδαῖοι πραχθέντα παρά τε Ἰωσὴφ καὶ τοῦ Νικοδήμου ἐταράχθησαν κατ' αὐτῶν μεγάλως, καὶ διαμηνυσάμενοι τῷ Ἰωσὴφ οἱ ἀρχιερεῖς Ἄννας καὶ Καϊάφας εἶπον αὐτῷ Διά τί ἐποίησας τὴν κηδείαν ταύτην τῷ Ἰησοῦ; λέγει Ἰωσήφ Ἐγὼ οἶδα τὸν Ἰησοῦν ἄνδρα δίκαιον καὶ ἀληθινὸν καὶ ἀγαθὸν κατὰ πάντα, καὶ οἶδα καὶ ὑμᾶς ὅτι διὰ φθόνον ὠκονομήσατε τὸν φόνον αὐτοῦ· καὶ ἐν τούτῳ ἐκήδευσα αὐτόν. τότε ὀργισθέντες οἱ ἀρχιερεῖς καὶ κρατήσαντες τὸν Ἰωσὴφ ἔβαλον αὐτὸν ἐν τῇ φυλακῇ, καὶ λέγουσιν αὐτῷ Εἰ μὴ αὔριον εἴχομεν τὴν ἑορτὴν τῶν ἀζύμων, αὔριον καὶ σὲ ὡς ἐκεῖνον ἐφονεύσαμεν ἄν· τὸ δὲ νῦν ἔχον τηρούμενος, τῇ κυριακῇ πρωὶ θανάτῳ παραδοθήσῃ. εἶπον ταῦτα, καὶ τὴν εἱρκτὴν τῇ σφραγῖδι ἐσημειώσαντο, κλείθροις οὖσαν παντοίοις ἠσφαλισμένην.

[2] Οὕτω τοίνυν τῆς παρασκευῆς τελεσθείσης, τῷ σαββάτῳ πρωὶ ἀπῆλθον οἱ Ἰουδαῖοι πρὸς τὸν Πιλᾶτον καὶ εἶπον αὐτῷ Κύριε, ὁ πλάνος ἐκεῖνος εἶπεν ὅτι μετὰ τρεῖς ἡμέρας ἀναστήσεται. μή πως οὖν οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ πλανήσουσι τὸν λαὸν ἐπὶ τῷ τοιούτῳ ψεύδει, κέλευσον τηρεῖσθαι τὸν τάφον αὐτοῦ. ὁ Πιλᾶτος οὖν ἐπὶ τούτῳ παρέδωκεν αὐτοῖς στρα-

---

μος καὶ Ἰωσὴφ μετὰ Ἰωάννου (cod. -ννην) καὶ τῶν λοιπῶν γυναικῶν ἐνταφίασαν τὸν Ἰησοῦν.

XII, 1. Ταῦτα γνωρίσαντες -- εἶπον αὐτῷ cum ABC | Διὰ τί ἐποίησ. cum BC .. A Διὰ τί ἵνα ποιήσῃς | ταύτην τῷ Ἰησοῦ cum C .. AB τοιαύτην ἐπὶ τῷ νεκρῷ τοῦ Ἰησοῦ | καὶ ἀληθινόν: BC om καί | καὶ ὑμᾶς: BC om καί | B ἀπὸ φθόνου | C οἰκονομήσατε | BC male om εἴχομεν τ. ἐ. τ. ἀζ., αὔριον | BC τηρούμενος (B -νον)· τῇ δὲ κυριακῇ

2. Κύριε, ὁ πλάνος ἐκεῖνος εἶπεν ὅτι cum A .. C (item B ut videtur) Κύριε ἐξουσιάρχα, τί γὰρ ἐποίησας; διὰ τί τὸν Ἰησοῦν ἐδίδως ἐνταφιάσαι; ἡμεῖς ἐβουλόμεθα κρέμασθαι ἐπὶ ξύλου ἵνα ὑπὸ ὀρνέων βρωθῇ· σὺ δὲ ἐδωρήσω τῷ Ἰωσὴφ ἐνταφιάσαι, ἵνα κλέψωσιν αὐτὸν καὶ εἴπωσιν ὅτι ἀνέστη ἐκ νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. ὁ δὲ Πιλᾶτος ἔφη Ὦ τῆς ἀνοίας τοῦ φθόνου ὑμῶν. οἱ δὲ πάλιν λέγουσι Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος ἔτι ζῶν εἶπεν ὅτι | μή πως οὖν: BC om οὖν | πλανήσουσι cum C .. A -σωσι | τῷ τοιούτῳ: A om τῷ | κέλευσον: C add δεόμεθά σου | C Πιλᾶτος οὖν ἐπὶ

Digitized by Google

τιώτας πενταχοσίους, οἳ καὶ ἐκάθισαν περὶ τὸν τάφον ὥστε τηρεῖν αὐτόν, θέμενοι καὶ σφραγῖδας ἐπὶ τὸν λίθον τοῦ μνήματος.

3 Τῆς κυριακῆς οὖν διαφωσκούσης συμβούλιον οἱ ἀρχιερεῖς μετὰ τῶν Ἰουδαίων ποιήσαντες, ἀπέστειλαν ἐκβαλεῖν τὸν Ἰωσὴφ ἀπὸ τῆς φυλακῆς ἐπὶ τῷ θανατῶσαι αὐτόν· ἀνοίξαντες δὲ οὐχ εὗρον αὐτόν. καὶ ἐξενίζοντο ἐπὶ τούτῳ, πῶς τῶν θυρῶν κεκλεισμένων καὶ σώων τῶν κλειδῶν καὶ τῶν σφραγίδων εὑρεθεισῶν ὁ Ἰωσὴφ ἐγένετο ἄφαντος.

Caput XIII.

1 Ἐπὶ τούτῳ δὲ παραγενόμενος εἷς στρατιώτης ἐκ τῶν τηρούντων τὸν τάφον εἶπεν ἐν τῇ συναγωγῇ Μάθετε ὅτι ἀνέστη ὁ Ἰησοῦς. λέγουσιν οἱ Ἰουδαῖοι Πῶς; ὁ δὲ ἔφη Σεισμὸς ἐγένετο πρῶτον· εἶτα ἄγγελος κυρίου ἀστραπηφόρος ἐλθὼν ἐξ οὐρανοῦ ἐκύλισε τὸν λίθον ἐκ τοῦ μνημείου καὶ ἐκάθισεν ἐπάνω αὐτοῦ. καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ ἐγενόμεθα πάντες οἱ στρατιῶται ὡς νεκροί, καὶ οὔτε φυγεῖν ἐδυνάμεθα οὔτε λαλῆσαι. ἠκούσαμεν δὲ τοῦ ἀγγέλου λέγοντος πρὸς τὰς γυναῖκας τὰς ἐλθούσας ἐκεῖσε τὸν τάφον ἰδεῖν ὅτι μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν ζητεῖτε. οὐκ ἔστιν ὧδε, ἀλλὰ ἀνέστη, καθὼς προεῖπεν ὑμῖν. κύψατε καὶ ἴδατε τὸν τάφον ὅπου ἔκειτο τὸ σῶμα αὐτοῦ. πορεύ-

---

τούτῳ ἔδωκεν αὐτοῖς ἐξουσίαν τοῦ σφραγίσαι αὐτοὶ τὸν λίθον τοῦ μνήματος ὡς βούλονται. καὶ λαβόντες κουστωδίαν ἦγουν στρατιώτας πεντακοσίους, οἳ καὶ ἐκαθ. ἐπὶ τὸν τάφον -- τοῦ μνήματος. Iamvero C add haec: ἐφύλαττον αὐτὸν τῷ σαββάτῳ (cod. τῶ σάββατον) ἕως ὄρθρου βαθέως τῆς κυριακῆς. μετὰ τοῦτο σεισμὸς πάλιν ἐγένετο μέγας πρῶτον. εἶτα ἄγγελος κυρίου ἀστραπηφόρος ἐλθὼν ἐξ οὐρανοῦ ἐκύλισε τὸν λίθον ἐκ τοῦ μνήματος καὶ ἐκάθισεν ἐπάνω αὐτοῦ. ἀπὸ δὲ τοῦ ἀγγέλου ἀπενεκρώθησαν οἱ στρατιῶται. τότε ἀνέστη ὁ κύριος· ἤγειρε τὸν Ἀδὰμ καὶ πάντας τοὺς προφήτας, οὓς εἶχεν ὁ διάβολος ἐν τῇ χειρὶ αὐτοῦ· ἤγειρε δὲ κἀκεῖ πάντας τοὺς πιστεύοντας εἰς αὐτόν. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον σὺν τῷ πατρὶ αὐτοῦ καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Atque his ipsis textus evangelii in codice C finitur. Eadem habere dicitur codex B, addita subscriptione hac: Τέλος τῶν ἁγίων παθῶν καὶ ἀρχὴ τῆς ἀναστάσεως αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Tamen is similiter atque codex A pergit Τῆς κυριακῆς οὖν διαφωσκούσης etc, quae infra vide.

3. συμβούλιον -- ποιήσαντες, ἀπέστειλαν etc cum A . . B συμβουλὴν ἐποίησαν οἱ ἀρχ. μ. τ. Ἰουδ. καὶ ἀπέστειλαν etc | B ἐκ τῆς φυλακῆς | ὁ Ἰωσὴφ ἐγένετο cum A . . B Ἰωσὴφ δὲ ἐγέν.

XIII, 1. Ἐπὶ τούτῳ (A τοῦτο) -- ἐκ (B om) τοῦ μνημείου -- ὡς (B ὡσεὶ) νεκροί -- ἀλλὰ (B ἀλλ') ἀνέστη -- ἴδατε (B ἴδετε) -- τὸ σῶμα αὐτοῦ

Digitized by Google

θητε δὲ καὶ εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ πορευέσθωσαν ἐν τῇ Γαλιλαίᾳ, ἐκεῖ γὰρ αὐτὸν εὑρήσουσι. διὰ τοῦτο λέγω πρὸς ὑμᾶς ἐγὼ τοῦτο πρότερον.

2 Λέγουσιν οἱ Ἰουδαῖοι πρὸς τοὺς στρατιώτας Ποῖαι ἦσαν αἱ γυναῖκες αἱ ἐλθοῦσαι εἰς τὸ μνῆμα, καὶ διὰ τί οὐκ ἐκρατήσατε αὐτάς; λέγουσιν οἱ στρατιῶται Ἐκ τοῦ φόβου καὶ τῆς θεωρίας μόνης τοῦ ἀγγέλου οὔτε λαλεῖν οὔτε σαλεύειν ἐδυνάμεθα. εἶπον οἱ Ἰουδαῖοι Ζῇ ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι οὐδὲν πιστεύομεν ὅσον λέγετε. λέγουσιν οἱ στρατιῶται Τοσαῦτα θαύματα ἐποίησεν ὁ Ἰησοῦς καὶ οὐκ ἐπιστεύσατε, καὶ ἄρτι μέλλετε πιστεύειν ἡμῖν; ἀληθῶς λέγετε ὅτι ζῇ ὁ θεός, καὶ ὄντως ἀληθῶς ζῇ ὃν ὑμεῖς ἐσταυρώσατε. πλὴν ἠκούσαμεν ὅτι τὸν Ἰωσὴφ εἴχετε ἐν τῇ φυλακῇ κεκλεισμένον· εἶτα ἀνοίξαντες τὰς θύρας οὐχ εὕρατε αὐτόν. δότε οὖν ὑμεῖς τὸν Ἰωσήφ, καὶ οὕτω δώσομεν καὶ ἡμεῖς τὸν Ἰησοῦν. λέγουσιν οἱ Ἰουδαῖοι Τὸν Ἰωσὴφ τὸν ἐκ τῆς φυλακῆς φυγόντα εὑρήσετε αὐτὸν εἰς Ἀριμαθίαν τὴν χώραν αὐτοῦ. λέγουσι καὶ οἱ στρατιῶται Ἀπέλθατε καὶ ὑμεῖς εἰς τὴν Γαλιλαίαν καὶ εὑρήσετε τὸν Ἰησοῦν, καθὼς ὁ ἄγγελος εἶπε ταῖς γυναιξίν.

3 Ἐπὶ τούτοις οἱ Ἰουδαῖοι φοβηθέντες εἶπον τοῖς στρατιώταις Ὁρᾶτε ἵνα μηδενὶ τοῦτον τὸν λόγον εἴπητε καὶ πάντες πιστεύσουσιν εἰς τὸν Ἰησοῦν. οὗ χάριν ἔδωκαν αὐτοῖς καὶ ἀργύρια πολλά. οἱ δὲ στρατιῶται εἶπον Φοβούμεθα μή πως ἀκούσῃ ὁ Πιλᾶτος ὅτι ἐλάβομεν ἡμεῖς ἀργύρια, καὶ φονεύσει ἡμᾶς. οἱ δὲ Ἰουδαῖοι εἶπον Λάβετε ταῦτα, καὶ ἐγγυώμεθα ἡμεῖς ἵνα δώσομεν τῷ Πιλάτῳ ἀπολογίαν ἀντὶ ὑμῶν· μόνον εἴπατε ὅτι ἐκοιμᾶσθε, καὶ εἰς τὸν ὕπνον ὑμῶν ἦλθον οἱ μαθηταὶ τοῦ Ἰησοῦ καὶ ἔκλεψαν αὐτὸν ἐκ τοῦ μνήματος. ἔλαβον οὖν οἱ στρατιῶται τὰ

(B τοῦ Ἰησοῦ) -- τ. μαθηταῖς αὐτοῦ (E in margine add καὶ τῷ Πέτρῳ) -- ἐγὼ τοῦτο πρότερον cum AB.

2. Λέγουσιν οἱ -- ἐδυνάμεθα. εἶπον (B add οὖν) οἱ -- ὄντως ἀληθῶς ζῇ (B add καὶ) ὃν ὑμεῖς -- πλὴν (B male add οὐκ) -- τὸν (A om) ἐκ τῆς (B om) φυλακῆς φυγόντα (A φεύγοντα) -- Ἀριμαθίαν (ita uterque, non -θαίαν) -- λέγουσι καὶ (A om) οἱ στρατ. etc cum AB.

3. Ἐπὶ τούτοις -- εἰς (B ἐπὶ) τὸν Ἰησοῦν -- ἀργύρια πολλά (h. l. B add ἵνα εἴπωσιν Ἡμῶν κοιμωμένων ἦλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἔκλεψαν αὐτόν. Vide infra.) -- ἵνα δώσομεν (B δώσωμεν) -- ἐκοιμᾶσθε, καὶ εἰς τὸν ὕπνον -- ἐκ

ἀργύρια, καὶ εἶπον καθὼς παρηγγέλθησαν. καὶ μέχρι τῆς σήμερον ὁ τοιοῦτος ψευδὴς λόγος λέγεται παρὰ τοῖς Ἰουδαίοις.

Caput XIV.

[1] Μεθ' ἡμέρας δὲ ὀλίγας ἦλθον ἀπὸ τῆς Γαλιλαίας εἰς τὰ Ἱεροσόλυμα ἄνθρωποι τρεῖς· ὁ εἷς ἐξ αὐτῶν ἦν ἱερεὺς ὀνόματι Φινεές, ὁ ἕτερος Λευίτης ὀνόματι Ἀγγαῖος, καὶ ὁ ἕτερος στρατιώτης ὀνόματι Ἀδᾶς. οὗτοι ἦλθον πρὸς τοὺς ἀρχιερεῖς καὶ εἶπον αὐτοῖς καὶ τῷ λαῷ Τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε, εἴδομεν ἐν τῇ Γαλιλαίᾳ μετὰ τῶν ἕνδεκα μαθητῶν αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, διδάσκοντα πρὸς αὐτοὺς καὶ λέγοντα Πορεύθητε εἰς πάντα τὸν κόσμον καὶ κηρύξατε τὸ εὐαγγέλιον, καὶ ὅστις πιστεύσει καὶ βαπτισθῇ σωθήσεται, ὅστις δὲ οὐ πιστεύσει κατακριθήσεται. καὶ ταῦτα λέγων ἀνέβαινεν εἰς τὸν οὐρανόν. καὶ ἐθεωροῦμεν καὶ ἡμεῖς καὶ ἄλλοι πολλοὶ τῶν πεντακοσίων ἐπέκεινα.

[2] Ἀκούσαντες ταῦτα οἱ ἀρχιερεῖς καὶ οἱ Ἰουδαῖοι εἶπον πρὸς τοὺς τοιούτους τρεῖς Δότε δόξαν τῷ θεῷ τοῦ Ἰσραήλ, καὶ μετανοήσατε ἐφ' οἷς καταψεύδεσθε. ἀπεκρίθησαν οὗτοι Ζῇ ὁ θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ, οὐ ψευδόμεθα, ἀλλ' ἀληθῶς ὑμῖν λέγομεν. τότε εἶπεν ὁ ἀρχιερεύς, καὶ ἔφερον τὴν παλαιὰν τῶν Ἑβραίων ἐκ τοῦ ναοῦ, καὶ ἐξώρκισεν αὐτούς, καὶ δοὺς αὐτοῖς καὶ ἀργύρια ἀπέστειλεν αὐτοὺς εἰς τόπον ἕτερον, ἵνα μὴ τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἐν Ἱεροσολύμοις κηρύξωσιν.

τοῦ μνήματος (B om καὶ εἰς τ. ὕπν. usque ἐκ τοῦ μνήματ.) -- ἔλαβον οὖν οἱ (B καὶ ἔλαβ. οἱ) -- παρὰ (B ὑπὸ) τοῖς Ἰουδαίοις cum AB.

XIV, 1. Μεθ' ἡμέρας δὲ -- ὁ εἷς ἐξ αὐτῶν ἦν ἱερ. (B Ἦν ὁ εἷς ἱερ.) -- Ἀγγαῖος (B Ἀγγέος), καὶ ὁ ἕτερος (B ὁ δ' ἄλλος) -- Ἀδᾶς (ita B ut videtur; A Εἰδάς) -- διδάσκ. πρὸς (B om) αὐτοὺς -- εἰς πάντα τὸν (B om) κόσμον -- καὶ ὅστις πιστ. καὶ βαπτισθῇ (B καὶ ὁ πιστεύσας καὶ βαπτισθείς) σωθ., ὅστις δὲ οὐ πιστ. (B ὁ δὲ ἀπιστήσας) κατακρ. -- καὶ ἐθεωρ. καὶ ἡμ. (B καὶ ἑωράκαμεν αὐτὸν καὶ ἡμ.) -- ἐπέκεινα cum AB.

2. Ἀκούσαντες -- οὗτοι (B οἱ τρεῖς οὗτοι) Ζῇ (B add κύριος) -- ἀληθῶς (ita uterque) -- τότε εἶπ. ὁ ἀρχ. καὶ ἔφερον τ. παλ. τῶν Ἑβρ. (cf. infra XVII, 2. τὴν παλαιὰν τῶν Ἰουδαίων. Actorum textus A XIV, 2. habet οἱ δὲ λαβόντες τὸν νόμον ὥρκισαν αὐτούς) ἐκ τοῦ ναοῦ καὶ ἐξόρκισεν (ita) αὐτούς (haec omnia inde a τότε ex A. Multo brevior in his est B, qui sic habet: τότε ἐξώρκισεν αὐτοὺς ὁ ἀρχιερεύς) -- καὶ (B om) ἀργύρια -- τόπον ἕτερον (B ἕτερ. τόπ.) -- τοῦ Χριστοῦ (B τοῦ κυρίου) -- κηρύξωσιν cum AB.

Digitized by Google

[3] Τῶν τοιούτων οὖν λόγων ἀκουσθέντων εἰς πάντα τὸν λαὸν συνήχθη ὁ ὄχλος ἐν τῷ ναῷ, καὶ ἐγένετο μεγάλη στάσις. ἔλεγον γὰρ πολλοὶ ὅτι ὁ Ἰησοῦς ἀνέστη ἀπὸ τῶν νεκρῶν, καθὼς ἀκούομεν, καὶ διὰ τί ἐσταυρώσατε αὐτόν; ὁ δὲ Ἄννας καὶ Καϊάφας εἶπον Μὴ πιστεύετε, Ἰουδαῖοι, ὅσα λέγουσιν οἱ στρατιῶται, μηδὲ πιστεύετε ὅτι εἶδον αὐτοὶ ἐξ οὐρανοῦ καταβάντα ἄγγελον. ἡμεῖς γὰρ ἐδώκαμεν ἀργύρια πρὸς τοὺς στρατιώτας ἵνα μηδενὶ λέγωσι τοιούτους λόγους, καὶ οὕτως ἔδωκαν καὶ οἱ μαθηταὶ τοῦ Ἰησοῦ πρὸς αὐτοὺς ἀργύρια ἵνα λέγωσιν ὅτι Ἰησοῦς ἀνέστη ἀπὸ τῶν νεκρῶν.

Caput XV.

[1] Λέγει ὁ Νικόδημος Ὦ παῖδες τῶν Ἱεροσολυμιτῶν. ὁ προφήτης Ἠλίας ἀνέβη εἰς τὸ ὕψος τοῦ οὐρανοῦ μετὰ πυρίνου ἅρματος, καὶ οὐδὲν ἄπιστον εἰ καὶ ὁ Ἰησοῦς ἀνέστη· προτύπωσις γὰρ τοῦ Ἰησοῦ ὁ προφήτης Ἠλίας ἦν, ἵνα ἀκούσαντες ὅτι ὁ Ἰησοῦς ἀνέστη, μὴ ἀπιστήσητε. ἐγὼ οὖν λέγω καὶ συμβουλεύομαι ὅτι πρέπει ἵνα ἀποστείλωμεν στρατιώτας εἰς τὴν Γαλιλαίαν, ἐκεῖ ὅπου μαρτυροῦσιν οἱ ἄνθρωποι ὅτι εἶδον αὐτὸν μετὰ τῶν μαθητῶν αὐτοῦ, ὅπως γυρεύσωσι καὶ εὕρωσιν αὐτόν, καὶ οὕτως ἵνα ζητήσωμεν ἐξ αὐτοῦ συγχώρησιν εἰς τὸ κακὸν ὅπερ εἰς αὐτὸν ἐποιήσατε. ἤρεσεν οὗτος ὁ λόγος, καὶ ἐξελέξαντο στρατιώτας καὶ ἀπέστειλαν εἰς τὴν Γαλιλαίαν. καὶ τὸν μὲν Ἰησοῦν οὐχ εὗρον, εὗρον δὲ εἰς τὴν Ἀριμαθίαν τὸν Ἰωσήφ.

[2] Ἐπιστραφέντων οὖν τῶν στρατιωτῶν γνωρίσαντες οἱ ἀρχιερεῖς ὅτι ὁ Ἰωσὴφ εὑρέθη, συνήγαγον τὸν λαὸν καὶ εἶπον Τί

---

3. Τῶν τοιούτων οὖν (B om) -- διὰ τί (B διὰ τί ἵνα) ἐσταυρώσατε (uterque codex σταυρώσετε) -- μηδὲ πιστεύετε (B μηδὲ πιστεύσητε) -- ἐξ οὐρ. καταβάντα (B καταβ. ἐξ οὐρ.) -- ὅτι Ἰησοῦς (B ὁ Ἰησοῦς) ἀν. ἀπὸ τ. νεκρῶν cum AB.

XV, 1. Λέγει ὁ Νικόδημος -- ἄπιστον εἰ καὶ (A εἰ δὲ καὶ) ὁ Ἰησοῦς (B ὁ κύριος) -- ἵνα ἀκούσαντες (A ὁ ἀκούσας) -- μὴ ἀπιστήσητε (A μὴ ἀπιστήσῃ) -- συμβουλεύομαι (B -λεύω) -- ἀποστείλωμεν (A -στέλομεν) -- ἐκεῖ (B om) -- γυρεύσωσι καὶ (B om γυρ. καί) εὕρ. -- ἵνα (B om) ζητήσωμεν -- εἰς (A πρὸς) αὐτὸν ἐπ. ἤρεσεν (B ἤρεσε δὲ αὐτῶν sic) οὗτος ὁ λόγος -- εἰς τ. Ἀριμαθίαν (A -θείαν. B ut ed. Thil. -θαίαν; sed vide supra, item infra 15, 3.) τὸν Ἰωσήφ (B τ. Ἰωσ. ante εἰς habet) cum AB.

2. Ἐπιστραφέντων -- στρατιωτῶν (B add καὶ) -- ποιήσωμεν (B -ήσομεν)

Digitized by Google

ποιήσωμεν τῷ Ἰωσὴφ ἐλθεῖν πρὸς ἡμᾶς; συμβουλευσάμενοι οὖν ἔγραψαν αὐτῷ ἐπιστολὴν ἔχουσαν οὕτως Πάτερ Ἰωσήφ, Εἰρήνη σοὶ καὶ παντὶ τῷ οἴκῳ σου καὶ τοῖς φίλοις σου. ἡμεῖς οἴδαμεν ὅτι ἐπταίσαμεν πρὸς τὸν θεὸν καὶ πρὸς σὲ τὸν δοῦλον αὐτοῦ. διὰ τοῦτο παρακαλοῦμέν σε ἵνα ἔλθῃς ἐνταῦθα πρὸς ἡμᾶς τοὺς παῖδάς σου. πολλὰ γὰρ ἐθαυμάσαμεν πῶς ἔφυγες ἐκ τῆς φυλακῆς, καὶ ἀληθῶς λέγομεν ὅτι κακὴν βουλὴν εἴχομεν κατὰ σοῦ· ὁ θεὸς δὲ ἰδὼν ὅτι ἀδίκως ἐβουλευόμεθα κατὰ σοῦ, ἐλυτρώσατό σε ἀπὸ τῶν χειρῶν ἡμῶν. ἀλλ' ἔρχου πρὸς ἡμᾶς· σὺ γὰρ εἶ τοῦ λαοῦ ἡμῶν ἡ τιμή.

3 Ταύτην τὴν ἐπιστολὴν ἀπέστειλαν εἰς Ἀριμαθίαν οἱ Ἰουδαῖοι μετὰ στρατιωτῶν ἑπτά, φίλων τοῦ Ἰωσήφ· οἵτινες ἀπελθόντες καὶ εὑρόντες αὐτὸν καὶ προσαγορεύσαντες ἐντίμως, ὡς παρηγγέλθησαν, ἔδωκαν αὐτῷ τὴν ἐπιστολήν. καὶ οὗτος δεξάμενος ταύτην καὶ ἀναγνοὺς ἐδόξασεν τὸν θεόν, καὶ κατησπάσατο τοὺς στρατιώτας, καὶ τραπέζης ἐπιτεθείσης ἤσθιε καὶ ἔπινε μετ' αὐτῶν δι' ὅλης τῆς ἡμέρας καὶ τῆς νυκτός.

4 Τῇ ἐπαύριον δὲ ἐπορεύθη μετ' αὐτῶν εἰς Ἱεροσόλυμα. καὶ ἐξῆλθεν ὁ λαὸς εἰς ἀπάντησιν αὐτοῦ καὶ κατησπάσαντο αὐτόν. ὑπεδέξατο δὲ αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ ὁ Νικόδημος. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ προσκαλεσάμενοι αὐτὸν ἐν τῷ ναῷ ὅ τε Ἄννας καὶ Καϊάφας οἱ ἀρχιερεῖς εἶπον αὐτῷ Δὸς δόξαν τῷ θεῷ τοῦ Ἰσραήλ, καὶ εἰπὲ ἡμῖν τὴν ἀλήθειαν. οἴδαμεν γὰρ ὅτι τὸν Ἰησοῦν ἐκήδευσας, καὶ ἐν τούτῳ ἐκρατήσαμέν σε καὶ κατεκλείσαμεν ἐν τῇ φυλακῇ. εἶτα ζητήσαντες ἐκβαλεῖν σε πρὸς τὸ φονευθῆναι οὐχ εὕρομεν, καὶ ἐθαυμάσαμεν καὶ ἐφοβήθημεν πολλά· πλὴν ἐδεόμεθα τοῦ θεοῦ εὑρεῖν καὶ ἐρωτῆσαί σε. λέγε οὖν ἡμῖν τὸ ἀληθές.

-- ἐβουλευόμεθα (uterque codex ἐβουλόμεθα) -- ἀπὸ τῶν χειρῶν (B ἐκ χειρὸς) ἡμῶν -- ἡμῶν (A om) ἡ τιμή cum AB.

3. Ταύτην -- Ἀριμαθίαν (ita uterque) -- στρατ. ἑπτά (B ζ στρατ.) -- οὗτος (B οὕτως) δεξ. ταύτην (B αὐτὴν) -- τῆς ἡμέρας καὶ (haec B om) τ. νυκτός.

4. Τῇ ἐπαύριον δὲ -- ἀπάντησιν (B ὑπάντησιν) -- κατησπάσαντο (B -σατο) αὐτ. ὑπεδ. δὲ (B om) αὐτὸν -- ἐκήδευσας (A -σες, sed infra -σας) -- οὐχ εὕρομεν (A add γάρ) -- τὸ ἀληθές cum AB.

Digitized by Google

5 Ἔφη πρὸς αὐτοὺς ὁ Ἰωσήφ Κατὰ τὴν ἑσπέραν τῆς παρασκευῆς, ὅτε με ἐν φυλακῇ κατησφαλίσατε, ἔπεσον εἰς προσευχὴν δι' ὅλης τῆς νυκτὸς καὶ δι' ὅλης τῆς ἡμέρας τοῦ σαββάτου. καὶ τοῦ μεσονυκτίου ὁρῶ τὸν οἶκον τῆς φυλακῆς ὅτι ἐσίκωσαν αὐτὸν ἄγγελοι τέσσαρες, ἀπὸ τῶν τεσσάρων γωνιῶν κατέχοντες αὐτόν. καὶ εἰσῆλθεν ὁ Ἰησοῦς ὡς ἀστραπή, καὶ ἀπὸ τοῦ φόβου ἔπεσον εἰς τὴν γῆν. κρατήσας οὖν με τῆς χειρὸς ἤγειρε λέγων Μὴ φοβοῦ, Ἰωσήφ. εἶτα περιλαβὼν κατεφίλησέ με καὶ λέγει Ἐπιστρέφου καὶ ἴδε τίς εἰμι. στραφεὶς οὖν καὶ ἰδὼν εἶπον Κύριε, οὐκ οἶδα τίς εἶ. λέγει ἐκεῖνος Ἐγώ εἰμι Ἰησοῦς, ὃν πρόχθες ἐκήδευσας. λέγω πρὸς αὐτόν Δεῖξόν μοι τὸν τάφον, καὶ τότε πιστεύσω. λαβὼν οὖν με τῆς χειρὸς ἀπήγαγεν ἐν τῷ τάφῳ ὄντι ἠνεῳγμένῳ. καὶ ἰδὼν ἐγὼ τὴν σινδόνα καὶ τὸ σουδάριον καὶ γνωρίσας εἶπον Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, καὶ προσεκύνησα αὐτόν. εἶτα λαβών με τῆς χειρός, ἀκολουθούντων καὶ τῶν ἀγγέλων, ἤγαγεν εἰς Ἀριμαθίαν ἐν τῷ οἴκῳ μου, καὶ λέγει μοι Κάθου ἐνταῦθα ἕως ἡμέρας τεσσαράκοντα. ἐγὼ γὰρ ὑπάγω εἰς τοὺς μαθητάς μου, ἵνα πληροφορήσω αὐτοὺς κηρύττειν τὴν ἐμὴν ἀνάστασιν.

Caput XVI.

1 Ταῦτα εἰπόντος τοῦ Ἰωσὴφ ἔκραξαν οἱ ἀρχιερεῖς πρὸς τὸν λαόν Ἡμεῖς οἴδαμεν ὅτι ὁ Ἰησοῦς εἶχε καὶ πατέρα καὶ μητέρα· πῶς μέλλομεν πιστεῦσαι ὅτι αὐτός ἐστιν ὁ Χριστός; ἀπεκρίθη ἐκ τῶν Λευιτῶν εἷς καὶ εἶπεν Ἐγὼ οἶδα τὴν γενεὰν τοῦ

---

5. Ἔφη -- δι' ὅλης τῆς νυκτ. καὶ (haec A om) -- τοῦ μεσονυκτίου (B τὸ μεσονυκτίον) -- τῆς φυλακῆς ὅτι ἐσίκωσαν (codex ἐσύκωσαν. Cf. Gloss. med. et inf. graec. sub σικόννειν. Eandem vocem cod. B tenet: vide post.) αὐτὸν ἄγγελοι τέσσαρες (ita A; B τῆς φυλακῆς ἐσυκόμενον [sic; lege σικώμενον. Thilo correxit συρόμενον] ὑπὸ τεσσάρων ἀγγέλων,) ἀπὸ -- κατέχοντες (sic etiam B praecedente ἀγγέλων) αὐτόν -- φόβου (B add μου) ἔπεσον -- λέγει (B add μοι) Ἐπιστρέφου (uterque codex ἐπιστράφου) -- λέγει (B add μοι) ἐκεῖνος -- πρόχθες (A προχθές) -- ἀπήγαγεν (B add με) -- ἤγαγεν (B add με) εἰς Ἀριμαθίαν (sic uterque) -- ἡμέρας τεσσαράκ. (B τεσσαράκ. ἡμερῶν) ἐγὼ γὰρ (B om) ὑπ. εἰς (A πρὸς) τοὺς -- ἀνάστασιν cum AB.

XVI, 1. Ταῦτα εἰπόντος -- καὶ (B om) πατέρα κ. μητ. -- τὴν γενεὰν (ita uterque codex. Item in veterrima editione (principe) versionis germanicae est: *Ich hab erkendt das geschlecht Jhesu, wann alweg mit den gotsförchtigen haben*

Digitized by Google

Ἰησοῦ, ἀνθρώπους εὐγενεῖς, δουλευτὰς τοῦ θεοῦ μεγάλους καὶ λαμβάνοντας δεκάτας ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων. καὶ γινώσκω καὶ τὸν Συμεὼν τὸν πρεσβύτην, ὅτι ἐδέξατο αὐτὸν ὅτε ἦν βρέφος καὶ εἶπε πρὸς αὐτόν Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα.

[2] Εἶπον οἱ Ἰουδαῖοι Εὕρωμεν δὴ τοὺς τρεῖς ἀνθρώπους τοὺς ἰδόντας αὐτὸν εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ὡς ἂν ἐρωτήσωμεν αὐτοὺς καὶ μάθωμεν ἀκριβέστερον τὴν ἀλήθειαν. εὗρον καὶ ἔφερον αὐτοὺς ἔμπροσθεν πάντων, καὶ ἐξόρκισαν αὐτοὺς εἰπεῖν τὴν ἀλήθειαν. οἱ δὲ εἶπον Ζῇ ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι εἴδομεν τὸν Ἰησοῦν εἰς τὸ ὄρος τῶν ἐλαιῶν ζῶντα καὶ εἰς τὸν οὐρανὸν ἀναβαίνοντα.

[3] Τότε ὁ Ἄννας καὶ Καϊάφας διεχώρισαν τοὺς τρεῖς ἕνα καὶ ἕνα, καὶ ἠρώτησαν αὐτοὺς ἰδίᾳ καθ' ἕνα. ὡμοφώνησαν οὖν καὶ εἶπον καὶ οἱ τρεῖς ἕνα λόγον. ἀπεκρίναντο οἱ ἀρχιερεῖς λέγοντες Ἡ γραφὴ ἡμῶν λέγει ὅτι πᾶν ῥῆμα ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθήσεται. ὁ οὖν Ἰωσὴφ ὡμολόγει ὅτι ἐκήδευσε καὶ ἔθαψεν αὐτὸν μετὰ τοῦ Νικοδήμου, καὶ πῶς ἐστὶν ἀλήθεια ὅτι ἠγέρθη.

---

sy in dem tempel unaufhörlich geopffert. Nec aliter habet editio vetus altera, quam ad manus habeo. Hinc nolui τοὺς γονεῖς, quod in altero textu graeco legitur, repouere.) -- τοῦ ϑεοῦ μεγάλους (sic; item B μεγάλους τ. ϑ.) -- δεκάτας (uterque codex δεκάδας) -- καὶ (B om) γινώσκω καὶ τὸν Συμ. (B καὶ Συμεῶνα) -- εἶπε πρὸς αὐτόν (A πρὸς τὸ βρέφος) -- δέσποτα cum AB.

2. Εἶπον -- Εὕρωμεν δή (B Εὗρον με δεῖ, Thilo correxit Εὑρεῖν δεῖ) τοὺς τρεῖς -- καὶ μάϑωμεν ἀκριβέστ. -- καὶ ἔφερον αὐτοὺς (B om haec: καὶ μάϑωμεν usque ἔφερ. αὐτούς) ἔμπροσϑεν (B -σϑε) -- ἐξόρκισαν (B ἐξώρκ.) -- εἶπον (B εἶπαν) -- ἀναβαίνοντα cum AB.

3. Τότε ὁ Ἄννας καὶ (B add ὁ) Καϊάφας -- ὅτι (B om) πᾶν ῥῆμα -- ὡμολόγει (A ὁμολόγη, B ὁμολογεῖ) -- ἀλήϑεια (A ἀληϑῶς) ὅτι ἠγέρϑη cum AB.

Digitized by Google

EVANGELIUM NICODEMI PARS II.

SIVE

DESCENSUS CHRISTI AD INFEROS.

Caput I. (XVII.)

[1] Λέγει Ἰωσήφ Καὶ τί θαυμάζετε ὅτι Ἰησοῦς ἠγέρθη; οὐκ ἔστιν τοῦτο θαυμαστόν· ἀλλὰ τοῦτο θαυμαστόν ἐστιν ὅτι οὐκ ἠγέρθη μόνος, ἀλλ' ὅτι καὶ ἄλλους πολλοὺς νεκροὺς ἤγειρεν, οἵτινες ἐμφανίσθησαν ἐν Ἱεροσολύμοις πρὸς πολλούς. καὶ εἰ τοὺς ἄλλους οὐ γινώσκετε, τέως τὸν Συμεών, ὅστις ἐδέξατο τὸν Ἰησοῦν, καὶ τοὺς δύο αὐτοῦ υἱούς, οὓς ἀνέστησεν, τέως αὐτοὺς γινώσκετε. ἡμεῖς γὰρ ἐθάψαμεν αὐτοὺς πρὸ ὀλίγου· νῦν δὲ οἱ μὲν τάφοι αὐτῶν ὁρῶνται ἠνεῳγμένοι κενοί, αὐτοὶ δέ εἰσι ζῶντες καὶ διατρίβοντες ἐν τῇ Ἀριμαθίᾳ. ἀπέστειλαν οὖν ἀνθρώπους, καὶ εὗρον τὰ μνημεῖα αὐτῶν ἠνεῳγμένα κενά. λέγει ὁ Ἰωσήφ Ἀπέλθωμεν εἰς τὴν Ἀριμαθίαν καὶ εὑρήσωμεν αὐτούς.

[2] Τότε ἠγέρθησαν οἱ ἀρχιερεῖς ὁ Ἄννας καὶ Καϊάφας καὶ Ἰωσὴφ καὶ Νικόδημος καὶ Γαμαλιὴλ καὶ ἕτεροι μετ' αὐτῶν καὶ ἀπῆλθον εἰς Ἀριμαθίαν, καὶ εὗρον οὓς ὁ Ἰωσὴφ ἔλεγεν. ἐποίησαν οὖν προσευχὴν καὶ ἠσπάσαντο ἀλλήλους· εἶτα ἦλθον μετ' αὐτῶν εἰς Ἱεροσόλυμα, καὶ ἔφερον αὐτοὺς ἐν τῇ συναγωγῇ, καὶ ἠσφαλίσαντο τὰς θύρας, καὶ ἔθηκαν εἰς μέσον τὴν παλαιὰν τῶν

I, 1. Λέγει (B add ὁ) Ἰωσήφ -- ὅτι (B add ὁ) Ἰησοῦς -- ἐμφανίσθησαν (ita A; B ἐνεφαν.?) -- τὸν Συμεών (B -μεῶνα) -- υἱοὺς (B add καὶ τοὺς δύο ἀδελφούς) -- ἠνεῳγμένοι (ita B; A ἀνεωγμ. sed statim post idem cum B ἠνεωγμένα) κενοί (A om) -- Ἀριμαθίᾳ (ita uterque) -- εὑρήσωμεν (B -σομεν) αὐτούς cum AB.

2. Τότε -- καὶ (A add ὁ) Καϊάφας -- τοῦ Ἰσραὴλ καὶ τὸν (sed uterque

Digitized by Google

Ἰουδαίων, καὶ εἶπον πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς Θέλομεν ἵνα ὀμόσητε εἰς τὸν θεὸν τοῦ Ἰσραὴλ καὶ τὸν Ἀδωναΐ, καὶ οὕτως ἵνα εἴπητε τὴν ἀλήθειαν, πῶς ἀνέστητε καὶ τίς ὑμᾶς ἀνέστησεν ἐκ νεκρῶν.

[3] Τοῦτο ἀκούσαντες οἱ ἀναστάντες ἄνθρωποι ἐποίησαν εἰς τὰ πρόσωπα αὐτῶν τὸν τύπον τοῦ σταυροῦ καὶ εἶπον πρὸς τοὺς ἀρχιερεῖς Δότε ἡμῖν χάρτην καὶ μέλαν καὶ κάλαμον. ἔφερον οὖν ταῦτα. καὶ καθίσαντες ἔγραψαν οὕτως.

Caput II. (XVIII.)

[1] Κύριε Ἰησοῦ Χριστέ, ἡ ἀνάστασις καὶ ἡ ζωὴ τοῦ κόσμου, δὸς ἡμῖν χάριν ἵνα διηγησώμεθα τὴν ἀνάστασίν σου καὶ τὰ θαυμάσιά σου, ἃ ἐν τῷ ᾅδῃ ἐποίησας. Ἡμεῖς οὖν ἦμεν ἐν τῷ ᾅδῃ μετὰ πάντων τῶν ἀπ' αἰῶνος κεκοιμημένων. ἐν ὥρᾳ δὲ μεσονυκτίου εἰς τὰ σκοτεινὰ ἐκεῖνα ἀνέτειλεν ὥσπερ φῶς ἡλίου καὶ ἔλαμψεν, καὶ ἐφωτίσθημεν πάντες καὶ εἴδομεν ἀλλήλους. καὶ εὐθὺς ὁ πατὴρ ἡμῶν Ἀβραὰμ μετὰ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν ἑνωθείς, καὶ χαρᾶς ὁμοῦ πλησθέντες εἶπον πρὸς ἀλλήλους Τοῦτο τὸ φῶς ἀπὸ μεγάλου φωτισμοῦ ἐστίν. ὁ προφήτης Ἡσαΐας ἐκεῖ παρὼν εἶπε Τοῦτο τὸ φῶς ἐκ τοῦ πατρός ἐστι καὶ ἐκ τοῦ υἱοῦ καὶ ἐκ τοῦ ἁγίου πνεύματος· περὶ οὗ προεφήτευσα ἔτι ζῶν λέγων Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει ἴδε φῶς μέγα.

[2] Εἶτα ἦλθεν εἰς τὸ μέσον ἕτερος ἀπὸ τῆς ἐρήμου ἀσκητής, καὶ εἶπον πρὸς αὐτὸν οἱ πατριάρχαι Τίς εἶ; ὁ δὲ εἶπεν Ἐγώ εἰμι Ἰωάννης, τὸ τέλος τῶν προφητῶν, ὃς ἐποίησα τὰς ὁδοὺς τοῦ υἱοῦ τοῦ θεοῦ εὐθείας, καὶ ἐκήρυξα τῷ λαῷ μετάνοιαν εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ ὁ υἱὸς τοῦ θεοῦ εἰς ἐμὲ ἦλθε, καὶ ἀπὸ μακρόθεν ἰδὼν αὐτὸν εἶπον πρὸς τὸν λαόν Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ

---

codex τοῦ) Ἀδωναΐ -- ἐκ (B add τῶν) νεκρῶν cum AB.

3. Τοῦτο -- ἀναστάντες (A ἀναστήσαντες) -- χάρτην (A χαρτί [χαρτίον]) -- καθίσαντες ἔγραψαν (B καθίσας εἰς ἐξ αὐτῶν ἔγραψεν) οὕτως cum AB.

II, 1. Κύριε -- καὶ ἡ (A om) ζωὴ -- ἡμεῖς οὖν (A om) -- καὶ ἐκ (B om) τοῦ υἱοῦ καὶ ἐκ (B om) τοῦ ἁγίου -- προεφήτευσα (A -τευσεν) -- ἴδε (B εἶδε) φ. μέγα cum AB.

2. Εἶτα ἦλθεν -- καὶ (ita uterque) τὸ πνεῦμα -- ἤκουσα καὶ (B om)

Digitized by Google

αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ μετὰ τῆς χειρός μου ἐβάπτισα αὐτὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ εἶδον ὡσεὶ περιστερὰν καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτὸν ἐρχόμενον, καὶ ἤκουσα καὶ τῆς φωνῆς τοῦ θεοῦ καὶ πατρὸς οὕτω λέγοντος Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. καὶ διὰ τοῦτο ἀπέστειλέ με καὶ πρὸς ὑμᾶς, ἵνα κηρύξω πῶς ἔρχεται ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὧδε, ἵνα ὅστις πιστεύσῃ πρὸς αὐτὸν σωθήσεται, ὅστις δὲ οὐ πιστεύσει εἰς αὐτὸν κατακριθήσεται. διὰ τοῦτο λέγω πρὸς ἅπαντας ὑμᾶς, καθὼς ἴδητε αὐτόν, ἵνα προσκυνήσητε πάντες, ὅτι νῦν μόνον ἐστὶ πρὸς ὑμᾶς ὁ τῆς μετανοίας καιρὸς ὑπὲρ οὗ προσεκυνήσατε εἰς τὸν ἄνω μάταιον κόσμον τοῖς εἰδώλοις, καὶ ὑπὲρ ὧν ἡμαρτήκατε· ἐν ἄλλῳ δὲ καιρῷ τοῦτο γενέσθαι ἀδύνατον.

Caput III. (XIX.)

Τοῦ Ἰωάννου τοίνυν διδάσκοντος οὕτως τοὺς ἐν τῷ ᾅδῃ, ἀκούσας καὶ ὁ πρωτόπλαστος καὶ προπάτωρ Ἀδὰμ λέγει πρὸς τὸν υἱὸν αὐτοῦ τὸν Σήθ Υἱέ μου, θέλω ἵνα εἴπῃς τοῖς προπάτορσι τοῦ γένους τῶν ἀνθρώπων καὶ τοῖς προφήταις, ὅτε ἔπεσον ἵνα ἀποθνήσκω, ποῦ σε ἀπέστειλα. ὁ δὲ Σὴθ ἔφη Προφῆται καὶ πατριάρχαι, ἀκούσατε. ὁ ἐμὸς πατὴρ Ἀδὰμ ὁ πρωτόπλαστος πεσών ποτε εἰς τὸ τελευτᾶν ἀπέστειλέ με ποιήσασθαι δέησιν πρὸς τὸν θεὸν ἔγγιστα τῆς πύλης τοῦ παραδείσου, ὡς ἂν ὁδηγήσῃ με δι' ἀγγέλου πρὸς τὸ δένδρον τῆς ἐλεημοσύνης καὶ ἐπάρω ἔλαιον καὶ ἀλείψω τὸν ἐμὸν πατέρα, καὶ ἀναστῇ ἀπὸ τῆς ἀσθενείας. ὅπερ δὴ καὶ ἐποίησα. καὶ μετὰ τὴν εὐχὴν ἐλθὼν ἄγγελος κυρίου λέγει μοι Τί, Σήθ, αἰτεῖς; ἔλαιον αἰτεῖς τὸ τοὺς ἀσθενεῖς

9. Ἔστη δὲ -- τῆς (A om) παρασκ. ἕ. ὥρας (A om) ἐνάτ. καὶ (A om) -- ἐκ τ. οὐρανοῦ cum CA .. B ὡς μὴ στέρξαι τὸν φόβον τοῦ σεισμ. τοῦ γενομένου ἀπὸ ὥρας ἕκτης τῆς παρασκ. ἕως ὀψίας τοῦ σαββάτου ἦχος ἐγένετο ἐκ τ. οὐρ. | ὥστε (B add πάλιν) -- γενέσθ. (B om) φωταγωγὸν (B -γωγεῖν) ἑπταπλασίως (A -σίονα) -- ἡμέρας (B add ὠφθῆναι sic; aut igitur φωταγωγόν restituendum, aut ὠφθῆναι delendum est quippe ortum ex ὤφθη δέ, quod rursus compensasse videtur librarius addito ὤφθη post ἥλιος) | ὤφθη δὲ (haec B om) τρίτης (B add οὔσης) -- καὶ ὁ (A om κ. ὁ) ἥλιος (B add ὤφθη) οἷος (B οἷως, A ὡς) ἔλαμψ. φωτ. (B om) τ. πάντα (B ἅπ.) πόλον (B κόσμον) φαιδρ. (B πολὺ φαιδρ., A πολλὰ φαιδρ. omissis ἔλαμψ. usque πόλον) | καὶ (AB om) ὥσπερ δὲ (A om) -- ἄνδρ. ἐφαίν. (A ἐφάνησαν ἄνδρ.) ὑψηλ. (A om) ἐν (A add νεφελεινῇ) στ. (B add μεγάλοι) κ. δόξῃ (B ἔνδοξοι, A add μεγάλῃ) -- ὧν (B ὡς, A καὶ) ἡ φωνὴ (A φωναὶ) ἠκούετο (A -οντο) ὥ. βροντῆς παμμεγέθους (B -τῆς -έθης, A -έθους -τῆς, C -εθῆ -τῆ) Ὁ (B praem λέγων) στ. ἀν. Ἰησ. (ita C, A ἀν. Χριστ., B θεὸς ἔστη) ἀνέλθατε (A ἀνῆλθόν τε) ἐξ. ᾅ. οἱ (C οἱ ἐξ. ᾅ.) δεδουλ. (B κατερχόμενοι) -- τοῦ (B τῆς γῆς τοῦ) ᾅδου (B add ἀπὸ Ἀδάμ) cum ABC | ὡς μὴ ὄντων ἐδρ. cum AC .. B μέγα ὡς μὴ εἶναι ἔδρασμα | B om οὕτως ἦν | αὐτὰ τὰ θεμ. τ. γῆς cum C .. AB αὐτὰ τὰ ὕδατα ὑποκάτω τῆς (A om) ἀβύσσου | φανῆναι μετὰ τ. βοώντ. (A om) ἐ. τ. οὐρ. καὶ περιπατούντ. (A καίπερ ὑπαντούντ.) -- ἐν μέσῳ (A add τοῦ πλήθους) τ. ἀ. νεκρῶν cum CA .. B ὁράσθη, καὶ πλῆ-

Digitized by Google

σώματι ἐν μέσῳ τῶν ἀναστάντων νεκρῶν. ὁ δὲ ἀναστήσας πάντας τοὺς νεκροὺς καὶ συνδήσας τὸν ᾅδην ἔλεγεν Εἴπατε τοῖς μαθηταῖς μου ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ἐκεῖ αὐτὸν ὄψεσθε.

10 Πᾶσαν δὲ τὴν νύκταν ἐκείνην οὐκ ἐπαύσατο τὸ φῶς φαῖνον. τῶν δὲ Ἰουδαίων πολλοὶ ἔθανον ἐν τῷ χάσματι τῆς γῆς καταποθέντες, ὡς μὴ εὑρεθῆναι ἐπὶ τὴν αὔριον πλείστους τῶν κατὰ τοῦ Ἰησοῦ γενομένων. ἄλλοι φαντασίαν ἑώρων ἀναστάντων, οὓς οὐδέποτε ἡμῶν τις ἦν θεασάμενος. εἰ μὴ μία τις συναγωγὴ τῶν Ἰουδαίων οὐχ ὑπελείφθη ἐν αὐτῇ τῇ Ἱερουσαλήμ, ἐπεὶ πᾶσαι ἀφανεῖς τῇ πτώσει ἐκείνῃ ἀπῆλθον.

11 Τῷ οὖν φόβῳ ἐκείνῳ ἐν ἐκστάσει γενόμενος καὶ τρόμῳ δεινοτάτῳ συνεχόμενος, ἅπερ εἶδον κατ' αὐτὴν τὴν ὥραν γράψας ἀνήγαγον τῷ σῷ κράτει· ἐντάξας καὶ τὰ κατὰ τοῦ Ἰησοῦ πραχθέντα ὑπὸ τῶν Ἰουδαίων ἐξέπεμψα τῇ σῇ θειότητι, δέσποτα.

ϑος πολὺ τῶν ἀναστάντ. νεκρ. | ὁ δὲ ἀναστήσας -- τ. μαϑ. μου (A om) -- ὄψεσϑε cum AC .. B φανερὴς (-ρή?) δέ τις ἦν μία φωνὴ Ἤλϑεν ὁ σταυρωϑεὶς ϑεὸς ἀναστήσας πάντας τ. νεκρ., καὶ ὅτι προάγει ὑμᾶς -- ὄψεσϑε.

10. νύκταν: ita BC | B ἀπέϑαναν | A (ap. Fabr.) καταπιωϑέντες | πλείστ. τῶν κ. τ. Ἰ. γενομένων cum C .. B τοὺς πλείονας τῶν Ἰουδαίων κατὰ τὸν Ἰησοῦν γενομένους .. A τὸ πλῆϑος τῶν Ἰουδ. τῶν τὰ κατὰ τοῦ Ἰησοῦ λεγομένων | ἄλλοι (C ἀλλά, A καί) φα. ἑώρ. (B add νεκρῶν) ἀναστάντ. (A om) οὓς (A ἦν) οὐδ. ἡμῶν τις ἦν (ita de coniectura; A ἡμῶν τις et ἐστι post ϑεασ. habet, BC tantum ἡμῶν) ϑεασάμενος (B -μενοι, ad quod pro ἡμῶν poterat ἥμεν poni) | εἰ μὴ (cum C; A om) μία τις (ita C, A om) συναγωγή .. B καὶ μηδεμία τις συν. | B om αὐτῇ τῇ | ἐπεὶ -- ἀπῆλϑ. cum C .. A ἐπεὶ πᾶσαι ἠφανίσϑησαν .. B om. Praeterea A add οἱ δὲ τηροῦντες τὸ μνημεῖον στρατιῶται ἀπὸ τῆς ἰδέας τοῦ ἀγγέλου ἐσείσϑησαν.

11. Τῷ οὖν -- δεινοτάτ. (B δεινῷ) συνεχόμενος cum BC .. A (cum prioribus coniungens) ἀπῆλϑον οὖν ἐν φόβῳ ἐκεῖνοι ἐν ἐκστ. γενόμενοι καὶ τρ. δυνατωτάτῳ συνεχόμενοι | ἅπερ εἶδον (A ἴδον) cum ACD .. B om | κατ' αὐτ. (ita CD; AB κατὰ ταύτ.) τ. ὥραν .. A add γεγενημένα | ἀνήγαγ. cum ACD .. B ἀνένεγκα | ἐντάξας (ita CD; AB ὑποτ.) καὶ (A om) τὰ κα. τ. Ἰ. πρ. (B add ὑπομνήματα) ὑπὸ (B παρά, A om) τ. Ἰ. ἐξέπ. (AB καὶ ἐξ.) τῇ σῇ ϑειότ. (ita CD; AB ϑεότ.), δέσπ. (B add βασιλεὺς ἐν τῇ Ῥώμῃ)

Digitized by Google

ΑΝΑΦΟΡΑ ΠΟΝΤΙΟΥ ΤΟΥ ΠΙΛΑΤΟΥ

ΗΓΕΜΟΝΟΣ. ΤΗΣ ΙΟΥΔΑΙΑΣ ΠΕΜΦΘΕΙΣΑ ΤΙΒΕΡΙΩ ΚΑΙΣΑΡΙ ΕΙΣ ΡΩΜΗΝ.

Κρατίστῳ σεβαστῷ φοβερῷ θειοτάτῳ Αὐγούστῳ Πιλᾶτος Πόντιος ὁ τὴν ἀνατολικὴν διέπων ἀρχήν.

[1] Μηνῦσαι κέχρημαι πρὸς τὴν σὴν εὐσέβειαν διὰ τῆσδέ μου τῆς γραφῆς τρόμῳ πολλῷ καὶ φόβῳ συνεχόμενος, κράτιστε βασιλεῦ, τὴν τῶν ἐνισταμένων καιρῶν ροπήν, καθὼς τὸ τούτων τέλος ὑπέδειξε. Ταύτην γὰρ διέποντός μου τὴν ἐπαρχίαν, ὦ δέσποτα, κατὰ πρόσταξιν τῆς σῆς γαληνότητος, ἥτις ἐστὶ τῶν ἀνατολικῶν πόλεων μία καλουμένη Ἱερουσαλήμ, ἐν ᾗ τὸ ἱερὸν τοῦ τῶν Ἰουδαίων ἔθνους καθίδρυται, συναχθὲν ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων παραδεδώκασί μοι ἄνθρωπόν τινα λεγόμενον Ἰη-

---

* Ἀναφορὰ Πο. τοῦ (ita B; A om) Πιλ. -- εἰς (B ἐκ) Ῥώμ. (B Ῥωμανίας) cum AB .. C Ἀναφ. Πιλάτου πεμφθεῖσα ἐν Ῥώμῃ πρὸς Τιβέριον Καίσαρα· περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πραχθέντα .. D Ἐπιστολὴ Ποντ. Πιλ. πρὸς τὸν βασιλέα Τιβέριον περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Eadem, additis ἧς ἡ ἐπιγραφὴ ἔχει οὕτως, in cod. A praemissa leguntur inscriptioni.

Κρατ. σεβαστῷ (ita BCD; A σεβασμίῳ) φοβερῷ (ita AB, item C post θειοτάτ., D om) θειοτ. (D om; B αὐτοκράτορι θειοτ.) Αὐγ. (ita A, item B; C Τιβερίῳ Αὐγούστῳ, D Τιβερίῳ Καίσαρι) -- διέπων (ita AD, C ἐπέχων; B διοικῶν post ἀρχ.)

1. Μηνῦσαι .. BC -σει | πρ. τ. σ. εὐσέβ. cum ABD .. C τῇ ὑμετέρᾳ εὐσεβείᾳ | τῆσδέ μου τ. γραφ. cum ABD .. C τῆσδε τῆς ἐμῆς ἀναφορᾶς (ἀναφορ. pro γραφ. etiam E habet) | τρόμ. (h. l. BC; A ante συνεχ.) πολλ. (h. l. AB, C post φόβῳ) κ. φ. συνεχ. | κράτιστε .. C om | τὴν τ. ἐ. κ. ροπήν cum ABC .. E τὰ τ. ε. κ. | τὸ τούτ. τέλ. ὑπέδ. cum AB .. CE τὸ τέλειον τῶν ἐνεστώτων ἀνέδειξε καιρῶν | C Ταύτην διέπων τὴν ἀρχήν, κατὰ πρᾶξιν τῆς ὑμετέρας γαληνότητος | C μία τῶν πόλεων | τὸ ἱερὸν τοῦ τ. Ἰ. ἔθνους cum A .. B τὸ ἱερ. τῶν Ἰουδ. καὶ τὸ ἔθνος .. C τὸ τῶν Ἰουδ. ἔθνος | καθίδρ. cum AB .. C ἐνίδρυται | ἅπαν (ita C; AB πᾶν) τὸ (A om) πλ. τῶν (A om) Ἰ. παραδεδώκασί (ita AB; C παρέδωκάν) μ. ἄνθρ. τι. (C τι. ἄνθρ.) λεγ. Ἰησ. (ita BC; A Ἰ. λεγ.)

Digitized by Google

σοῦν, πολλὰ καὶ ἄπειρα ἐγκλήματα φέροντες κατ' αὐτοῦ· οὐκ ἠδυνήθησαν δὲ ἕν τινι λόγῳ ἐλέγξαι αὐτόν. μία δὲ αἵρεσις ἦν αὐτοῖς κατ' αὐτοῦ, ὅτι τὸ σάββατον ἔλεγεν μὴ εἶναι ὀρθὴν τούτων σχολήν. πολλὰς δὲ ἰάσεις ἐπετέλει ἐπ' ἀγαθοῖς ἔργοις ὁ ἄνθρωπος ἐκεῖνος· τυφλοὺς ἐποίησεν βλέπειν, λεπροὺς ἐκαθάρισεν, νεκροὺς ἤγειρε, παραλυτικοὺς ἰάσατο, μὴ δυναμένους τὸ σύνολον κινεῖσθαι, εἰ μὴ μόνον ἔχοντας φωνὴν καὶ τὴν τῶν ὀστέων ἁρμονίαν, καὶ παρέσχεν αὐτοῖς δύναμιν τοῦ περιπατεῖν τε καὶ τρέχειν, ῥήματι μόνῳ ἐπιτρέψας. ἄλλο τε δυνατώτερον πρᾶγμα ἐποίησεν, ὅπερ ἦν ξενὸν καὶ παρὰ τοῖς θεοῖς ἡμῶν· νεκρόν τινα Λάζαρον τετραήμερον ἐκ νεκρῶν ἀνέστησεν, λόγῳ μόνῳ κελεύσας ἐγερθῆναι τὸν τεθνεῶτα, διεφθαρμένον ἤδη ἔχοντα τὸ σῶμα ὑπὸ τῶν ἑλκογενήτων σκωλήκων· καὶ τὸ δυσῶδες ἐκεῖνο σῶμα τὸ κείμενον ἐν τῷ τάφῳ ἐκέλευσεν τρέχειν, καὶ ὡς ἐκ παστοῦ νυμφίος οὕτως ἐκ τοῦ τάφου ἐξῆλθεν εὐωδίας πλείστης πεπληρωμένος. [2] Καί τινας ἀφειδῶς δαιμονιζομένους καὶ τὰς οἰκήσεις ἔχοντας ἐν ἐρημίαις καὶ σαρκοφαγοῦντας τῶν ἰδίων μελῶν καὶ τοῖς ἑρπετοῖς καὶ τοῖς ἀγρίοις θηρίοις συναναστρεφομένους οἰκήτορας κατέστησεν πόλεων ἐν τοῖς ἰδίοις οἴκοις, καὶ διὰ λόγου σώφρονας αὐτοὺς ἀπέδειξε, καὶ συνετοὺς καὶ ἐνδόξους γενέσθαι

-- ἄπειρα (C ἄκαιρα) -- οὐκ ἠδ. δὲ (C om) -- αὐτόν (C τοῦτον. B om οὐκ ἠδυν. usq. αὐτόν) | αἵρ. ἦν (A ἦν εὕρησις) αὐτοῖς (A αὐτῶν) κ. αὐτοῦ .. B om μία usque κ. αὐτ. | ἔλεγε -- σχολήν cum AB .. C ἔλυε, λέγων μὴ εἶναι αὐτὸ ὀρθὴν σχ. | ἐπετέλει cum BCD .. A ἐπιτελεῖ | ἐπ' .. C ἐν | C om ὁ ἄνθρ. ἐκ. | C ἀναβλέπειν | λεπρ. ἐκαθάρισεν (ita B; A καθαρίζει; D καθαρίζων) νε. ἤγειρε (ita B; A ἐγείρων) παρ. ἰάσατο (ita B; A ἰώμενος) .. C pro his χωλοὺς περιπατεῖν, παραλ. ἰώμενος | μὴ δυν. -- περιπ. τε (B om) κ. τρέχ., ῥήμ. (B add καὶ) μ. ἐπιτρέψας (B -ψαι?) cum AB .. C om | ἄλλο τε (B τι) -- ἐποίησεν (B om) -- θε. ἡμῶν cum AB .. C om | νεκρόν τ. Λάζ. τετρ. (B τετρ. Λάζ.) -- λόγ. (B add καὶ) μόν. -- τεθνεῶτα (A -νηκότα) διεφθαρμένον (ita B; A apud Bch διηφθειρόμενον) -- ἑλκογενήτων (B si Fl. recte legit ἕλκους γεννώντων) σκ. καὶ (ita BD; A om) -- οὕτως (ita B; A οὕτος) ἐκ τοῦ (B om) τάφου -- πλείστης (A? B? πλήρης; fortasse πλήστης scriptum est) πεπληρωμένος cum AB .. C (eaque post ἐκπέμψας εἰς θάλασσαν habet) καί τινα ἄνθρωπον ὀνόματι Λάζαρον τεθνεῶτα τετραήμερον ἤγειρεν, κελεύσας τὸν νεκρὸν ἐγερθῆναι ἐκ τάφου ὥσπερ νυμφίον ἐκ παστοῦ.

2. ἀφειδῶς cum A .. BC σαφῶς | δαιμονιζ. cum AC .. B add καὶ ἀτακτοῦντας | ἔχ. ἐν ἐρ. (B add καὶ ὄρεσι) cum BC .. A ἐν ἐρ. ἔχ. | κ. τ. ἑρπετοῖς -- συναναστρεφ. (ita BD; A συνανατρεφ.) οἰκ. κατ. (A add ὡσεί, non item BD, nec C) πόλ. -- λόγου (B add μόνου) σώφρ. αὐτ. ἀπέδειξ. (ita B, item C;

Digitized by Google

παρεσκεύασεν τοὺς ὑπὸ ἀκαθάρτων πνευμάτων ἐνοχλουμένους, καὶ τοὺς ἐν αὐτοῖς δαίμονας ἐν ἀγέλῃ χοίρων ἐκπέμψας εἰς θάλασσαν ἀπέπνιξεν. [3] Ἄλλον πάλιν τινὰ ξηρὰν ἔχοντα τὴν χεῖρα καὶ ἐν λύπαις ζῶντα καὶ μηδὲ ἥμισυ σώματος ἔχοντα ὑγιὲς λόγῳ μόνῳ παρέστησεν ὑγιῆ. [4] Καὶ γυναῖκα αἱμορροοῦσαν ἐπὶ χρόνοις πολλοῖς, ὡς ἐξ αὐτῆς τῆς ῥύσεως τοῦ αἵματος πᾶσαν τὴν τῶν ὀστέων ἁρμονίαν φαίνεσθαι καὶ ὕέλου δίκην διαυγάζειν, καὶ γὰρ πάντες ἰατροὶ ἀνελπίστως αὐτὴν ἀπειπάμενοι οὐκ ἐκαθαίρουν· οὐκ ἦν γὰρ ἐν αὐτῇ δήπου τις σωτηρίας ἐλπίς· ποτέ γ' οὖν παρερχομένου τοῦ Ἰησοῦ ἥψατο ὄπισθεν τοῦ κρασπέδου τῶν ἱματίων αὐτοῦ, καὶ αὐτῇ τῇ ὥρᾳ ἀνεπληρώθη ἡ δύναμις τοῦ σώματος αὐτῆς, καὶ γέγονεν ὑγιὴς ὡς μηδὲν κακὸν ἔχουσα, καὶ ἤρξατο δρομαίως τρέχειν εἰς τὴν αὐτῆς πόλιν Πανεάδα.

[5] Καὶ ταῦτα μὲν οὕτως εἶχον· κατεμήνυον δὲ οἱ Ἰουδαῖοι ἐκτελεῖν ταῦτα ἐν σαββάτῳ τὸν Ἰησοῦν. ἐγὼ δὲ καὶ παρὰ τοὺς

A ὑπέδειξ. αὐτ.) -- πνευμάτων (ita D, item B addito δέσποτα; A δέσποτα) ἐνοχλ. (B ὀχλ.) cum AB(D) .. C καὶ ὑλακτοῦντας διὰ λόγου σώφρονας ἀπέδειξε, σοφοὺς κ. συνετοὺς κ. ἐνδόξ. οἰκήτορας πόλ. κατέστησεν | καὶ τοὺς ἐν αὐτ. -- ἀπέπνιξ. cum A .. C κ. τοὺς αὐτοῦ δαίμονας ὀλεθρίῳ βίῳ ἀγέλῃ χοίρων ἐκπέμψας εἰς θάλασσαν.

3. Ἄλλον -- τὴν (ita B, A om) χ. καὶ ἐν λύπαις ζῶντα (haec D habet, A τὸν πόθοντα [?] βίον ἐν λύπῃ κεκτημένον; B om) καὶ -- λόγῳ (B add καὶ) μόνῳ (B add ἰασάμενος) π. ὑγιῆ cum AB(D) .. C om

4. ἐπί cum AB .. C ἐν | ὡς ἐξ .. B om ὡς | καὶ ὕέλου δίκ. διαυγ. cum D .. C om .. AB καὶ μήτε (B μήτι) ὅμοιον ἀνθρωπίνης φύσεως (A add τοῦ σώματος) ἐπιφερομένην (B -μένης) ἀλλὰ καὶ (A om) ὕέλου (A βαίλου ex confusis υ et β) δίκην διαυγάζειν (ad ἐπιφερομένην et ἀποκειμένην magis quadrat διαυγάζουσαν), καὶ ὡς (B ἕως) νεκρὰν ἀποκειμένην ἀπὸ τῆς αἱμοροΐας (A ἀπὸ αἵματος ῥύσεως) | καὶ γὰρ (C ὥστε) πάντες (ita AC; B add οἱ) ἰατροὶ ἀνελπ. αὐτ. (C om ἀν. αὐτ.) ἀπειπ. οὐκ ἐκαθαίρουν (ita C; AB οὐκ ἐθεώρουν) -- δήπου τις (ita D; AB δέσποτα; C δέσποτα αὐτοκράτωρ, μία) | ποτέ (ita B, A τότε; C ἥτις omisso γ' οὖν) γ' οὖν (B γὰρ) παρερχ. τ. Ἰησοῦ .. AB (C nihil add) add συμβαλοῦσα διὰ τῆς ἐπισκέψεως (B ἐπισκιάσεως) αὐτοῦ (B αὐτόν). Thilo horum loco reposuit ex altero textu ἰσχὺν λαβοῦσα διὰ τῆς ἐπισκιάσ. αὐτοῦ. | C τοῦ ἱματίου αὐτοῦ | καὶ αὐτῇ -- τ. σώματος αὐτῆς cum AC .. B om | καὶ γέγονεν (B ἐγεγόνει) -- αὐτῆς (B ἑαυτῆς) πόλ. Πανεάδα (ita ex coniectura cum Thilone scripsimus; uterque enim codex Σπανίαν habet) cum AB .. C om, item (nisi forte priora habet) D.

5. κατεμήνυον cum BCD .. A κατέμεινον | ταῦτα ἐν (ita B, A τῷ) σαββ. cum AB .. C om | ἐγὼ δὲ -- γεγονότα cum A .. C ὡς ὅτι καὶ παρὰ τ. Ἰ. οὓς σεβ. μείζων (sic) ὑπάρχειν .. B om

Digitized by Google

θεοὺς οὓς σεβόμεθα μείζονα κατενόησα θαυμάσια παρ' αὐτοῦ γεγονότα.

[6] Τοῦτον οὖν Ἡρώδης καὶ Ἀρχέλαος καὶ Φίλιππος καὶ Ἄννας καὶ Καϊάφας παραδεδώκασί μοι σὺν παντὶ τῷ λαῷ πρὸς τὸ ἐτάσαι αὐτόν. καὶ πολλῶν στάσιν κινησάντων κατ' ἐμοῦ, ἐκέλευσα σταυρωθῆναι.

[7] Ἡνίκα δὲ ἐσταυρώθη, σκότος ἐγένετο ἐφ' ὅλην τὴν οἰκουμένην, τοῦ ἡλίου κρυβέντος τελείως καὶ τοῦ πόλου σκοτεινοῦ φαινομένου ἡμέρας οὔσης, ὥστε ἄστρα φανῆναι ἀλλ' ὅμως τὴν τηλαυγότητα ἐσκοτισμένην ἔχειν, ὡς οὐδὲ ἡ ὑμετέρα οἶμαι εὐσέβεια ἀγνοεῖ, ὅτι ἐν παντὶ τῷ κόσμῳ ἦψαν λύχνους ἀπὸ ἕκτης ὥρας ἕως ὀψίας. σελήνη δὲ ὡς αἷμα οὖσα ὅλην τὴν νύκτα οὐ διέλαμπε, καίτοι γε παμπληθοῦς αὐτῆς τυγχανούσης. τὰ ἄστρα δὲ καὶ ὁ Ὡρίων θρῆνον ἐποίουν περὶ τῶν Ἰουδαίων διὰ τὴν παρ' αὐτῶν γενομένην παρανομίαν.

---

6. Τοῦτον οὖν -- κ. Ἄνν. (haec B ante κ. Φίλ.) -- ἐτάσαι αὐτόν cum AB .. C τοῦτον οὖν Ἄννας κ. Καϊάφας καὶ ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων παρέδωκάν μοι ἐπὶ τοῦ ἀνετάσαι τοῦτον | καὶ πολλῶν στάσιν κινησάντων κατ' ἐμοῦ, ἐκέλευσα σταυρ. cum C .. AB (similiterque D ut videtur) πολλὴν στάσιν κινήσαντες κατ' ἐμοῦ περὶ ὧν κατηγόρουν αὐτοῦ (B αὐτόν). ἐν πρώτοις δὲ (B μὲν) φραγελλώσας αὐτὸν (B om) οὐδεμίαν εὗρον αἰτίαν (B αἰτ. εὕρ.) περὶ (A add αὐτοῦ) ὧν ἔλεγον κατ' αὐτοῦ. λοιπὸν οὖν παρέδωκα (B παραδέδωκα) τοῦτον πάλιν (B πά. τοῦτ.) αὐτοῖς.

7. Ἡνίκα δὲ ἐσταυρ. cum C .. ABD οἳ (D ὃν) καὶ σταυρώσαντες | ἐφ' ὅλην τ. οἰκ. cum AB .. C ἐπὶ πᾶσαν τὴν γῆν | κρυβέντ. τελείως (ita BD; A τελείου) cum ABD .. C σκοτισθέντος παντελῶς | καὶ τοῦ πόλου -- ἄστρα (ita BD; A add μὴ) φανῆναι -- ἐσκοτισμένην (A σκοτεινομένης) ἔχειν (ita de coniectura; videtur enim ex ἔχ", quod est compendium infinitivi, ortum esse ἐχούσης, quod BD habent; A οὔσης habet) cum BDA .. C om | ὡς οὐδὲ ἡ (A om) ὑμετ. οἶμ. (A post εὐσ.) εὐσ. ἀγνοεῖ cum AB .. C ὡς οὐκ ἀγνοεῖ ἡ ὑμετέρα θειότης | ἦψαν .. C ἤψαμεν | ὀψίας .. C ὥρας ἑσπέρας | σελήνη δέ cum BC .. A ἡ σελ. δέ | ὡς αἷμα -- διέλαμπε (ita B, A διέλιπε) cum BA .. C εἰς αἷμα οὐ διέλιπε (sic) | παμπληθοῦς αὐτῆς (B om) cum AB .. C τὸ πᾶν πλῆθος αὐτῶν (sic) | τὰ ἄστρα δὲ etc haec h. l. cum B posui, quocum fere facit C; A vero, ad quem prope accedere videtur D, h. l. sic: καὶ ὅλος ὁ κόσμος ἐσαλεύετο ὑπὸ ἀνεκδιηγήτων σημείων, καὶ ἔμελλεν πᾶσα ἡ κτίσις ὑπὸ τῶν καταχθονίων καταπίνεσθαι· ὡσαύτως δὲ καὶ ὅπερ εἶχον ἁγίασμα τοῦ ναοῦ αὐτῶν σχισθῆναι ἀπὸ ἄνωθεν ἕως κάτω. βροντὴ δὲ πάλιν καὶ ἦχος μέγας ἐκ τοῦ οὐρανοῦ ἐγένετο, ὥστε πᾶσαν τὴν γῆν ἡμῶν (D om) σαλευθῆναι (D σαλεύεσθαί τε) καὶ τρέμειν. Iam vero addit ὤφθησαν δὲ ἐν αὐτῷ τῷ φόβῳ usque φανερῶς, quae post videbimus sect. 9., ubi in codd. BC sequuntur. | τὰ ἄ. δὲ (A δ. ἄ.) -- θρῆνον (A -νους) ἐπ. περὶ (A om) -- παρανομίαν cum BA .. C vero pro-

Digitized by Google

[8] Μιᾷ δὲ τῶν σαββάτων περὶ τρίτην ὥραν τῆς νυκτὸς ὁ ἥλιος ὤφθη οἷος οὐδέποτε ἔλαμψεν, καὶ πᾶς ὁ οὐρανὸς ἐφαιδρύνθη. καὶ ὡς ἀστραπαὶ χειμῶνος ἐπέρχονται, οὕτως ἄνδρες ὑψηλοί τινες κοσμήσεως στολῆς καὶ δόξης ἀνεκδιηγήτου ὑπάρχοντες ἐφαίνοντο ἐν τῷ ἀέρι, καὶ πλῆθος ἀναρίθμητον ἀγγέλων κραζόντων καὶ λεγόντων Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· ἀνέλθατε ἐξ ᾅδου, οἱ δεδουλωμένοι ἐν τοῖς καταχθονίοις τοῦ ᾅδου. ἐκ δὲ τῆς φωνῆς αὐτῶν πάντα τὰ ὄρη καὶ οἱ βουνοὶ ἐσαλεύοντο καὶ πέτραι διερρήγνυντο καὶ χάσματα ἐγένοντο μεγάλα ἐν τῇ γῇ, ὥστε καὶ τὰ τῆς ἀβύσσου φανῆναι.

[9] Ὤφθησαν δὲ ἐν αὐτῷ τῷ φόβῳ νεκροὶ ἀναστάντες, ὡς αὐτοὶ ἑωρακότες οἱ Ἰουδαῖοι εἶπον ὅτι εἴδομεν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοὺς δώδεκα πατριάρχας τοὺς προτετελευτηκότας πρὸ δισχιλίων πεντακοσίων ἐτῶν, καὶ Νῶε εἴδομεν ἐν σώματι φανερῶς. καὶ περιεπάτει πᾶν πλῆθος καὶ ἀνύμνει τὸν

---

pria haec habet: ἤρξαντο δὲ γίνεσθαι σεισμοὶ ἐν ᾗ ὥρᾳ ἐπάγησαν οἱ ἥλοι εἰς τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ Ἰησοῦ ἕως ἑσπέρας.

8. Μιᾷ δὲ τ. σαββ. cum D .. A μετὰ δὲ τὸ σάββατον .. BC om | περὶ (BC add δὲ) τρίτην (B -της) ὥραν (B -ας) | οἷος οὐδ. ἔλαμψ. (C om ἔλ.) cum BCD .. A οἷος οὐδ. ὤφθη, οὐδὲ οὐδέποτε οὕτως ἔλαμψεν | καὶ πᾶς ὁ (ita BCD; A pro his καίπερ) οὐρ. ἐφαιδρύνθη (B -δριώθη) | καὶ ὡς (C ὥσπερ) ἀστραπαὶ (B -πή; D deficit inde ab ἀστραπαί) χειμ. ἐπέρχ. (ita CE; B om, A om ἐπέρχ. οὕτ.), οὕτ. ἄνδρ. ὑψ. (C om) τιν. (B om) κοσμ. στολ. (ita A, B στολ. κοσμ., C om κο. στ. usque ὑπάρχοντ.) -- ὑπάρχοντ. -- καὶ (C om) πλῆθ. ἀναρ. (C ἀνεκδιηγήτων sic) ἀγγέλ. (C om) κραζ. κ. λεγ. (κ. λεγ. ex C, AB om) Δόξα (ita BC; A vero sic: Ὁ σταυρωθεὶς Χριστὸς ἀνέστη θεὸς ὤν. καὶ φωνὴ ἠκούετο ὥσπερ μέγεθος βροντῶν λέγουσα Δόξα) -- ἀνέλθατε (ita AC; B -θετε) ἐξ ᾅδου (ita C; AB οἱ ἐξ [B ἐν] ᾅδου) οἱ δεδουλωμ. (ita AB; CE δεδεμένοι) -- τ. ᾅδου | ἐκ δὲ τῆς φων. αὐτῶν -- διερρήγν. (ita A, vide etiam C; B pro his omnibus sic: φόβος δὲ καὶ ἔκστασις γέγονεν οἷος οὐδέποτε γέγονεν· σεισμοὶ ἐγένοντο οὐκ ὀλίγοι) καὶ χάσμ. ἐγέν. (B om) μεγ. -- φανῆναι cum BA .. C ἐκ δὲ τῆς φων. αὐτῶν πᾶσα ἡ γῆ ἐσείσθη, ὥστε παρ' ὀλίγον εἰς ἀπώλειαν ὅλος ὁ κόσμος ἦρχετο· μὴ μόνον σαλευθῆναι (sic omnia) τὴν πόλιν ἀλλὰ καὶ τρέμειν.

9. Ὤφθησαν etc: ita h. l. BC; A vero, in quo ὤφθησαν usque φανερῶς supra legi indicavimus (cf. 7.), h. l. haec add: καὶ πολλὰ σώματα τῶν κεκοιμημένων νεκρῶν ἐξανέστησαν ἄχρι πεντακοσίων. | Ὤφθ. δέ .. C add καί, omissis ἐν αὐτ. τ. φόβ. | ὡς (nescio an praestet οὕς) αὐτ. ἑωρ. οἱ (B om) Ἰουδ. (C om οἱ Ἰ.) -- εἴδομεν (C add τόν) -- τ. προτετελ. (ita C, AB add μετὰ Μωσέα; D τοὺς πρὸ Μωσέως habet, omissis τ. προτετ. et πρό) πρὸ (C om) δισχ. πεντ. ἐτ. (A add καὶ ἑτέρους πολλούς), καὶ Νῶε usque φανερῶς (haec AB habent, CD om) | καὶ περιεπάτει -- ἀνύμνει (B ἐνύμν.) -- λέγων (ita AB) -- τ. νεκρούς

Digitized by Google

θεὸν μετὰ φωνῆς μεγάλης λέγων Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν κύριος ὁ θεὸς ἡμῶν πάντας τοὺς νεκροὺς ἐζωοποίησεν, καὶ τὸν ᾅδην συλήσας ἐνέκρωσε.

[10] Πᾶσαν οὖν τὴν νύκτα ἐκείνην, ὦ δέσποτα βασιλεῦ, τὸ φῶς οὐκ ἐπαύετο. τῶν δὲ Ἰουδαίων πολλοὶ ἀπέθανον καὶ κατεποντίσθησαν καὶ κατεπόθησαν τοῖς χάσμασιν ἐν τῇ νυκτὶ ἐκείνῃ, ὥστε μηδὲ τὰ σώματα αὐτῶν φανῆναι· ἐκείνους δὲ λέγω παθεῖν τῶν Ἰουδαίων τοὺς κατὰ τοῦ Ἰησοῦ λέγοντας. μία δὲ συναγωγὴ κατελείφθη ἐν Ἱεροσολύμοις, ἐπεὶ πᾶσαι αἱ συναγωγαὶ ἐκεῖναι αἱ γενόμεναι κατὰ τοῦ Ἰησοῦ κατεποντίσθησαν.

[11] Τῷ οὖν φόβῳ ἐν ἐκστάσει γενόμενος καὶ πολλῷ τρόμῳ συσχεθεὶς κατ' αὐτὴν τὴν ὥραν ἐπιτάξας γράψαι τὰ πραχθέντα παρ' αὐτῶν πάντων ἀνήγαγον τῷ σῷ κράτει.

(A add ἡμῶν) ἐζωοπ. – – ἐνέκρωσε cum AB .. C om, sed add οὓς κἀγὼ εἶδον ἐν σώματι περιπατοῦντας, ὥστε δέσποτα θεωρῆσαί με τινὰ νεκρὸν ἀρχαιότατον οἷον οὐδέποτε τεθέακα, quorum posteriorum similia in cod. A inepte post κατὰ τοῦ Ἰησ. λέγοντας adduntur, in hunc fere modum emendanda: ὥστε δοκεῖν (cod. δοκον) με φαντασίᾳ τινὶ (cod. τινα) θεωρεῖν ἐκ νεκρῶν ἀρχαιοτάτους πολλούς, οὓς οὐδέποτε ἡμεῖς ἐθεασάμεθα (cod. -σώμεθα).

10. Πᾶσαν – – ὦ δέσπ. (B add εὐσεβέστατε) βασ. – – κατεπόθησαν (B κατεπτώθησαν [?] ante κ. κατεποντ.) – – ὥστε usque φανῆν. (haec B om)· ἐκείνους – – παθεῖν (ita B; A δέσποτα, μὴ φανῆναι) – – λέγοντας cum AB .. C om | μία δὲ (A add τις) σ. κατελ. (C ἐκατελ.) ἐν Ἱερ. (C ἐν αὐτῇ τῇ πόλει) – – ἐκεῖναι αἱ γ. κ. τ. Ἰησοῦ (C om ἐκεῖναι usque Ἰησοῦ) κατεποντ. (C ἔπεσον) cum AC .. B om

11. Τῷ οὖν (ita BC, A γ' οὖν) φόβ. (C add ἐκείνῳ) – – συσχεθεὶς (ita AB; C συνεχόμενος) | κατ' αὐτὴν (A κατὰ ταύτ.) τ. ὥραν – – παρ' αὐτῶν πάντ. (ita A, B παρ' αὐτοῦ) ἀνήγαγ. (B ἀνήγγειλα) τ. σ. κράτει cum AB .. C γράψας τῇ ὥρᾳ ταύτῃ ἀνήγαγ. τῷ ὑμετέρῳ κράτει· ὑποτάξας δὲ καὶ τὰ πραχθέντα ὑπὸ τῶν Ἰουδαίων κατὰ τοῦ Ἰησοῦ ἐξέπεμψα τῇ ὑμετέρᾳ εὐσεβείᾳ, δέσποτα αὐτοκράτωρ.

Digitized by Google

ΠΑΡΑΔΟΣΙΣ ΠΙΛΑΤΟΥ.

[1] Φθασάντων δὲ τῶν γραμμάτων ἐν τῇ Ῥωμαίων πόλει καὶ ἀναγνωσθέντων τῷ Καίσαρι, οὐκ ὀλίγων ἑστώτων ἐκεῖ, ἅπαντες ἔκθαμβοι ἐγένοντο ὅτι διὰ τὴν τοῦ Πιλάτου παρανομίαν τὸ σκότος καὶ ὁ σεισμὸς ἐγένετο ἐφ' ὅλην τὴν οἰκουμένην. καὶ θυμοῦ πλησθεὶς ὁ Καῖσαρ ἐκπέμψας στρατιώτας ἐκέλευσεν δέσμιον ἀγαγεῖν τὸν Πιλᾶτον.

[2] Καὶ ἀχθέντος αὐτοῦ ἐν τῇ Ῥωμαίων πόλει, ἀκούσας ὁ Καῖσαρ ὅτι παρέστη ὁ Πιλᾶτος, ἐκαθέσθη ἐν τῷ ναῷ τῶν θεῶν ἐπὶ πάσης τῆς συγκλήτου καὶ σὺν παντὶ τῷ στρατεύματι καὶ παντὶ τῷ πλήθει τῆς δυνάμεως αὐτοῦ, καὶ ἐκέλευσεν ἐν προόδῳ στῆναι τὸν Πιλᾶτον. καί φησιν ὁ Καῖσαρ πρὸς αὐτόν Τί τοιαῦτα ἐτόλμησας, δυσσεβέστατε, ἑωρακὼς τηλικαῦτα σημεῖα εἰς τὸν ἄνδρα ἐκεῖνον; κακὴν πρᾶξιν τολμήσας ὅλον τὸν κόσμον ὤλεσας.

---

* Titulus iste apponi non solet in manuscriptis libris. Sumsimus ex A, nisi quod demum verbis Καὶ ἀχθέντος αὐτοῦ appositum habet. In codicibus vero nostris BCDE paradosis haec Pilati adiuncta est anaphorae eiusdem, nulla interposita nova inscriptione.

1. ἐν τῇ Ῥωμ. πόλ. cum BCD .. AE ἐν τῇ (A om) Ῥώμῃ | καὶ ἀναγν. τῷ Καίσ. (A om τ. K.) cum CDA .. B κ. γνωρισθέντων τῷ Αὐγούστῳ Καίσαρι καὶ ἀναγνωσθέντων .. E καὶ ἐπαναγνοὺς (sic) ἐπὶ τῷ Τιβερίῳ Καίσαρι | οὐκ (E om) ὀλίγ. ἑστώτ. ἐκεῖ (ita CD; A ἐν τῇ πόλει ante ἑστ., E om) cum CDAE .. B om | ἅπαντ. (ita BCD; A πάντ.; E ἅπαν τὸ πλῆθος) ἔκθ. ἐγ. (B add καὶ ἐθλίβοντο λέγοντες) | ὅτι (E om) διὰ τὴν (A δι' αὐτὴν) -- τὸ (E ὅτι τε) σκότ. καὶ ὁ σεισμ. (E καὶ σεισμοὶ) ἐγένετο (E ἐγένοντο) | θυμ. πλ. cum ACD .. BE θυμωθεὶς | ἐκπ. στρ. (haec E om) -- ἀγαγεῖν (E ἀχθῆναι) τ. Πιλ. (E add ἐν Ῥώμῃ, item D καὶ κατακεκρυμμένον ἀχθῆναι αὐτὸν ἐν τῇ Ῥωμαίων πόλει) cum ACDE .. B ἔπεμψεν στρ. ἵνα δέσμ. ἀγάγωσιν τὸν Πιλ.

2. Καὶ ἀχθ. -- πόλει cum AC .. B καὶ ἠνέχθη -- πόλει .. D om (vide ante). E sic: καὶ δὴ προκαθίσας ἐπὶ τὸ καπετώλιον ἐκέλευσεν ἐν προόδῳ etc, omissis iis quae praecedunt. | B ἀκ. δὲ ὁ K. ὅτι ἠνέχθη | B τοῦ θεοῦ | στῆναι .. B εἶναι, E (vide ante) ἀχθῆναι | καί φησιν (B ἔφησεν) ὁ K. πρ. αὐτ. (E om πρ. αὐτ.) .. E add haec: Λέγε κατάρατε καὶ δυσσεβέστατε, σὺ εἶ Πιλᾶτος ὁ καὶ ἡγεμών, ἀνατολικὴν ἐπέχων ἀρχήν; ὁ δὲ Πιλᾶτος ἔφη Ναί, δέσποτα αὐτοκράτωρ, ἐγώ εἰμι ὁ δοῦλος τῆς ὑμετέρας γαληνότητος· ἐγώ εἰμι Πιλᾶτος ὁ Πόντιος ὁ ἀπὸ Ἀμασίας πόλεως τῆς Πόντου διοικήσεως. καὶ ὁ Καῖσαρ εἶπεν | BE δυσσεβῆ (B -βεῖ) | ἑωρακὼς τηλικ. (ita AC; DE τοιαῦτα) σημ. εἰς τ. ἄνδρ. (E ἄνθρωπ.) ἐκ. cum ACDE .. B εἰς τ. ἄνδραν ἐκεῖνον τοιαῦτα σημ. παρ' αὐτοῦ ἑωρακώς | κακὴν (CD καὶ κακ.) πρ. τολμήσας (D ἐτόλμησας; CD add καὶ) ὅλ. τ. κ. (B τ. κ. ὅλ. et add διὰ τῆς σῆς παρανομίας) ὤλεσ. (BC ὁλ.) .. E κακὰ πρᾶξαι καὶ θανάτῳ παραδοῦναι αὐτόν

Digitized by Google

[3] Ὁ δὲ Πιλᾶτος ἔφη Αὐτοκράτωρ βασιλεῦ, ἐγὼ ἀναίτιος τούτων τυγχάνω, οἱ δὲ προπετεῖς καὶ αἴτιοι τὸ πλῆθος τῶν Ἰουδαίων ἐστίν. καὶ ὁ Καῖσαρ ἔφη Καὶ τίνες οὗτοι; λέγει ὁ Πιλᾶτος Ἡρώδης, Ἀρχέλαος, Φίλιππος, Ἄννας καὶ Καϊάφας, καὶ ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων. λέγει ὁ Καῖσαρ Τίνος ἕνεκεν τῇ βουλῇ ἐκείνων σὺ ἐξηκολούθησας; καὶ ὁ Πιλᾶτος λέγει Στασιαστὸν καὶ ἀνυπότακτόν ἐστιν τὸ ἔθνος αὐτῶν, μὴ ὑποτασσόμενον τῷ σῷ κράτει. καὶ ὁ Καῖσαρ εἶπεν Ἅμα παρέδωκάν σοι αὐτόν, ὄφειλες ἐν ἀσφαλείᾳ ποιῆσαι αὐτὸν καὶ ἐκπέμψαι πρὸς μέ, καὶ μὴ πεισθῆναι αὐτοῖς σταυρῶσαι τὸν τοιοῦτον ἄνδρα δίκαιον ὄντα καὶ τοιαῦτα σημεῖα ἀγαθὰ ποιήσαντα, ὡς σὺ εἶπας διὰ τῆς σῆς ἀναφορᾶς· ἐκ γὰρ τῶν τοιούτων σημείων φανερὸς ἦν ὁ Ἰησοῦς ὁ Χριστὸς ὁ βασιλεὺς τῶν Ἰουδαίων.

[4] Καὶ ταῦτα εἰπόντος τοῦ Καίσαρος καὶ ὀνομάσαντος αὐτοῦ τὸ ὄνομα τοῦ Χριστοῦ, ἅπαν τὸ πλῆθος τῶν θεῶν συνέπεσαν καὶ ἐγένοντο ὡσεὶ κονιορτός, ἔνθα ἐκαθέζετο ὁ Καῖσαρ μετὰ τῆς συγκλήτου. ὁ δὲ δῆμος ὁ παρεστηκὼς τῷ Καίσαρι πάντες

---

3. αὐτοκράτωρ (-τωρ ABCDE) βασ. cum ACD .. B αὐτ. Καῖσαρ, E δέσποτα αὐτ. | ἀναίτ. (E αἴτ.) τούτων (ita BC; AE τούτου, D om) τυγχ. (B εἰμί, E οὐκ εἰμί) | καὶ (ita CD; A add οἱ) αἴτιοι .. B om (E om οἱ δέ usq. ἐστίν) | ἐστίν cum ACD .. B εἰσίν | Ἡρ. Ἀρχ. Φί. Ἄνν. cum ACD .. B Ἡρ. καὶ Ἀ. καὶ Φ. καὶ Ἄνν. .. E om Ἡ. Ἀ. Φ. | B πᾶν | τῶν Ἰουδ. (A add ἐστίν) .. B αὐτῶν | λέγει .. A add αὐτῷ | C τῇ βουλήσει | σὺ (ita BD; AC om) ἐξηκ. | B ἀναστασιαστόν | B om ἀνυπότακτον | τὸ ἔθν. (C πλῆθ.) αὐτ. (B τῶν Ἰουδαίων) | A τ. κράτει σου | Ἅμα .. BE μόνον | E παραδέδωκαν | ὄφειλες: ita BCDE | πεισθῆναι .. E ποιῆσαι τὸ θέλημα | σταυρῶσαι cum CD .. ABE καὶ στ. | δικ. ὄντα (haec AC; BDE om) καὶ τοι. σημ. ἀγ. (haec ita BC; E om ἀγ.; similiter reliqui) ποιήσ. | ὡς (ita ACD, E καθώς, B ἃ) σ. εἶπας (E ἐσήμανας ἡμῖν) | ἐκ γὰρ τῶν -- ὁ βα. τ. Ἰουδ. cum B .. ACD μέλλοντος αὐτοῦ σταυροῦσθαι· οὗτος γάρ ἐστιν ὁ Χρ. ὁ β. τ. Ἰ. .. E καὶ μέλλοντος αὐτοῦ σταυροῦσθαι ἔγραψας ἐν τίτλῳ καὶ προσήλωσας ἐν τῷ ξύλῳ τοῦ σταυροῦ ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χρ. ὁ βα. τ. Ἰ., atque addit πάντως βουλόμενος κακὰ ἐπάξαι κατὰ τοῦ κράτους μου τοῦτο ἐποίησας.

4. Καὶ τ. εἰπόντ. (ita CD, E εἰπών; AB λέγοντ.) τ. Κ. (E om) κ. ὀνομάσαντ. (E -σας) αὐτ. (BE om) τὸ ὄν. τ. Χρ. (haec AE; B τὸ ὄν. αὐτοῦ τοῦ Ἰησοῦ, BD τὸν Χριστόν) | τῶν θεῶν cum AE .. BCD τῶν εἰδώλων ἤτοι (B om) τ. θεῶν | συνέπεσαν (-σον CD) κ. ἐγένοντο cum BCD .. AE συνέπεσε κ. ἐγένετο | ἔνθα -- μετὰ (A add πάσης) τ. συγκλ. cum ACD .. E om .. B καὶ ὁ τόπος δὲ συνέπεσεν ἔνθα ἐκ. ὁ Κ. μ. πάσης τ. συγκλ. αὐτοῦ | B om τῷ Καίσ. | πάντες ἔντρ. (A σύντρ.) cum ACD .. B καὶ πάντες οἱ τῆς συγκλήτου αὐτοῦ ἅμα τῷ Καί-

Digitized by Google

ἔντρομοι γεγόνασιν διὰ τὴν τοῦ ῥήματος ῥῆσιν καὶ πτῶσιν τῶν θεῶν αὐτῶν, καὶ πάντες φόβῳ συσχεθέντες ἀπῆλθον ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, θαυμάζοντες τὸ γεγονός. ἐκέλευσεν δὲ ὁ Καῖσαρ μετὰ ἀσφαλείας φυλάττεσθαι τὸν Πιλᾶτον, ὅπως γνῷ τὸ ἀληθὲς περὶ τοῦ Ἰησοῦ.

[5] Τῇ δὲ ἐπαύριον καθίσας ὁ Καῖσαρ ἐν τῷ καπετωλίῳ μετὰ πάσης τῆς συγκλήτου ἐπειρᾶτο πάλιν ἐρωτᾶν τὸν Πιλᾶτον. καί φησιν ὁ Καῖσαρ Λέγε τὸ ἀληθές, δυσσεβέστατε, ὅτι διὰ τῆς σῆς ἀσεβοῦς πράξεως ἧς ἐπεχείρησας κατὰ τοῦ Ἰησοῦ καὶ ἐνταῦθα ἐδείχθη τῶν κακῶν σου ἔργων ἡ πρᾶξις, τὸ τοὺς θεοὺς πτώσει ὑποβληθῆναι. λέγε οὖν Τίς ἐστιν ἐκεῖνος ὁ σταυρωθείς, ὅτι τὸ ὄνομα αὐτοῦ καὶ τοὺς θεοὺς πάντας ἀπώλεσεν; Πιλᾶτος ἔφη Καὶ μὴν τὰ ὑπομνήματα αὐτοῦ ἀληθῆ εἰσίν· καὶ γὰρ ἐγὼ αὐτὸς ἐπείσθην ἐκ τῶν ἔργων αὐτοῦ ὅτι μείζων ὑπῆρχεν πάντων ὧν σεβόμεθα θεῶν. καὶ ὁ Καῖσαρ ἔφη Τίνος οὖν ἕνεκεν τοιαύτην τόλμην καὶ πρᾶξιν ἐπήνεγκας κατ' αὐτοῦ, μὴ ἀγνοῶν τοῦτον, ἢ πάντως κακόν τι βουλόμενος περὶ τῆς ἐμῆς βασιλείας; ὁ

σαρι ἔντρομοι | γεγόνασιν -- τὸ γεγονός cum ACD .. B γενόμενοι διὰ τὴν γενομένην πτῶσιν τῶν ϑεῶν, ἀπῆλϑεν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. E vero omissis ὁ δὲ δῆμος usque τῶν ϑε. αὐτῶν sic: καὶ φόβῳ πολλῷ συσχεϑέντες ἀνεχώρησαν ἅπαντες ἕκαστος εἰς τὸν οἰκ. αὐτοῦ | ἐκέλ. δὲ (ita CD; B ἐκ. οὖν, A καὶ ἐκ.) -- με. ἀσφ. φυλάττεσϑαι (ita CD, A -ττειν; B pro his ἀσφαλισϑῆναι) -- περὶ τ. Ἰησοῦ .. E om

5. Τῇ δὲ (B om; E Καὶ πάλιν τῇ) ἐπαύρ. | καϑίσ. (B καϑεσϑεὶς) -- ἐν τῷ (A εἰς τὸ et -λιον) καπετωλίῳ (-πε- BCD; A -πι-; omnes vero -τολ-) -- ἐρωτᾶν (ita BCD; A ἐπερ.) -- κ. φησ. ὁ Καῖσαρ cum ABCD .. E προκαϑίσας ἐπείραζεν ἐπερωτῶν τ. Πιλᾶτον | Λέγε -- δυσσεβέστ. (B δυσσεβῆ) -- ἧς (ita AB; CD ἥνπερ) -- ἐδείχϑη (B ἠλέγχϑη) -- ἔργ. ἡ πρᾶξις (B πράξεων τὰ ἔργα) τὸ (ita AE, CD om) -- πτώσει ὑποβληϑ. (B πτώσιν ὑποβάλλειν) .. E om | λέγε οὖν -- ἐκεῖνος (B οὗτος) -- καὶ (A om) τ. ϑε. πάντ. (B om) ἀπώλεσεν cum ABCD .. E λέγε ὦ κατάρατε καὶ δυσσεβέστατε, τίς ἦν ὁ ἄνϑρωπ. ἐκεῖν. ὁ σταυρ., ὅτι τὸ ὄν. αὐτ. λεχϑὲν ἐνταῦϑα τοῖς ϑεοῖς πτῶσιν ἐπέβαλεν.| Πιλ. (ita CD; ABE ὁ Πι.) ἔφη (BE εἶπεν) | Καὶ μὴν -- καὶ γὰρ (B add καὶ) ἐγ. αὐτ. (B α. ἐ.) ἐπείσϑην (C ἐπειράσϑην, B ἐπίσταμαι) ἐκ τ. ἔργ. αὐτοῦ (AB ἐξ αὐτῶν τῶν [A om] ἔργ.) ὅτι cum ABCD .. E Τὰ ὑπομνήματα αὐτοῦ, δέσποτα αὐτοκράτωρ, ἅτινα ἀπέστειλα τῇ ὑμετέρᾳ ϑειότητι, ἀληϑῆ τυγχάνουσιν· καὶ γὰρ ἐγὼ ἐπείσϑην ὅτι | ὑπῆρχεν (ita AC, E ὑπάρχει, BD ἐστι) πάντ. (ita AB; CDE om) ὧν (E add ἡμεῖς) σεβ. ϑε. | Τίν. οὖν (B Καὶ τίνος) ἕνεκεν (E -κα) τοι. τόλμην (ita ACD; BE om τόλμ. καί) κ. πρᾶξ. (E τιμωρίαν) ἐπήνεγκ. (ita A, CD ὑπήν., B ἐξήν., E ἐπήγαγ.) κατ' αὐτ. (E αὐτῷ) -- τοῦτον (ita CD, B τοῦτο, E αὐτοῦ τὴν δύναμιν; A ἐκ τούτων pergens πάντων τὶ κακόν) ἢ (Thil. ed. ἡ, E om)

Digitized by Google

δὲ Πιλᾶτος ἔφη Διὰ τὴν παρανομίαν καὶ στάσιν τῶν ἀνόμων καὶ ἀθέων Ἰουδαίων τοῦτο ἐποίησα.

[6] Θυμοῦ δὲ πλησθεὶς ὁ Καῖσαρ συμβούλιον ἐποίησεν μετὰ πάσης τῆς συγκλήτου καὶ τῆς δυνάμεως αὐτοῦ, καὶ κελεύει δόγμα γραφῆναι κατὰ τῶν Ἰουδαίων οὕτως Λικιανῷ τῷ τὰ πρῶτα τῆς ἀνατολικῆς ἐπέχοντι χώρας χαίρειν. Τὴν ἐν τοῖς παροῦσι καιροῖς γενομένην τόλμαν παρὰ τῶν τὴν Ἱερουσαλὴμ οἰκούντων καὶ τὰς πέριξ πόλεις Ἰουδαίων παράνομόν τε πρᾶξιν ἔγνων, ὡς θεόν τινα λεγόμενον Ἰησοῦν Πιλᾶτον κατηνάγκασαν σταυρῶσαι, διὰ τοῦ τοιούτου αὐτῶν πλημμελήματος δι' οὗ ὁ κόσμος σκοτισθεὶς εἰς ἀπώλειαν εἵλκετο. θέλησον οὖν σπουδαίως ἅμα πλήθους στρατιωτῶν παραγενέσθαι τοῖς ἐκεῖσε καὶ αἰχμαλωσίαν ἐκθέσθαι διὰ τούτου τοῦ δόγματος. πειθαρχῶν κινῆσαι κατ' αὐτῶν καὶ ἐν διασποραῖς αὐτοὺς θέμενος ἐν πᾶσιν τοῖς ἔθνεσιν καταδούλωσον αὐτούς, καὶ τῆς Ἰουδαίας ἁπάσης ἐκδιώξας ὀλιγοστὸν τὸ ἔθνος αὐτῶν δεῖξον, ἐφ' ἅπασιν μὴ ὀφθῆναι ἔτι τοῦτο, πονηρίας μεστοὶ τυγχάνοντες.

πάντως etc (E πάντ. βουλόμενος κακὰ κατὰ τοῦ ἡμετέρου κράτους) | E om ἀνόμ. καί, B om ἀνόμ. κ. ἀϑέων

6. B Θυμ. οὖν πάλιν πλ. ὁ Καῖσ. συμβούλ. τε ποιήσας μετὰ -- κελεύει | E συμβ. ποιησάμενος μ. τῆς συγκλ. ἐκέλευσε τὸ δόγμα γρ. | κα. τῶν (CD add ἀϑέων) Ἰουδ. (D om) οὕτ. (B περιέχον οὕτ.) | Λικιανῷ (-νῷ sic CD) .. E Λικιννίῳ, pergens τὴν ἀνατολὴν ἐπέχοντι ἐπαρχίαν | Τὴν -- γενομένην (A γενναμ.) τόλμαν (ita h. l. ACD) -- οἰκούντ. (A διοικ.) Ἰ. κ. τ. πέ. πόλ. (A om haec) παρ. τε. (A om) -- λεγόμενον (A add τὸν) -- Πιλᾶτον (ita C, D -τῳ, A μετὰ Πιλάτου) κατηνάγκασαν (AC -νέγκασαν) σταυρ. cum ACD .. B corrupte Κατὰ τὴν ἄϑεον τῆς παρὰ τῶν Ἰουδ. συνγεναμένης τόλμης τῶν τὴν Ἱερουσαλὴμ κ. τὰς πέριξ πόλ. οἰκούντ. Ἰουδ. παρανόμων ϑεόν τινα λέγοντος Ἰησοῦ καταναγκάσαντες σταυρῶσαι .. E Ἐν τῷ παρόντι καιρῷ τόλμῃ χρησάμενοι οἱ κατοικοῦντες ἐν Ἱεροσολύμοις καὶ τὰς πέριξ χώρας παράνομοι Ἰουδαῖοι τὸν ϑεὸν τὸν λεγόμενον Ἰησοῦν μετὰ Πιλάτου κατηνάγκασαν σταυρωϑῆναι | διὰ τοῦ (ita CD, A om) τοι. αὐτῶν (A om) πλ. δι' οὗ (codd. δι' ὧν) -- εἵλκετο cum ACD .. B ὡς διὰ τῶν τοιούτων πλημμελημάτων τέλεον (sic) ὁ κόσμ. σκοτισϑεὶς εἰς ἀπ. εἵλκετο .. E καὶ διὰ τὸ τοιοῦτον πλημμέλημα τελείως ὁ κόσμ. ἐσκοτίσϑη καὶ παρ' ὀλίγον εἰς ἀπ. εἵλκετο | ἅμα πλήϑους (C -ϑει) .. E ἅμ. πλείστων | καὶ αἰχμ. ἐκϑέσϑ. (A corrupte οὖν ϑῆσον) ἐκϑέσϑ. δ. τ. τ. δόγμ. cum CD, item A .. B κ. αἰχμαλωτῆσαι διὰ τ. τ. δόγμ. πάντας αὐτούς, item E κ. αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν μεγάλην | πειϑαρχ. κινῆσαι (A -νησον) καὶ ἐν -- ἁπάσης (A om καὶ ἐν usq. ἁπάσης) ἐκδιώξας (A καὶ ἐκδίωξον αὐτοὺς καὶ) δεῖξον (A -ξαι) -- ἔτι (codd. ἐπί) τοῦτο -- τυγχάνοντες cum C (post ὀφϑῆναι deficit) D, A .. B πειϑαρχῶν οὖν τῷ δόγματι ἡμῶν κίνησον κατ' αὐτοῦ (corrige -τῶν) καὶ διὰ πειρὰς

Digitized by Google

[7] Καὶ τοῦ δόγματος τούτου φθάσαντος ἐν τῇ ἀνατολικῇ χώρᾳ, Λικιανὸς πειθαρχήσας τῷ φόβῳ τοῦ δόγματος ἐν ἀναλώσει πᾶν τὸ ἔθνος τῶν Ἰουδαίων ἐποίησεν, τοὺς δὲ καταλειφθέντας ἐν τῇ Ἰουδαίᾳ εἰς τὴν διασποράν τῶν ἐθνῶν δουλεύειν παρέσχεν, ὥστε γνωσθῆναι τῷ Καίσαρι ταῦτα τὰ γεγενημένα παρὰ Λικιανοῦ κατὰ τῶν Ἰουδαίων ἐν τῇ ἀνατολικῇ χώρᾳ καὶ ἀρέσαι αὐτῷ.

[8] Καὶ πάλιν ἔθετο ὁ Καῖσαρ ἐρώτησιν ποιῆσαι τοῦ Πιλάτου, καὶ κελεύει ἑνὶ ἄρχοντι ὀνόματι Ἀλβίῳ τὴν κεφαλὴν Πιλάτου ἀποτεμεῖν, φήσας Καθὼς οὗτος χεῖρας ἐπήγαγεν ἐπὶ τὸν ἄνδρα τὸν δίκαιον τὸν λεγόμενον Χριστόν, καὶ αὐτὸς ὁμοίως πεσεῖται τῆς σωτηρίας ἀποτευξόμενος.

[9] Ὁ δὲ Πιλᾶτος ἀπελθὼν ἐπὶ τὸν τόπον ηὔξατο σιωπῇ λέγων Κύριε, μὴ συναπολέσῃς με μετὰ τῶν πονηρῶν Ἑβραίων, ὅτι ἐγὼ χεῖρας κατὰ σοῦ οὐκ εἶχον ἐπενεγκεῖν εἰ μὴ διὰ τὸ ἔθνος τῶν παρανόμων Ἰουδαίων, ὅτι στάσιν κατ' ἐμοῦ ἐπήγαγον· ἀλλὰ σὺ γινώσκεις ὅτι ἀγνοῶν ἔπραξα. μὴ οὖν ἀπολέσῃς με τῇ ἁμαρ-

---

(sic) αὐτοὺς θέμενος διασκόρπισον αὐτοὺς ἐν πᾶσ. τ. ἔθν. καταδουλῶν αὐτοὺς καὶ τῆς Ἰουδαίας πάντας ἐκδιώξας ὀλιγοστὸν τὸ ἔθν. αὐτ. δείξας, ἐφ' ἅπ. μὴ ὀφθ. ἐν ἀνέσει, ἐπειδὴ τοις πονοις με (corrige τῆς πονηρίας μεστοὶ) τυγχάνουσιν .. E corruptissime διὰ τὸ μὴ πειθαρχήν σε (corrige πειθαρχῆσαι) τῷ ἡμετέρῳ δόγματι καὶ ποιῆσαι (ποίησον omisso καί?) αὐτοὺς εἰς διασπεράν, ἐν (corrige μὴ) ὀφθείησαν ἐν ταῖς πόλεσιν αὐτῶν, ὅτι πονηρίας πλήρεις τυγχάνουσιν.

7. E Λικίννιος | ἐν ἀναλώσει (pro his B inepte εἶπεν) πᾶν -- ἐποίησ. cum D (item ut videtur B) .. A ἀνάλωσιν παντὸς ἔθνους τ. Ἰ. ἐποίησ. .. E ἐξεδίωξε πάντας τ. Ἰουδαίους | τοὺς δὲ καταλ. ἐν τῇ Ἰουδ. (ita AD; B om) -- παρέσχ. (ita AD, B παρεσκεύασεν) .. E καὶ ἠχμαλώτευσεν αὐτοὺς ἐν διασπορᾷ πᾶσι τοῖς ἔθνεσιν, καὶ παρασκεύασε τούτους δουλεύειν. Praeterea BD add ἕως (B add τήν) σήμερον ἡμέρας (B -ραν) | D ταῦτ. τ. γινόμενα | ἐν τῇ ἀν. χ. καὶ ἀρ. αὐτῷ cum AD .. B om | E pro ὥστε etc sic: ὅπως γνωσθῶσιν καὶ τῷ Καίσαρι τὰ περὶ αὐτῶν

8. Καὶ πάλιν (B Πάλ. οὖν) -- ποιῆσαι (B ποιήσασθαι) -- ἄρχοντι (B πρόφεκτον, corrige πρεφέκτῳ) -- Πιλάτου (B τοῦ Πι.) ἀποτεμ. (B ἀποκόπτειν) .. E Καὶ ἐκέλευσεν ὁ Καῖσαρ πρεφεκτιάλδε (sic, vide post) ὀνόματι τὴν κεφ. ἀποκόψαι Πιλάτου | ἐπὶ τὸν -- Χριστόν .. B κατὰ τοῦ θεοῦ, E κατὰ τοῦ Ἰησοῦ | πεσεῖται (A πέσηται, D ποιήσεται, B τεύξεται, E τεύξεται τοῦ θανάτου) τῆς σωτ. ἀποτευξ. (D ἀποταξάμ., E om τ. σ. ἀ.)

9. Ὁ δὲ Πιλᾶτος etc: D hunc libelli finem habet: Δῶμεν δόξαν τῷ θεῷ ἡμῶν, ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. | μὴ συναπολέσῃς (B -σεις) cum BE .. A μὴ ἀπολέσεις | οὐκ εἶχον cum BE .. A οὐκ ἤθελον | A ἐπενέγκαι | E εἰ μὴ διὰ τὸ πονηρὸν ἔθν. κ. ἀστασίαστον τῶν Ἰουδ. τοῦτο ἐποίησα | B ἀλλ' ἴδας δέσπ. κύριε | μὴ οὖν (ita B; A μὴ συν-; E ἀλλὰ μὴ σὺν-) ἀπολέσῃς (-AB -σεις) με (A add δέσποτα κύριε) | τῇ ἁμ.

Digitized by Google

τίᾳ μου ταύτῃ, ἀλλὰ ἀμνησικάκησον ἐπ' ἐμοί, κύριε, καὶ τῇ δούλῃ σου Πρόκλᾳ τῇ ἱσταμένῃ μετ' ἐμοῦ ἐν τῇ ὥρᾳ ταύτῃ τοῦ θανάτου μου, ἣν ἀνέδειξας προφητεύειν ὅτι εἶχες σταυρῷ προσηλωθῆναι. μὴ ἐν τῇ ἐμῇ ἁμαρτίᾳ καὶ ταύτην καταδικάσῃς, ἀλλὰ συγχώρησον ἡμῖν καὶ ἐν μερίδι τῶν δικαίων σου συγκαταρίθμησον ἡμᾶς.

[10] Καὶ ἰδοὺ τελέσαντος τὴν εὐχὴν τοῦ Πιλάτου ἦλθεν φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα Μακαριοῦσίν σε πᾶσαι αἱ γενεαὶ καὶ αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι ἐπὶ σοῦ ἐπληρώθησαν ταῦτα πάντα τὰ ὑπὸ τῶν προφητῶν εἰρημένα περὶ ἐμοῦ· καὶ σὺ δὲ αὐτὸς μάρτυς μου ἐν τῇ δευτέρᾳ μου παρουσίᾳ ὀφθῆναι ἔχεις, ὅταν μέλλω κρῖναι τὰς δώδεκα φύλας τοῦ Ἰσραὴλ καὶ τοὺς μὴ ὁμολογήσαντας τῷ ὀνόματί μου. Καὶ ἐξετίναξεν τὴν κεφαλὴν Πιλάτου ὁ πρέφεκτος, καὶ ἰδοὺ ἄγγελος κυρίου ἐδέξατο αὐτήν. ἰδοῦσα δὲ ἡ γυνὴ αὐτοῦ Πρόκλα τὸν ἄγγελον ἐρχόμενον καὶ δεχόμενον τὴν κεφαλὴν αὐτοῦ, χαρᾶς πλησθεῖσα καὶ αὐτὴ παραυτὰ ἀπέδωκεν τὸ πνεῦμα, καὶ ἐτάφη μετὰ τοῦ ἀνδρὸς αὐτῆς.

μου ταύτῃ .. A τὴν ἵαν μ. -την, B ταύτῃ τῇ ἁμ., E ταῖς ἁμαρτίαις μου καὶ τῇ ἀγνοίᾳ μου ταύτῃ | ἀλλὰ ἀμνησικάκησον (ita E, item corrupte A) ἐπ' ἐμοὶ κύρ. καὶ τῇ etc .. B ἀλλὰ ἐλέησόν με καὶ τὴν δούλην σ. Πρόκλαν | E ἐν τ. ὥρ. τῆς τελευτῆς μου | ἣν ἀνέδειξ. (ita B; A ἥνπερ ἔδ., E ἣν ἔδ.) προφητεύειν (ita BE; A -τεῦσαι) | E om ὅτι εἶχ. στ. πρ. | E μὴ ἐν τῇ ἅμ. ἡμῶν κύριε καταδικ. ἡμᾶς | συγχ. ἡμῖν (B μοι; E add τὰ παραπτώματα ἡμῶν) κ. ἐν μερ. τ. δ. σου (E μετὰ τῶν ἁγίων σου) συγκαταρ. (ita B, AE συναριθ.) ἡμ.

10. A τελειώσαντος | E ἐκ τῶν οὐρανῶν | Μακ. σε (A add Πιλᾶτε) π. αἱ γεν. καὶ αἱ πατρ. (ita haec E; B π. αἱ γεν., A π. αἱ πατριαὶ [Bch -αρχαι] τ. ἐθν. (B om) | ἐπὶ σοῦ cum A .. B ὑπὸ σοῦ | ταῦτα -- εἰρημένα cum A .. B πάντ. [τὰ adde] ὑπομνήματα τῶν πρ. τὰ εἰρ. | E om ὅτι usq. περὶ (A παρ') ἐμοῦ | καὶ -- αὐτὸς (BE om) μάρτυς μου (B μαρτυρεῖς μου, E μ. μ. ἔσῃ, A μάρτ. ἔσῃ) ἐν τῇ (ita B, E ἐπὶ τῆς etc, A ἐν γὰρ τῇ) -- ὀφθ. ἔχ. (haec om E) | B ὅτε μέλλω | τὰς δώδ. -- ὁμολογ. τῷ ὀν. μ. (ita B, A καὶ πιστεύσαντας omissis τ. ὀ. μ.) .. E ζῶντας κ. νεκρούς, καὶ τὰς δώδ. φύλ. τὰς μὴ ὁμολογησάσας μηδὲ πιστευσάσας εἰς τὸ ὄν. μ. | Καὶ ἐξετίναξ. (E Ἥρε δὲ) τ. κ. Πιλ. (E αὐτοῦ) ὁ (A om) πρέφεκτος (E περφεκτιάλδεος sic, vide ante) cum AE .. B τότε οὖν ὁ Πιλ. ἐκτείνας τὸν τράχηλον αὐτοῦ, ἀπέτεμεν τὴν κεφ. αὐτοῦ ὁ πρόφεκτος (sic) | καὶ ἰδοὺ -- ἐδ. αὐτήν cum AE .. B om | B Θεωροῦσα δέ | τὸν ἄγγ. ἐρχ. -- τ. κε. αὐτοῦ (E om ἐρχ. usq. αὐτοῦ) cum AE .. B om | τὸ πνεῦμα .. A add αὐτῆς | μετὰ τ. ἀνδρ. αὐτῆς: his libellus finitur in BE .. A add Πιλάτου, Θελήσει καὶ εὐδοκίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Digitized by Google

Inhaltsverzeichnis

Vorwort 5
Einleitung 7
Die Grundlagen 11
Die Ausrüstung 15
Die Technik 19
Die Taktik 23
Die Übungen 27
Die Wettkämpfe 31
Die Regeln 35
Die Geschichte 39
Die Organisation 43
Die Finanzierung 47
Die Werbung 51
Die Presse 55
Die Zukunft 59
Schlußwort 63

fuerat familiaris Iesu, dicens O mulier, medicus quidam qui in hac civitate erat, qui solo verbo aegros sanabat, cur occiserunt[3]) eum Iudaei? At illa coepit flere dicens Heu me, domine, deus meus et dominus meus, quem Pilatus pro invidia tradidit, condemnavit et crucifigi praecepit. Tunc ille nimis dolens ait Vehementer doleo quia id pro quo dominus meus me[4]) miserat explere non valeo. Cui Veronica Dominus meus cum praedicando circuiret, et ego eius praesentia nimis invita carerem, volui mihi depingi imaginem, ut dum eius privarer praesentia, saltim mihi praestaret solatium imaginis suae figura[5]). Cumque linteum pictori deferrem pingendum, dominus meus mihi obviavit et quo tenderem requisivit. Cui cum viae causam aperuissem, a me petiit pannum, et ipsum mihi venerabilis suae faciei[6]) reddidit insignitum imagine. Ergo huius aspectum si dominus tuus devote intuebitur, continuo sanitatis beneficio potietur. Cui ille Est huiusmodi imago auro vel argento comparabilis? Cui illa Non, sed pio affectu devotionis. Tecum igitur proficiscar et videndum Caesari imaginem deferam, et revertar.

Venit igitur Volusianus cum Veronica Romam dixitque Tiberio imperatori Iesum diu a te desideratum Pilatus et Iudaei iniustae morti tradiderunt et per invidiam crucis patibulo affixerunt. Venit igitur mecum matrona quaedam ipsius Iesu imaginem deferens, quam si devote prospexeris, mox sanitatis tuae beneficium obtinebis. Caesar igitur pannis sericis viam sterni fecit et imaginem sibi praecepit praesentari: qui mox ut eam fuit intuitus, salutem est pristinam assecutus.

Pontius igitur Pilatus imperio Caesaris capitur et Romam perducitur. Audiens Caesar Pilatum Romam advenisse, nimio contra eum furore repletus est et eum ad se adduci fe-

---

[3]) *occiserunt*: ita codex.

[4]) *me*: in codice desideratur.

[5]) *figura*. Post hanc vocem in codice additur *Cui refert*.

[6]) Codex *venerabili sua facie*. Leg. aur. *insignitum*. *Imaginis ergo*

Digitized by Google

eit. Pilatus autem tunicam Iesu inconsutilem secum detulit: quam indutam coram imperatore portavit. Mox ut imperator eum vidit, omnem iram deposuit et ei protinus assurrexit, nec dure sibi in aliquo loqui praevaluit: et in eius absentia qui videbatur tam terribilis et ferus, nunc in eius praesentia invenitur quodammodo mansuetus. Cumque eum licentiasset, mox contra eum terribiliter exardescit, se miserum clamitans quia ei furorem sui pectoris minime ostendisset. Statimque eum revocari fecit iurans et contestans quia filius mortis est et nefas[7]) est eum vivere super terram. Qui cum eum vidit, continuo eum salutavit et omnem animi ferocitatem abiecit. Mirabantur omnes, mirabatur et ipse, quia sic contra Pilatum dum abesset exardesceret, et dum praesens esset nil ei loqui posset aspere. Tandem divino nutu vel forte alicuius Christiani suasu ipsum illa tunica expoliari fecit, et contra eum pristinam ferocitatem animi mox resumsit. Cumque de hoc imperator plurimum admiraretur, dictum est sibi quod illa tunica fuisset domini Iesu. Tunc imperator eum in carcerem recipi iussit, donec sapientum consilio deliberaret quid de eo fieri oporteret. Post autem paucos dies data est igitur in Pilatum sententia ut morte turpissima damnaretur. Audiens hoc Pilatus cultello proprio se necavit, et tali morte vitam finivit.

Cognita Caesar morte Pilati dixit Vere mortuus est morte turpissima, cui manus propria non pepercit. Moli igitur ingenti alligatur et in Tiberim fluvium immergitur. Spiritus vero maligni et sordidi corpori maligno et sordido congaudentes omnes in aquis movebantur, et fulgura et tempestates, tonitrua et grandines in aere terribiliter gerebant[8]), ita ut cuncti timore horribili tenerentur. Quapropter Romani ipsum a Tiberis fluvio extrahentes, derisionis causa ipsum in Viennam deportaverunt et Rhodani fluvio immerserunt: Vienna enim

[7]) Codex per errorem *fas*.

[8]) Fortasse rectius Leg. aut. *congaudentes et nunc in aquis nunc in aere ra pientes mirabiles inundationes in aquis movebant, et — — generabant*

Digitized by Google

dicitur quasi via gehennae, quia erat tunc locus maledictionis. Sed[9]) ibi nequam spiritus affuerunt, ibidem eadem operantes. Homines ergo illi tantam infestationem daemonum non[10]) sustinentes vas illud maledictionis a se removerunt et illud sepeliendum Losaniae territorio commiserunt. Qui cum nimis praefatis[11]) infestationibus gravarentur, ipsum a se removerunt et in quodam puteo montibus circumsepto immerserunt, ubi adhuc relatione quorumdam quaedam diabolicae machinationes ebullire dicuntur.

---

[9]) Adde *et?*

[10]) *non* deest in codice.

[11]) Codex *nimiis praefactis:* quae fortasse ferri possunt.

Digitized by Google

ΥΦΗΓΗΣΙΣ ΙΩΣΗΦ.

ΥΦΗΓΗΣΙΣ ΙΩΣΗΦ ΤΟΥ ΑΠΟ ΑΡΙΜΑΘΑΙΑΣ ΤΟΥ ΑΙΤΗΣΑΜΕΝΟΥ ΤΟ ΣΩΜΑ ΚΥΡΙΟΥ· ΕΝ Ω ΚΑΙ ΤΑΣ ΤΩΝ ΔΥΟ ΛΗΣΤΩΝ ΑΙΤΙΑΣ ΕΜΦΕΡΕΙ.

I.

[1] Ἐγὼ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας ὁ αἰτησάμενος παρὰ Πιλάτου τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ πρὸς ταφὴν καὶ ἐν δεσμῷ πιεζόμενος παρὰ τῶν φονέων καὶ θεομάχων Ἰουδαίων διὰ τὴν τοιαύτην αἰτίαν, οἵτινες καὶ τὸν νόμον κατέχοντες αὐτῷ τῷ Μωυσῇ πρόξενοι γεγόνασιν θλίψεως, τὸν δὲ νομοθέτην παροργίσαντες καὶ μὴ ἐπεγνωκότες τὸν θεὸν ἐσταύρωσαν καὶ εὔδηλον ἔθεντο τοῖς ἐγνωκόσι τὸν θεόν. Ἐν ἐκείναις ταῖς ἡμέραις ἐν αἷς κατέκριναν τὸν υἱὸν τοῦ θεοῦ σταυρωθῆναι, πρὸ ἑπτὰ ἡμερῶν τοῦ παθεῖν τὸν Χριστόν, τῷ ἡγεμόνι Πιλάτῳ παρεπέμφθησαν δύο λῃσταὶ ἀπὸ Ἱεριχὼ κατακριθέντες, ὧν ἡ αἰτία ἦν αὕτη.

---

* Ὑφήγησις (ita AD; C apud Birchium Ηη διηγησις) Ἰωσ. (D τοῦ Ἰω.) -- τοῦ (C om) κυρίου (A add ἡμῶν Ἰησοῦ Χριστοῦ; C add παραδώσεως?) -- ἐμφέρει (C ἐνφέρειν) .. B non habet inscriptionem.

I, 1. Ἀριμαθαίας cum AD .. BC - θείας | B om παρ. Πιλ. | τοῦ (C om) κυρ. (B om) Ἰησοῦ (D om) πρ. ταφ. (B om πρ. τ.) | καὶ (C om) ἐν δ. πιεζόμ. (ita A, C πιαζ.; B ἐταζόμ., D ἐπιζόμ.) -- θεομάχ. (B θεοκτόνων, C add ἀνθρώπων) Ἰουδ. δ. τ. τοιαύτ. (B αὐτοῦ) αἰτ. | B πρόξ. ἐγένοντο | θλίψεως (C add αἰωνίου) τὸν δὲ (ita AD, C om δέ. B corrupte sic: θλίψ. αἰνεῖς τὸν τούτων) νομοθ. | B παροργ. μὴ ἐγνωκότες ὅτι θεὸν ἐσταύρωσαν, ἔκδηλον ἐθέμη (corrige ἔθεντο) τοῖς ἐγνωκόσιν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεόν | ἐν ἐκ. (B add γὰρ) ταῖς -- κατέκριναν τ. υἱ. (B κατεκρίθη ὁ υἱ.) -- Πιλάτῳ (B Ποντίῳ Πιλ.) -- ἦν αὕτη.

Digitized by Google

[2] Ὁ πρῶτος, ὄνομα αὐτῷ Γέστας, ὁδοιποροῦντας ἐν φόνῳ μαχαίρας ἀπέκτεινεν, ἄλλους δὲ γυμνώσει ὑπέβαλεν, γυναῖκας δὲ ἐκ τῶν σφυρῶν κατὰ κεφαλῆς κρεμνῶν τοὺς μασθοὺς ἐξέκοπτεν, νηπίων μελῶν αἱμοπότης ὑπῆρχεν, θεὸν μὴ ἐγνωκὼς πώποτε, νόμοις μὴ ἀκολουθῶν, βίαιος τυγχάνων ἐξ ἀρχῆς εἰς τὰς τοιαύτας πράξεις.

Ἡ δὲ τοῦ ἑτέρου αἰτία τοιαύτη ἦν. Δημᾶς ἐκαλεῖτο, Γαλιλαῖος μὲν ἦν τῷ γένει, πανδοχεῖον δὲ εἶχεν· πλουσίων πειρατηρίοις ἐκέχρητο, πτωχοῖς δὲ εὖ ἐποίει· κλέπτης μὲν ὡς Τωβίτ, νεκροὺς γὰρ πτωχοὺς ἔθαπτεν. λῃστεύειν ἐπεχείρει τὸ τῶν Ἰουδαίων πλῆθος, αὐτὸν τὸν νόμον ἐν Ἱερουσαλὴμ συλήσας καὶ τὴν τοῦ Καϊάφα θυγατέρα γυμνώσας, ἱεράτιδα ὑπάρχουσαν τοῦ ἁγιάσματος, αὐτὴν τὴν τοῦ Σολομῶντος παρατεθεῖσαν μυστικὴν παρακαταθήκην τῷ τόπῳ ἀφελόμενος. τοιαῦται ὑπῆρχον αὐτοῦ αἱ πράξεις.

[3] Συνελήφθη δὲ καὶ ὁ Ἰησοῦς πρὸ τῆς ἡμέρας τοῦ πάσχα τρίτης, ὀψίας οὔσης. οὐκ ἦν δὲ τῷ Καϊάφᾳ καὶ τῷ πλήθει τῶν Ἰουδαίων πάσχα, ἀλλὰ πένθος ἦν αὐτοῖς μέγα, ὡς διὰ τὴν τοῦ λῃστοῦ σύλησιν γενομένην ἐν τῷ ἁγιάσματι· καὶ καλέσαντες Ἰούδαν τὸν Ἰσκαριώτην λέγουσιν αὐτῷ· ἀπὸ ἀδελφοῦ γὰρ Καϊάφα τοῦ ἱερέως ἦν. οὐκ ἦν δὲ μαθητὴς κατὰ πρόσωπον τοῦ Ἰησοῦ, ἀλλὰ δόλῳ προετρέψαντο αὐτὸν πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἵνα ἀκολουθήσει τῷ Ἰησοῦ· οὐχ ἵνα πειθαρχήσει τοῖς παρ'

---

2. C ὀνόματι Γέστας (B Γεύστας) | AC ἀπέκτενεν | AC ἐν γυμνώσει ὑπέβ. | μασθούς: ita A, B μαζούς, C μαστούς | θε. μὴ ἐγν. πώποτε (C ποτέ) .. A om | B εἰς τ. τοι. κακὰς καὶ αἰσχρὰς πράξ.

C Αἱ δ. τ. ἑ. λῃστοῦ αἰτίαι τοιαῦταί εἰσιν | Δημᾶς cum BC .. A Δύμας | πλουσίων - - εὖ ἐποίει: haec vario in codd. corrupta leguntur | κλ. μὲν (B add ἦν) ὡς Τωβ. (B ὁ Τωβίας) | B πτωχ. δὲ νεκρ. ἔθαπτ. | τὸ τ. Ἰουδ. πλῆθ. cum AC .. B τοὺς τ. Ἰ. ἱερεῖς | B ἱερατικὴν ὑπάρχ. | B παραθήκην | ἀφελόμενος cum A .. BC ἀφηλάμενος (sic) | αὐτοῦ .. B λῃστῶν

3. δὲ καί .. B οὖν | B πρὸ ἓξ ἡμερῶν τ. πάσχα, τρίτης ὀψ. οὔσ. | B om ὡς | B τ. λῃστ. ἔφοδον τὴν γενομένην ἐν τῷ πράγματι | Ἰούδαν (B τὸν Ἰ.) τὸν Ἰσκ. cum AB .. C οἱ Ἰουδαῖοι τὸν Σκαριώτην | λέγουσιν αὐτῷ· ἀπὸ (cod. praem εὐγενὲς γένος, quod ex margine irrepsisse videtur) ἀδ. γὰρ -- ἦν cum A, item C λέγ. αὐτῷ· εὐγενὴς γένος ὤν· ἀπὸ ἀδελφοῦ Καϊαφ. τ. ἱ. ἦν .. B καὶ λέγουσιν αὐτὸν ἐκ γένους ὄντα ἀδελφῆς τοῦ Καϊάφα ἱερέως | κατὰ πρόσωπ. cum AC .. B κατὰ τρόπον | C προετρέψατα | B om τῶν Ἰουδ. | ἵνα ἀκολουθήσει

Digitized by Google

αὐτοῦ γενομένοις σημείοις οὐδὲ ἵνα ὁμολογήσει αὐτόν, ἀλλ' ἵνα παραδώσει αὐτὸν αὐτοῖς, ψευδὲς ῥῆμα αὐτοῦ θέλων καταλαβέσθαι, δόματα δεδωκότες αὐτῷ ὑπὲρ τοῦ τοιούτου ἀνδραγαθήματος ἀνὰ δίδραγμον χρυσίου καθ' ἑκάστην ἡμέραν. ἦν δὲ καὶ δύο ἔτη ποιήσας μετὰ τοῦ Ἰησοῦ, ὡς φησιν εἷς τῶν μαθητῶν καλούμενος Ἰωάννης.

4 Καὶ τῇ τρίτῃ ἡμέρᾳ πρὸ τοῦ κρατηθῆναι τὸν Ἰησοῦν λέγει τοῖς Ἰουδαίοις ὁ Ἰούδας Δεῦτε συμβούλιον θώμεθα, ὅτι περ οὐκ ἐσύλησεν ὁ λῃστὴς τὸν νόμον ἀλλ' αὐτὸς ὁ Ἰησοῦς, κἀγὼ ἐλέγχω αὐτόν. τῶν δὲ τοιούτων ῥημάτων ῥηθέντων εἰσίει μεθ' ἡμῶν Νικόδημος ὁ κατέχων τὰς κλεῖς τοῦ ἁγιάσματος, καὶ ἔφη πᾶσιν Μὴ τοιοῦτον πρᾶγμα διαπράξασθε. ἦν γὰρ ἀληθὴς ὁ Νικόδημος ὑπὲρ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων. ἡ δὲ τοῦ Καϊάφα θυγάτηρ ὀνόματι Σάρρα κραυγάσασα ἔφη Αὐτὸς γὰρ ἔφη ἐπὶ πάντων κατὰ τοῦ ἁγίου τόπου τούτου Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγεῖραι αὐτόν. λέγουσιν οἱ Ἰουδαῖοι αὐτῇ Πίστιν ἔχεις παρὰ πάντας ἡμᾶς· εἶχον γὰρ αὐτὴν ὡς προφήτην. καὶ δὴ τοῦ συμβουλίου γενομένου ἐκρατήθη ὁ Ἰησοῦς.

---

cum B .. AC ἀκολουθῇ (A -θεῖ) | B ἢ ὁμολογήσει αὐτ. θεόν | ψευδὲς -- καταλαβ. cum B .. AC om | δίδραγμον: ita ABC | ἦν δὲ καὶ δύο (C om; A praem δέκαι, quod videtur ex repetito δὲ καί ortum esse; sed vide B, unde δέκα δύο legere possis) -- μ. τ. Ἰησοῦ .. B ἦν γὰρ δωδέκατος ποιήσ. μετὰ (haec pessime sic scripta sunt: πᾶσιν μὲν τὰς) τ. Ἰ.

4. Καὶ τρίτῃ ἡμέρᾳ (C -της -ρας) πρό cum AC .. B καὶ καιρὸν εὑρὼν τῇ τρ. ἡμ. πρό | B συνβουλευσώμεθα | B οὐκ ἔκλεψεν τὸ ἁγίασμα | εἰσίει cum A, item C .. B ἦν | B ὁ κατέχ. τὸν νόμον καὶ τὰς κλεῖς (C κλεῖδας) | Μὴ τοι. πρ. (B add τι) διαπρ. cum AB .. C Μὴ τοιούτων πραγμάτων πραξώμεθα | ἦν γὰρ ἀληθὴς (C -θινὸς) -- τῶν Ἰουδ. cum AC .. B εἰς ἐκεῖνον τὸν ἄνθρωπον· οὐδὲν γὰρ τοιοῦτον ἐποίησεν. καὶ οὐδεὶς αὐτὸν ἤκουσεν· οὐδὲ γὰρ ἦν εὐπρόσδεκτος ὁ Νικ. ὑπὲρ πᾶν τ. πλ. τ. Ἰουδ. | ἡ δὲ τοῦ (ita AB; C ἦν δὲ τῷ) Κα. -- Σάρρα (B Σέρα) κραυγάσασα (C καὶ κραυγάσας, B κλαύσασα) (A h. l. add ἐπὶ πάντων, quod cum BC ad ἔφη seq. transferendum videbatur) ἔφη | Αὐτὸς γὰρ (C ὅτι περ) ἔφη (C add ὁ Ἰησοῦς) ἐπὶ πάντ. (C ἐ. πᾶσι; de A vide ante) κατά cum AC .. B Ἤκουσα ἐγὼ ὅτι πᾶσιν ἔλεγεν κατά | B λέγων ὅτι δύναμαι καταλ. αὐτόν. καὶ εἶπαν οἱ Ἰουδ. | αὐτῇ Πίστ. -- ἡμᾶς cum C .. B Ταύτην πίστιν ἔχει ὑπὲρ πάντας ἡμᾶς .. A Αὕτη πιστοτέρα ἐστὶν πάντων ἡμῶν | προφήτην: ita ABC | καὶ δὴ τοῦ (C καὶ διὰ τοῦτο) συμβ. γεν. (C γιν.) cum AC .. B καὶ δὴ τοῦ λόγου στοιχήσαντος συνβουλίου γενομένου

Digitized by Google

II.

[1] Τῇ δὲ ἐπαύριον, ἡμέρᾳ τῆς τετράδος, εἰσήνεγκαν αὐτὸν ὥρᾳ ἐνάτῃ εἰς τὴν αὐλὴν τοῦ Καϊάφα. καὶ λέγουσιν αὐτῷ Ἄννας καὶ Καϊάφας Εἰπὲ ἡμῖν, τίνος ἕνεκεν τὸν νόμον ἡμῶν ἐσύλησας, καὶ Μωσέως καὶ τῶν προφητῶν τὰς ἐπαγγελίας ἀπεκήρυξας; ὁ δὲ Ἰησοῦς οὐδὲν ἀπεκρίνατο. πάλιν δὲ ἐκ δευτέρου παρόντος καὶ τοῦ πλήθους λέγουσιν αὐτῷ Τὸ ἁγίασμα ὃ ἔκτισε Σολομὼν ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσιν, διά τί σὺ βούλῃ ἐν μιᾷ ῥοπῇ καταλῦσαι; καὶ οὐδὲν ἀπεκρίνατο πρὸς ταῦτα ὁ Ἰησοῦς. ἦν γὰρ τῆς συναγωγῆς τὸ ἁγίασμα σεσυλημένον διὰ τοῦ λῃστοῦ.

[2] Ὀψίας δὲ τελεσθείσης τῆς τετράδος ἅπαν τὸ πλῆθος ἐζήτει τὴν θυγατέρα τοῦ Καϊάφα πυρὶ ἐναλῶσαι διὰ τὴν τοῦ νόμου ἀπώλειαν, ὅτι οὐκ εἶχον τὸ πῶς τὸ πάσχα ποιῆσαι. καὶ εἶπεν αὐτοῖς ἐκείνη Ἐπιμείνατε τέκνα καὶ τὸν Ἰησοῦν τοῦτον ἀπολέσωμεν, καὶ ὁ νόμος εὑρίσκεται καὶ ἡ ἑορτὴ ἡ ἁγία ἐπιτελουμένη ἐπιτελεῖται. λαθραίως δὲ ἔδωκαν Ἄννας καὶ Καϊάφας χρυσίον ἱκανὸν Ἰούδᾳ τῷ Ἰσκαριώτῃ, λέγοντες Εἰπέ, καθὼς προεῖπες ἡμῖν, ὅτι ἐγὼ οἶδα τὸν νόμον κλαπέντα παρὰ τοῦ Ἰησοῦ, ὅπως εἰς αὐτὸν τὸ ἔγκλημα τραπῇ καὶ μὴ εἰς τὴν κόρην ταύτην τὴν ἄμεμπτον. καὶ ταῦτα συνταξάμενος ὁ Ἰούδας εἶπεν αὐτοῖς Μὴ πᾶν τὸ πλῆθος γνῷ ὅτι ἐγὼ ὑφ' ὑμῶν ἐπεδιδάχθην τοῦτο κατὰ τοῦ Ἰησοῦ πρᾶξαι· ἀλλὰ ἀπολύσατε τὸν Ἰησοῦν, κἀγὼ πείθω

II, 1. A ὥραν ἐννάτην | A καὶ προφητῶν καὶ Μωσέως (B Μωυσ.) | ἀπεκήρυξας (an potius scribas ἀπέκρυψας?) cum AC .. B ἠκύρωσες | πάλ. δὲ (C om, B utrumque om) ἐκ δευτ. (B add οὖν) παρ. καὶ (AC om) τ. πλ. λέγ. (B εἶπαν) αὐτ. | τὸ ἁγ. ὅ cum AC .. B τὸν ναὸν ὃν | B ἐν ῥοπῇ καιροῦ | ἦν γὰρ (C add πρὸ) τῆς συν. τὸ ἁγ. σεσ. διὰ τ. λῃστ. (C om δ. τ. λ.) cum AC .. B ἐν ἀληθείᾳ γὰρ ἦν ἡ συναγωγὴ καὶ τὸ ἁγ. ἐσυλομένον (sic vitiose) δ. τ. λ., τὸν νόμον μὴ ἔχουσα

2. B Ὀψ. δὲ γενομένης τῆς -- ἐζήτουν τ. θυγατέραν -- ἀναλ. αὐτὴν -- εἶχαν τὸ πάσχ. πῶς ποι. | τὸ πῶς .. A om τό | κ. εἶπ. αὐτ. ἐκείνη cum AC .. B ὁ δὲ Καϊάφας ἔφη πρὸς τὸν λαόν | B Μείνατε τέκνα καὶ συνδράμετε ἡμῖν ὅπως ἀπολέσωμεν τ. Ἰησ. | καὶ ἡ ἑορτ. -- ἐπιτελουμένη (C om) ἐπιτ. cum AC .. B καὶ ἑορτὴν τελείαν ἐπιτελοῦμεν | καθ. πρ. ἡμῖν cum B .. AC om | τραπῇ cum B .. AC ᾖ | ταύτην (AC om) τ. ἄμεμπτ. (C ἀμώμητον) | συνταξάμ. cum AC .. B καταδεξάμενος | B Φοβοῦμαι μὴ πᾶν | γνῷ .. C add τοῦτο | BC ἐδιδάχθην | B πρᾶξαι, καὶ ἀπιστήσωσιν· ἀλλὰ τοῦτο ποιήσαντες ἀπολύσατε τὸν Ἰησ. etc

Digitized by Google

τὸ πλῆθος ὅτι ταῦτα οὕτως ἔχει. καὶ δόλῳ ἀπέλυσαν τον Ἰησοῦν.

3 Ὁ δὲ Ἰούδας εἰσελθὼν εἰς τὸ ἁγίασμα διαφαυούσης ἡμέρας πέμπτης λέγει πρὸς πάντα τὸν λαόν Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω τὸν καθαιρέτην τοῦ νόμου καὶ τῶν προφητῶν συλήτην; λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι Ἐὰν παραδώσῃς ἡμῖν αὐτόν, δώσωμέν σοι τριάκοντα ἀργύρια χρυσίου. οὐκ ᾔδει δὲ ὁ λαὸς ὅτι περὶ τοῦ Ἰησοῦ λέγει ὁ Ἰούδας· ὁμολόγουν γὰρ αὐτὸν ἱκανοὶ εἶναι υἱὸν θεοῦ. καὶ ἔλαβεν ὁ Ἰούδας τὰ τριάκοντα ἀργύρια χρυσίου.

4 Καὶ ἐξελθὼν τῇ ὥρᾳ τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ εὑρίσκει τὸν Ἰησοῦν περιπατοῦντα ἐν τῇ πλατείᾳ. μελλούσης δὲ ὀψίας γενέσθαι λέγει τοῖς Ἰουδαίοις ὁ Ἰούδας Βοήθειαν στρατιωτῶν δότε μοι μετὰ μαχαιρῶν καὶ ξύλων, κἀγὼ παραδώσω ὑμῖν αὐτόν. ἔδωκαν οὖν αὐτῷ ὑπηρέτας ἐπὶ τὸ πιάσαι αὐτόν. πορευομένων δὲ αὐτῶν λέγει αὐτοῖς ὁ Ἰούδας Ὃν ἂν ἐγὼ φιλήσω, κρατήσατε αὐτόν· αὐτὸς γὰρ τὸν νόμον καὶ τοὺς προφήτας ἐσύλησεν. προσελθὼν οὖν τῷ Ἰησοῦ κατεφίλησεν αὐτὸν λέγων Χαῖρε ῥαββί, ὀψίας οὔσης τῆς πέμπτης. καὶ κρατήσαντες παρέδωκαν αὐτὸν πρὸς Καϊάφαν καὶ τοὺς ἀρχιερεῖς, λέγοντος τοῦ Ἰούδα ὅτι οὗτός ἐστιν ὁ τὸν νόμον συλήσας καὶ τοὺς προφήτας. ἄδικον δὲ ἐξέτασιν ἐδίδουν οἱ Ἰουδαῖοι τῷ Ἰησοῦ λέγοντες Διά τί ταῦτα ἐποίησας; καὶ οὐδὲν ἀπεκρίνατο.

---

3. Ὁ δὲ etc .. C corrupte | διαφ. (C διαφασυσ.) ἡμέρ. (C τῆς) πέμπτ. cum AC .. B τῇ ἡμέρᾳ τῇ πέμπτῃ | Ἐὰν παραδώσῃς (C -σεις) ἡμ. αὐτόν .. B om | δώσωμεν cum B .. A διδῶμεν, C διδοῦμεν | ἀργ. χρυσ. cum AC .. B χρυσίνα (sic) | ὁμολόγουν γὰρ (C ὁμολογοῦντας?): ita ABC | ἱκανοί .. B οἱ πλείονες | B τὰ τριάκ. χρυσίνα

69 Πέτρος εἶπεν Ἕνα θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κηρύσσομεν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὃς ἐστιν ἀληθινὸς βασιλεύς, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Νέρων εἶπεν Τίς βασιλεὺς κύριος; Παῦλος εἶπεν Ὁ σωτὴρ πάντων τῶν ἐθνῶν. Σίμων εἶπεν Ἐγώ εἰμι ὃν λέγετε. Πέτρος καὶ Παῦλος εἶπον Μηδέποτε εἴη σοι καλῶς, Σίμων μάγε καὶ πικρία ἀνάμεστε.

70 Σίμων εἶπεν Ἄκουε, Καῖσαρ Νέρων· ἵνα γνῷς ψευδεῖς εἶναι τούτους κἀμὲ ἐκ τῶν οὐρανῶν πεμφθέντα, τῇ αὔριον ἡμέρᾳ εἰς τοὺς οὐρανοὺς ἀνέρχομαι, ἵνα τοὺς πιστεύοντάς μοι μακαρίους ποιήσω, εἰς δὲ τούτους τοὺς ἀρνησαμένους με τὴν ὀργήν μου ἐνδείξομαι. Πέτρος καὶ Παῦλος εἶπον Ἡμᾶς πάλαι ὁ θεὸς ἐκάλεσεν εἰς τὴν ἰδίαν δόξαν· σὺ δὲ ὑπὸ τοῦ διαβόλου κληθεὶς σπεύδεις πρὸς κόλασιν. 71 Σίμων εἶπεν Καῖσαρ Νέρων, ἄκουσόν μου· τοὺς μαινομένους τούτους ἀποχώρισον ἀπὸ σοῦ, ἵνα ἐν τῷ πορεύεσθαί με εἰς τὸν οὐρανὸν πρὸς τὸν πατέρα μου γενήσομαί σοι εὐίλατος. Νέρων εἶπεν Καὶ πόθεν τοῦτο δοκιμάσωμεν, ὅτι εἰς τὸν οὐρανὸν ἀπέρχῃ; Σίμων εἶπεν Κέλευσον γενέσθαι πύργον

---

69. Ἕνα θεόν usque Χριστοῦ (A add ἡμεῖς): ita ABD. E sic: Ἕνα θεὸν τὸν πατέρα ἐν Χριστῷ σωτῆρι σὺν τῷ ἁγίῳ πνεύματι δημιουργὸν τῶν ἁπάντων. Latini *Ego* (codd. duo plura parum apta praem) *unum esse deum patrem* (duo plura add) *et I. Chr. filium eius* (duo *et unum dominum I. Chr. salvatorem* [Guelf.^{b} add *mundi*]) *cum spiritu sancto* (haec om Flor.; duo add *et*) *creatorem omnium rerum praedico* (duo *annuntiamus generi humano*) | ἀληθινός: D ἀληθείας | Τίς βασ. κύρ. ex E et latinis (*Quis est rex dominus*); reliqui: Τίς ἐστιν οὗτος ὁ (D θεός pro ὁ) βασιλεύς | Ὁ σωτήρ ex E et latinis; reliqui: Κύριος καὶ σωτήρ | τῶν: om E | λέγετε: ita E. Sed reliqui add καὶ (B add οὐκ) οἴδατε (D ἴδατε) Παῦλε καὶ Πέτρε (BD Πέ. κ. Παῦλ.). ἀλλ' οὐ μὴ ἀποφήνομαι καθ' ὑμῶν· τοῦτο γὰρ ποθεῖτε ἵνα τοῦ μαρτυρίου ὑμᾶς καταξιώσω (B μαρτ. ἀξιωθῆτε; item latini: *et* (Flor. *ut*) *sciatis, Pe. et Pa., non vobis contingit quod cupitis, ut martyrio vos digner.* | AB σοι (B σου) εἴη, D σὺ εἶ | Σίμ. usque ἀνάμεστε: B ἀναιδέστατε

70. D om Νέρων | ψευδεῖς ex E; reliqui ψεύστας | E καὶ ἐμέ | B τῇ αὔρ. οὖν, E τῇ γὰρ αὔρ. | B ἀπέρχομαι | ἵνα ex ABD et latinis; E καί | BD πιστεύοντάς με | τ. ἀρνησαμένους με ex E; reliqui (et lat.) τοὺς (B add μή) τολμήσαντάς με ἀρνήσασθαι (D ἀρν. με) | E om πάλαι | E πρὸς τὴν ἰδίαν | D πρὸς (B εἰς) κόλασ. ἑαυτοῦ

71. Καῖσ. Νερ. ex E et latinis; reliqui ἀγαθὲ βασιλεῦ | E καὶ τοὺς μαινομ. | γενήσ. σοι ex E; reliqui et lat. δυνήσομαί (B δυνήσωμαι) σοι (D σε) εἶναι (B post εὐίλ. ponit) | πόθεν ex E, latini *unde*; reliqui πῶς | δοκιμάσωμεν (lat. *probamus*) ex E; reliqui γνώσομαι | ἀπέρχῃ (lat. *vadis*) ex E; reliqui

Digitized by Google

ὑψηλὸν ἀπὸ ξύλων καὶ δοκῶν μεγάλων, ἵνα ἐπ' αὐτὸν ἀνέλθω, καὶ οἱ ἄγγελοί μου εἰς τὸν ἀέρα με εὕρωσιν· οὐδὲ γὰρ δύνανται ἐπὶ τῆς γῆς μεταξὺ τῶν ἁμαρτωλῶν ἐλθεῖν πρὸς μέ. Νέρων εἶπεν Θέλω ἰδεῖν εἰ πληροῖς ὃ λέγεις.

72 Τότε ὁ Νέρων προσέταξεν ἐν τῷ κάμπῳ Μαρτίῳ ὑψηλὸν γενέσθαι πύργον καὶ πάντας τοὺς λαοὺς καὶ τὰ ἀξιώματα γενέσθαι ἐπὶ τῇ θεωρίᾳ. ἐν ἑτέρᾳ δὲ ἡμέρᾳ συνελθόντος τοῦ πλήθους ἐκέλευσεν ὁ Νέρων παραγενέσθαι τὸν Πέτρον καὶ τὸν Παῦλον, πρὸς οὓς καὶ εἶπεν Νῦν ἔχει ἡ ἀλήθεια φανερωθῆναι. Πέτρος καὶ Παῦλος εἶπον Ἡμεῖς αὐτὸν οὐ παραδειγματίζομεν ἀλλ' ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὃν οὗτος ἑαυτὸν διεψεύσατο.

73 Καὶ στραφεὶς ὁ Παῦλος πρὸς τὸν Πέτρον εἶπεν Ἐμὸν μὲν τὸ γόνυ κλῖναι καὶ τὸν θεὸν ἱκετεύειν, σὸν δὲ τὸ ἀνύσαι, εἴ τι ἂν ἴδῃς αὐτὸν ἐπιχειροῦντα, ὅτι σὺ πρῶτος προεχειρίσθης ὑπὸ τοῦ κυρίου. καὶ θεὶς τὰ γόνατα ὁ Παῦλος προσηύχετο. ὁ δὲ Πέτρος ἀτενίσας εἰς τὸν Σίμωνα εἶπεν Πλήρωσον ὃ ἐνήρξω· ἤγγικεν γὰρ καὶ ὁ σὸς παραδειγματισμὸς καὶ ἡ ἡμετέρα ἀνάκλησις· ὁρῶ γὰρ τὸν Χριστόν μου καλοῦντα ἐμέ τε καὶ τὸν Παῦλον. 74 Νέρων

ἀνέρχῃ | Κέλ. γεν. πύργ. ex DE; AB Κέλ. μοι πύργ. γεν. | ἀπὸ ξύλ. κ. δοκ. μεγ. cum ABD et latinis; E ἐκ ξύλων | ἀνέλθω καί cum DE; AB ἀνελθών | E καὶ ἐλθόντες οἱ ἄγγ. εὕρωσί με ἓν τῷ ἀέρι | οὐδὲ γὰρ δύν. ex E; reliqui οὐ γ. δύν. (B δύν. γ.) | B om ἐπὶ τῆς γῆς et τῶν | Νέρ. εἶπ. usque λέγεις ex E et latinis; reliqui om

72. Τότε: D Καί | ἐν cum BDE; A om | Μαρτίῳ: D τῷ λεγομένῳ Μαρτησίῳ | E om ὑψηλόν | καὶ πάντας usque πλήθους ex E, similiter latini; reliqui καὶ πάντες οἱ λαοὶ καὶ πᾶσαι (D om) τῶν στρατιωτῶν αἱ ἀξίαι (B αἱ τῶν στρ. ἀξ.) ἐπὶ τὸ (D τῷ) θεωρῆσαι τοῦτον (B τοῦτο) συνῆλθον. ἐν ταύτῃ οὖν (D δὲ) τῇ συνδρομῇ | D om ὁ Νέρων | παραγεν. usque εἶπεν ex E; reliqui (similiterque latini): τὸν Πέ. κ. τὸν Πα. παραστῆναι, οἷς οὕτως (D om, B οὗτος) εἶπεν (B ἔφη) | B εἶπεν Ἡμεῖς | D δειγματίζομεν | B om ἡμῶν | D Ἰησ. ὁ Χρ. | τοῦ θεοῦ ex E et latinis; reliqui add τοῦ ζῶντος | ὃν usque διεψεύσ. ex E et latinis; reliqui ὃν ἑαυτὸν εἶναι (B om) ἀπετόλμησεν (D ἐτόλμησεν) εἰπεῖν

73. Καὶ στραφεὶς ex E et latinis; reliqui τότε | εἶπεν: AB ἔφη | Ἐμὸν μ. τὸ γ. κλ. καὶ (om cod.) τόν usque ἀνύσαι ex E. Reliqui Ἐμόν ἐστιν τῶν γονάτων τεθέντων τὸν θεὸν ἱκετεῦσαι (D om Ἐμόν usque ἱκετ.), σὸν δέ ἐστι τὸ ἀναλῦσαι (D ἀνύσαι). Latini: *Meum est genibus positis deum exorare, tuum imperare* (Flor. *impetrare*) | εἴ usque ἐπιχειρ. ex ABD et latinis: E om | D om σύ | προεχειρίσθ. ex E; AD ἐξελέχθης, B ἐπελέχθ. Latini *electus es* | ἀτενίσ. ε. τ. Σίμ. ex E et latinis; AD πρὸς τὸν Σίμ., B τῷ Σίμωνι | E ἤρξω | ἤγγικεν cum DE; AB ἤγγισε (B -σεν) | γὰρ καί ex E, latini *autem et*; reliqui om καί | D προσκαλοῦντα ἡμᾶς

Digitized by Google

εἶπεν Καὶ ποῦ ἀπελεύσεσθε παρὰ τὴν ἐμὴν βούλησιν; Πέτρος εἶπεν Ὅπου ἐὰν προσκέκληται ἡμᾶς ὁ κύριος ἡμῶν. Νέρων εἶπεν Καὶ τίς ἐστιν ὁ κύριος ὑμῶν; Πέτρος εἶπεν Ἰησοῦς ὁ Χριστός, ὃν ἐγὼ ὁρῶ προσκαλούμενον ἡμᾶς. Νέρων εἶπεν Οὐκοῦν καὶ ὑμεῖς εἰς τὸν οὐρανὸν μέλλετε ἀπελθεῖν; Πέτρος εἶπεν Εἴ τι δόξει τῷ καλοῦντι ἡμᾶς. Σίμων εἶπεν Ἵνα γνῷς, βασιλεῦ, τούτους ἀπαταιῶνας εἶναι, παραυτίκα οὖν ὡς ἀναβῶ εἰς τὸν οὐρανὸν πέμψω τοὺς ἀγγέλους μου πρὸς σὲ καὶ ποιήσω σε ἐλθεῖν πρὸς μέ. Νέρων εἶπεν Ποίησον λοιπὸν ἃ λέγεις.

[75] Τότε Σίμων ἀνέβη ἐπὶ τὸν πύργον ἐνώπιον πάντων, καὶ ἐκτείνας τὰς χεῖρας ἐστεφανωμένος δάφναις ἤρξατο πέτεσθαι. Νέρων δὲ ὡς εἶδεν πετόμενον, ἔφη πρὸς τὸν Πέτρον Ἀληθινὸς ὁ Σίμων οὗτος· σὺ δὲ καὶ Παῦλος πλάνοι ἐστέ. πρὸς ὃν ὁ Πέτρος ἔφη Παραχρῆμα γνώσει ἡμᾶς ἀληθινοὺς τοῦ Χριστοῦ μαθητάς, τοῦτον δὲ μὴ εἶναι Χριστὸν ἀλλὰ μάγον καὶ κακοῦργον. Νέρων εἶπεν Ἔτι ἐνίστασθε; ἰδοὺ θεωρεῖτε αὐτὸν ἀνερχόμενον εἰς τὸν οὐρανόν. [76] Τότε ὁ Πέτρος ἀτενίσας τῷ Παύλῳ εἶπεν Παῦλε, ἀνάνευσον καὶ ἴδε. ἀνανεύσας δὲ ὁ Παῦλος πλήρης δακρύων καὶ θεασάμενος πετόμενον τὸν Σίμωνα εἶπεν Πέτρε, τί ἀργεῖς; τελείωσον ὃ ἐνήρξω· ἤδη γὰρ προσκαλεῖται ἡμᾶς ὁ κύριος ἡμῶν

---

74. D βουλήν | Ὅπου ἐάν (A ἄν) προσκέκλ. (ita E; AD προσκαλέσηται) usque ἡμῶν: B Πρὸς Χριστὸν προσκαλούμενον ἡμᾶς | Καὶ (A om, item lat.) τίς usque προσκαλ. ἡμᾶς. Νέρ. εἶπεν: haec omnia om BD | E Ἰησ. Χριστ. | ἀπελθεῖν cum BE (Latini *ituri estis*); AD ἀνελθεῖν et D pergit οἱ δὲ εἶπον Εἴ τι καὶ ὅπου δόξει (BE δόξῃ) | Εἴ τι: E Ὅπου ἄν | Ἵνα γνῷς (B γνώσῃς) usque παραυτίκα οὖν ὡς (D παραυτὰ ἡνίκα) ἀναβῶ: E Γνῶθι, βασιλεῦ, ὅτι οὗτοι οἱ ἄνθρωποι πλάνοι εἰσίν· ἰδοὺ γὰρ παραυτίκα ἀνελθόντος μου | D πέμπω | Ποίησον λ. ἃ λέγ. cum E et latinis. Reliqui Ποίησον ἐν τάχει· θέλω γὰρ ἰδεῖν εἰ πληροῖς (D ἰδ. σε πληροῦντα) ὃ λέγεις

75. ABD ὁ Σίμων | ἐστεφαν. (B στεφ.) δάφναις (D δάφνας, E τὴν κεφαλὴν ἐκ δάφνης): D aute καὶ ἐκτείνας ponit | πέτεσθαι cum BD; A πέτασθαι, E πετᾶσθαι | ABD ὁ δὲ Νέρων | ὡς εἶδεν: B ἰδών et ABD add αὐτόν | πετόμενον cum ADE; B πετώμενον | Ἀληθινὸς ὁ Σ. οὗτ. cum E; reliqui: Ἀληθινὸς (D Ἀληθῶς) ἄνθρωπός ἐστιν ὁ Σίμ. | B πρ. ὃν ὁ Παῦλος | γνώσει cum DE; AB -σῃ et ABD add βασιλεῦ, sed nec E nec latini | ABD ἡμᾶς μὲν ἀληθ. τοῦ (B τοὺς) Χρ. εἶναι μαθ. | D om μὴ εἶν. Χρ. ἀλλὰ μάγ. καί | E ἀνελθόντα | οὐρανόν: D add καὶ ἐπιμαίνετε

76. ἀνάνευσον: B ἀνάνιψον | πετόμενον cum ADE; B (post τ. Σίμ.) πετώμενον | ἀργεῖς cum E (Latini *cessas*): A παύῃ, B ἔστηκας, D ποιεῖς | ἐν-

Digitized by Google

Ἰησοῦς Χριστός. καὶ ὁ Νέρων ἀκούσας αὐτῶν ὑπεμειδίασεν καὶ εἶπεν Οὗτοι βλέπουσιν ἑαυτοὺς ἡττημένους ἄρτι καὶ ληροῦσιν. Πέτρος εἶπεν Ἄρτι γνώσει μὴ εἶναι ἡμᾶς λήρους. ἔφη ὁ Παῦλος τῷ Πέτρῳ Ποίησον τὸ λοιπὸν ὃ ποιεῖς.

77 Καὶ ἀτενίσας ὁ Πέτρος κατὰ τοῦ Σίμωνος εἶπεν Ὁρκίζω ὑμᾶς, οἱ ἄγγελοι τοῦ σατανᾶ οἱ φέροντες αὐτὸν εἰς τὸν ἀέρα πρὸς τὸ ἀπατᾶν τὰς τῶν ἀπίστων καρδίας, τὸν θεὸν τὸν κτίσαντα τὰ πάντα καὶ Ἰησοῦν Χριστὸν ὃν τῇ τρίτῃ ἡμέρᾳ ἤγειρεν ἐκ τῶν νεκρῶν, ἵνα ἀπὸ ταύτης τῆς ὥρας μηκέτι αὐτὸν βαστάξητε, ἀλλ' ἐξεάσατε αὐτόν. καὶ παραχρῆμα ἀπολυθεὶς ἔπεσεν εἰς τόπον λεγόμενον σάκρα βία, ὅ ἐστιν ἱερὰ ὁδός, καὶ διεμερίσθη εἰς τέσσαρα μέρη, κακῷ μόρῳ διαφωνήσας.

78 Τότε Νέρων ἐκέλευσεν σιδηρωθῆναι Πέτρον καὶ Παῦλον, τὸ δὲ σῶμα τοῦ Σίμωνος ἐπιμελῶς τρισὶν ἡμέραις τηρεῖσθαι, νομίζων ἐγείρεσθαι τῇ τρίτῃ ἡμέρᾳ. πρὸς ὃν ὁ Πέτρος εἶπεν Οὗτος οὐκέτι ἐγείρεται, ἐπειδὴ ἀληθῶς τέθνηκεν, εἰς τὴν αἰώνιον κατακριθεὶς κόλασιν. ὁ δὲ Νέρων εἶπεν πρὸς αὐτόν Τίς σοι ἐπέτρεψεν τοιοῦτον πρᾶγμα ποιῆσαι δεινόν; Πέτρος εἶπεν Ἡ ἐννόησις καὶ ἡ βλασφημία αὐτοῦ ἡ πρὸς τὸν κύριόν μου Ἰησοῦν Χριστὸν ἤγαγεν

ἠρξω: E βούλῃ | Ἰησ. Χρ. cum BDE; A Ἰησ. ὁ Χρ. | E Νέρων δέ | E om αὐτῶν | B ἡττωμένους | E om ἄρτι | γνώσει cum D; AB -σῃ: E ὄψῃ | B om Πέτρ. ε. Ἄρτι usque λήρους | ἔφη (AB add δέ) ὁ (B om) Πα.: E καὶ στραφεὶς ὁ Πα. εἶπε | Ποί. τὸ λ. ὃ ποι. (A ὃ ποι. τὸ λ.): E πλήρωσον ὃ βούλει. et D add τί βραδύνῃς

77. Καὶ ἀτεν. ὁ Πέ. cum E et latinis; reliqui Τότε ὁ Πέ. ἀτεν. | ἀπίστων: AD et lat. add ἀνθρώπων | τὸν κτίσαντα usque Ἰησ. Χρ. ex E. Reliqui τὸν κτίστην τῶν ἁπάντων καὶ (D τὸν) κύριον (D add ἡμῶν) Ἰησ. τὸν (BD om) Χρ. | E om τῶν | DE om ἵνα | E βαστάζητε | B ἐάσατε | B καλούμενον | σάκρα βία ut BE; A σακραβία | ὅ ἐστιν: E ἥτις λέγεται | καὶ διεμερίσθη usque διαφωνήσας ex E. Reliqui consentientibus latinis: καὶ τέσσαρα μέρη γενόμενος τέσσαρας σίλικας συνήνωσεν (*quatuor silices adunavit*), οἵ εἰσιν εἰς μαρτύριον τῆς τῶν ἀποστόλων νίκης (B νικήσεως) ἕως τῆς σήμερον ἡμέρας

78. Τότε etc ex E. Reliqui Τότε ὁ Νέρ. θυμοῦ πλησθεὶς κρατήσας τὸν Πέ. καὶ τὸν (B om) Παῦλ. ἐποίησεν ἐν δεσμοῖς γενέσθαι· τὸ δὲ σῶμα τοῦ Σίμ. ἐκέλευσεν ἐπιμελῶς ἐν τρισὶν ἡμέραις (D τρεῖς ἡμέρας) φυλαχθῆναι (B ἐπιμελ. τηρεῖσθαι καὶ φυλαχθῆναι ἕως τριῶν ἡμερῶν) | ABD ἐγερθῆναι αὐτὸν τῇ | κόλασιν: D κρίσιν, sed in margine Γράφε κόλασιν | Ἡ ἐννόησις usque ἀπωλείας ex E. Reliqui: Ἡ ἔρις (D αἵρεσις) αὐτοῦ καὶ ἡ πονηρὰ ἔννοια καὶ αἱ (D ἡ) βλασφημίαι (D -μία) αὐτοῦ παρέσχον αὐτῷ τὸ ἀπολέσθαι. Latini: *Contentio eius et si* (Guelf.b *ut*) *intelligas, imperator, multum est ei* (Guelff. *esse* et *ei esse*)

αὐτὸν εἰς τοῦτο τὸ βάραθρον τῆς ἀπωλείας. Νέρων εἶπεν Κακῇ αἱρέσει ὑμᾶς ἀπολέσω. Πέτρος εἶπεν Οὐχὶ σὺ τοῦτό ἐστιν, εἰ καὶ δοκεῖ σοι ἀπολέσθαι ἡμᾶς, ἀλλ' ὃ ἐπηγγείλατο ἡμῖν ὁ διδάσκαλος ἡμῶν χρεία πληρωθῆναι.

[79] Τότε Νέρων καλέσας Ἀγρίππαν τὸν ἔπαρχον εἶπε πρὸς αὐτόν Ἀνθρώπους θρησκεύοντας κακῶς χρὴ ἀποθανεῖν. ὅθεν κελεύω τούτους σιδηρᾶς λαβόντας ἐν τῷ ναυμαχίῳ ἀναλωθῆναι. Ἀγρίππας ὁ ἔπαρχος εἶπεν Ἱερώτατε βασιλεῦ, οὐκ ἁρμόζει εἰς τούτους ὃ ἐκέλευσας, ἐπειδὴ ὁ Παῦλος ἀθῷος φαίνεται παρὰ τὸν Πέτρον. Νέρων εἶπεν Πεύᾳ οὖν μόρῳ ἀπολοῦνται; ἀπεκρίθη Ἀγρίππας καὶ εἶπεν Ὡς ἐμοὶ δοκεῖ, δίκαιόν ἐστιν ἀποτμηθῆναι τοῦ Παύλου τὴν κεφαλήν, τὸν δὲ Πέτρον ἐπὶ σταυροῦ ἀρθῆναι ὡς αἴτιον τοῦ φόνου. Νέρων εἶπεν Κράτιστα ἔκρινας.

[80] Τότε ἀπηνέχθησαν ἅ τε Πέτρος καὶ Παῦλος ἀπὸ προσώπου τοῦ Νέρωνος. καὶ ὁ μὲν Παῦλος ἀπετμήθη τὴν κεφαλὴν ἐν τῇ Ὀστησίᾳ ὁδῷ.

---

procedam ut pereat, ne tantas deo ad multiplicationem supplicii mei inferret blasphemias. | Κακῇ usque πληρωθῆναι ex E. Reliqui: Ὑποπτόν με λογισμὸν πεποιήκατε, διὰ τοῦτο κακῶς ἀπολέσω ὑμᾶς. Πέτρος εἶπεν Οὐχὶ ὃ θέλεις (BD θέλῃς) σὺ γίνεται, ἀλλ' ὃ ἐπηγγείλατο ἡμῖν ὁ Χριστὸς (D ὁ κύριος ἡμῶν Ἰησ. Χρ.) χρεία ἐστὶν πληρωθῆναι. Latini: *Suspecto animo me esse fecistis, ideoque vos malo exemplo perdam. Petrus dixit Non quae tu vis, sed quod promissum est nobis, necesse est consummari.*

79. Τότε usque ἀναλωθῆναι ex E. Reliqui cum latinis: Τότε ὁ Νέρων εἶπεν πρὸς Ἀγρίππαν τὸν ἔπαρχον (D add αὐτοῦ) Ἀνθρώπους ἀθρησκεύτους (*irreligiosos*) κακῶς ἀπολέσθαι (B ἀπολ. κακ.) χρὴ· κινάραις (D ὀγκινάραις) οὖν σιδηραῖς τυφθέντας (*curdis ferreis acceptis*) κελεύω αὐτοὺς (*iube eos*) ἐν τῷ ναυμαχίῳ τόπῳ (B om) ἀναλωθῆναι. καὶ πάντας τοὺς τοιούτους κακῶς συντελεσθῆναι. | B om ὁ | Ἱερώτατε usque παρὰ τ. Πέ. ex E. Reliqui Ἀγαθὲ βασιλεῦ, οὐχ (E ergo solus οὐκ) ἁρμόζει οὕτως (B add κακῶς) αὐτοὺς τιμωρηθῆναι ὡς ἀθρησκεύτους (BD add αὐτοὺς) ὄντας. Νέρων εἶπεν Διὰ τί; Ἀγρίππας εἶπεν (D ἔφη) Ἐπειδὴ ὁ Παῦλος ἀθῷος φαίνεται· ὁ δὲ Πέτρος φόνου ἔνοχός ἐστιν, ἔτι δὲ καὶ ἀθρήσκευτος. Latini: *Sacratissime imperator, non congruenti exemplo iubes eos punire. Nero dixit Quare?* etc ut ABD. | ἀπεκρίθη usque τοῦ φόνου ex E. Reliqui cum latinis: Ἀγρίππας ὁ ἔπαρχος (D om) εἶπεν (D ἔφη) Ὡς ἐμοὶ καταφαίνεται (BD φαίν.), δίκαιόν ἐστιν Παῦλον ὡς ((D et lat. om) ἀθρήσκευτον ὄντα τὴν κεφαλὴν ἀποτμηθῆναι, τὸν δὲ Πέτρον διὰ τὸ (D add ἔτι) καὶ (B add τὸν) φόνου (A corrupte στέφανον) ἀνῦσαι (B ποιῆσαι) ἐπὶ (B ἐν τῷ) σταυροῦ (B ῥῷ. D ξύλου) ἀρθῆναι (B ἀναρτηθῆναι). | D Κάλλιστα

80. Τότε ex E. Reliqui (cum lat.) καί | D ἀπενέχθησαν, AB ἀπήχθησαν | A καὶ ὁ Πα. | Post Νέρωνος ABD, invito E et latinis, haec add λαβόντες τὴν ἀπόφασιν. [a] Ἀπαγομένου (B ἀγομένου) δὲ τοῦ Παύλου, ὥστε (D εἰς)

[81] Ὁ δὲ Πέτρος ἐλθὼν ἐπὶ τὸν σταυρὸν εἶπεν Ἐπειδὴ ὁ κύριός μου Ἰησοῦς Χριστὸς ἐκ τοῦ οὐρανοῦ καταβὰς ἐπὶ τῆς γῆς ὀρθῷ τῷ σταυρῷ ὑψώθη, ἐμὲ δὲ ὄντα ἀπὸ τῆς γῆς εἰς οὐρανὸν καλέσαι καταξιοῖ, ὁ σταυρός μου τὴν κεφαλὴν κατὰ γῆς ὀφείλει παγῆναι, ἵνα πρὸς οὐρανὸν κατευθύνει τοὺς πόδας μου· οὐ γάρ εἰμι ἄξιος ὡς ὁ κύριός μου σταυρωθῆναι. τότε ἀντιστρέψαντες τὸν σταυρὸν προσήλωσαν τοὺς πόδας αὐτοῦ ἄνω.

[82] Συνήχθη δὲ τὸ πλῆθος λοιδοροῦντες τὸν Καίσαρα καὶ

αὐτὸν (D τὸ) ἀποκεφαλισθῆναι, ἀπὸ τῆς πόλεως ἄχρι μιλίων τριῶν, ἣν (B add δὲ καὶ) σιδηροδέσμιος (B σιδηρομένος)· οἱ δὲ φυλάσσοντες αὐτὸν στρατιῶται τρεῖς ἦσαν (B ὑπῆρχον) ὄντες (B add ἐκ) γένους (D γέν. ὄντ.) μεγάλου. ἐξελθόντων δὲ (D οὖν) αὐτῶν (D om) τὴν πόρταν ὡσεὶ τόξου βολῆς (BD ὡσεὶ [B ὡς] μίας σαγίτας) τὸ (D om) μῆκος, ὑπήντησεν (D ὑπηντήθη) αὐτοῖς γυνὴ θεοσεβής, καὶ θεωρήσασα τὸν Παῦλον σιδηροδέσμιον συρόμενον ἐσπλαγχνίσθη αὐτῷ (B ἐπ' αὐτόν, D om) καὶ ἔκλαυσε σφοδρῶς (BD πικρῶς). τὸ δὲ (D om) ὄνομα τῆς γυναικὸς Περπετούα (codd. modo -τοῦα, modo -τούα) ἐλέγετο (D om)· ἦν δὲ μονόφθαλμος (B om τὸ δὲ ὄν. usque μονόφθ.). [b] Καὶ ἰδὼν (D ἰδ. δὲ) αὐτὴν ὁ Παῦλος κλαίουσαν λέγει αὐτῇ Δός μοι τὸ οὐράριόν (B φακιόλιον) σου, καὶ ὡς ἀποστρέφω (D καὶ ἀποστρέφων) δίδωμί (B δίδω, D ἀποδίδωμι) σοι αὐτό. ἡ δὲ λαβοῦσα τὸ οὐράριον (B om τὸ οὐρ., D om λαβ. τ. οὐρ.) προθύμως ἔδωκεν· (D δέδωκεν. B add ἦν δὲ ὄνομα τῇ γυναικὶ Περπετούα·) οἱ δὲ στρατιῶται προσεγέλασαν καὶ εἶπαν τῇ γυναικί (B οἱ δὲ στρ. προσκαλεσάμενοι εἶπον αὐτῇ) Διά τί θέλεις (BD -λῃς) ἀπολέσαι (B -λέσθαι) τὸ φακιόλιόν (D φακεόλ.) σου, γύναι; οὐκ οἶδας ὅτι ἀποκεφαλισθῆναι ὑπάγει; ἡ δὲ Περπετούα πρὸς αὐτοὺς εἶπεν Ὁρκίζω ὑμᾶς κατὰ τῆς σωτηρίας Καίσαρος, εἰς αὐτὸ τὸ φακιόλιον (B φακεόλ.) δήσατε αὐτοῦ τοὺς ὀφθαλμούς, ὅταν ἀποτέμνητε (D -τέμνετε) αὐτοῦ τὴν κεφαλήν. [c] Ὃ καὶ γέγονεν. ἀπεκεφάλισαν δὲ αὐτὸν εἰς μάσσαν (ita BD; A μάσαν) καλουμένην Ἀκκοῦαι (B Ἄκουα) Σαλβίας (D om Ἀκκ. Σαλβ.) πλησίον τοῦ δένδρου τοῦ στροβίλου (D στροβύλου). ὡς δὲ ἠβουλήθη (ita BD; A ἐβουλ.) ὁ θεός, πρὶν ὑποστρέψαι τοὺς στρατιώτας ἀπεδόθη τῇ γυναικὶ τὸ φακιόλιον (D φακεόλ.) ἔχον (BD ἔχων) σταγόνας (D -να) αἵματος· καὶ ὡς ἐφόρεσεν αὐτό, εὐθέως καὶ παραχρῆμα ἀνεώχθη (B ἠνεώχθ.) αὐτῆς ὁ (A add τυφλὸς) ὀφθαλμός.

81. Ὁ δέ usque εἶπεν ex E et latinis. Reliqui: Οἱ δὲ ἀπαγαγόντες (D ἀπάγοντες) στρατιῶται τὸν ἅγιον Πέτρον, ὡς ἦλθον αὐτὸν (B om) σταυρῶσαι, εἶπεν πρὸς αὐτούς (AB add ὁ μακάριος) | μου cum AD et lat., B om, E ἡμῶν | A Ἰησ. ὁ Χρ. | ABD (similiter latini) ἐπὶ τῆς γῆς κατέβη, ὀρθῷ (ita AD; BE ὀρθῶς) τ. στ. ὑψώθη· ἐμὲ δὲ ὄν (D ἐμὲ ὅταν) ἀπὸ τῆς (D om) γῆς | D om καλέσαι | ABD cum latinis: τὴν κεφαλ. μου κατὰ γῆν (D κατάγειν) ὀφείλει δεῖξαι (D om) καὶ πρὸς τὸν οὐρανὸν κατευθῦναι τοὺς πόδας μου. ἐπεὶ (D ἐπειδὴ) οὖν οὐκ εἰμὶ ἄξιος οὕτως ἐν τῷ σταυρῷ εἶναι ὡς καὶ (D om) ὁ κύριός μου, ἀντιστρέψατε (B add οὖν) τὸν σταυρόν μου. κἀκεῖνοι εὐθέως ἀντέστρεψαν (D ἀντίστρ.) τὸν σταυρὸν καὶ τοὺς πόδ. αὐτ. ἄνω προσήλωσαν.

82. Συνήχθη usque ἀναιρεῖν ex E. Reliqui cum latinis: Συνῆλθεν δὲ ἀναρίθμητον πλῆθ. λοιδοροῦντες τὸν Καίσ. (latini *Caes. Neroni*) θυμοῦ (D add τε) πεπληρωμένοι (B -μένον) ὥστε αὐτὸν (lat. *ipsum Caesarem*) βουλεύεσθαι (D βού-

βουλόμενα αὐτὸν ἀναιρεῖν. Πέτρος δὲ διεκώλυεν αὐτοὺς λέγων Πρὸ ὀλίγων ἡμερῶν παρελήφθεις ὑπὸ τῶν ἀδελφῶν ἀνεχώρουν, καὶ ὑπήντησέ μοι ὁ κύριός μου Ἰησοῦς Χριστός, καὶ προσκυνήσας αὐτῷ εἶπον Κύριε, ποῦ πορεύῃ; καὶ εἶπέν μοι ὅτι εἰς Ῥώμην ἀπέρχομαι σταυρωθῆναι. ἐγὼ δὲ εἶπον πρὸς αὐτόν Κύριε, οὐκ ἐσταυρώθης ἅπαξ; καὶ ἀποκριθεὶς ὁ κύριος εἶπεν Εἶδόν σε φεύγοντα τὸν θάνατον, καὶ θέλω ὑπὲρ σοῦ σταυρωθῆναι. καὶ εἶπον Κύριε, ἐγὼ πορεύομαι, τὸ πρόσταγμά σου πληρῶ. καὶ εἴρηκέ μοι Μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμί. [83] Διὰ τοῦτο οὖν, τεκνία, μὴ ἐμποδίσητε τὴν ὁδόν μου· ἤδη γὰρ οἱ πόδες μου τὴν οὐράνιον ὁδεύουσιν ὁδόν. μὴ οὖν λυπεῖσθε, ἀλλὰ συγχάρητέ μοι μᾶλλον, ὅτι σήμερον τῶν πόνων μου τὸν καρπὸν ἀπολαμβάνω. καὶ τοῦτο εἰπὼν ἔρῃ Εὐχαριστῶ σοι, ἀγαθὲ ποιμήν, ὅτι τὰ πρόβατα ἃ ἐπίστευσάς μοι συμπάσχουσί μοι· αἰτῶ οὖν ἵνα σὺν ἐμοὶ μερίδα ἔχωσιν ἐν τῇ βασιλείᾳ σου. καὶ τοῦτο εἰπὼν παρέδωκεν τὸ πνεῦμα.

λεσθαι post καῦσαι, B βουλόμενοι) κατακαῦσαι (D καῦσαι) | ABD ὁ δὲ Πέτρ. et D pergit Θεωρῶν αὐτοὺς οὕτως ἀγωνιῶντας διεκώλυσεν (B διεκέλευσεν) | Πρὸ ὀλίγων usque ἀνεχώρουν ex ABD et latinis. E sic: Μὴ χαλεπαίνετε πρὸς αὐτόν· ὑπηρέτης γάρ ἐστι τοῦ πατρὸς αὐτοῦ τοῦ Σατανᾶ· ἐμὲ γὰρ δεῖ τὴν τοῦ κυρίου μου πρόσταξιν ἐκπληρῶσαι. πρὸ ὀλίγων γὰρ τῶν ἡμερῶν τούτων ἐπαναστάσεως γενομένης μοι ὑπὸ τοῦ Ἀγρίππα, παρελήφθην ὑπὸ τῶν ἀδελφῶν ἐξῆλθον τῆς πόλεως | καὶ ὑπήντ. usque Χριστός ex E et latinis. Reliqui: καὶ (B add ἰδοὺ) ἐθεώρησα (B ἐθεώρουν) τὸν κύριόν μου Ἰησοῦν Χριστόν | B καὶ προσεκύνησα αὐτῷ καὶ εἶπον | Κύριε cum BDE et latinis; A add μου | D πορεύει | E καὶ ἀποκριθεὶς εἶπ. μοι (om D) | ὅτι ex BE; AD latini praem Ἀκολούθει μοι | σταυρωθῆναι ex E. Reliqui cum latinis praem πάλιν | ἐγὼ δέ usque μετὰ σοῦ εἰμί ex E. Reliqui cum latinis: καὶ ἐν τῷ ἀκολουθεῖν με αὐτῷ (D αὐτόν) ὑπέστρεψα πάλιν εἰς Ῥώμην (B ἐν Ῥώμῃ), καὶ εἶπέν μοι Μὴ φοβοῦ, ὅτι μ. σ. εἰμί, ἕως οὗ εἰσαγάγω (B εἰσάγω) σε εἰς τὸν οἶκον τοῦ πατρός μου.

83. οὖν: ABD om | ABD τεκν. μου et D add παραινῶ ὑμᾶς | DE ἐμποδήσετε | D om ἤδη usque ὁδεύ. ὁδόν | E συγχαίρετε | τῶν πόν. μου τὸν καρπόν (Latini *laborum meorum fructum*): ita scribendum videbatur. ABD τῶν πόνων τῶν καρπῶν μου, E πρὸς τοὺς πόνους τῶν καρπῶν | ἀπολαμβάνω ex E; reliqui ἐπατυγχάνω | ἔρῃ ex E et latinis; reliqui προσηύξατο οὕτως | ὅτι τὰ usque ἐν τῇ βασ. σ. (*de gratia tua*) ex E et latinis, sed latini praeterea add *Commendo tibi oves quas mihi credidisti, ut non sentiant se sine me esse, quia te habent rectorem, per quem ego gregem hunc regere potui.* Reliqui sic: ὅτι κατηξίωσάς με τῆς ὥρας ταύτης· ἀλλὰ δέομαί σου, τὰ πρόβατα ἃ ἐπίστευσάς μοι μὴ αἰσθανθῶσι (D σταθῶσι) χωρισμόν (B χωρισμοῦ, D χωρίς μου), σὲ ἔχοντα δι' οὗ ἐγὼ τὴν ποίμνην ταύτην ἠδυνήθην ποιμᾶναι. | D ταῦτα εἰπών | E παρέδωκε τῷ κυρίῳ

[84] Παραυτίκα δὲ ἐφάνησαν ἄνδρες ἔνδοξοι καὶ ξένοι τῇ ἰδέᾳ καὶ ἔλεγον ὅτι παραγεγόναμεν διὰ τοὺς ἁγίους καὶ κορυφαίους ἀποστόλους ἀπὸ Ἱεροσολύμων· καὶ αὐτοὶ ἅμα Μαρκέλλῳ ἀνδρὶ ἰλλουστρίῳ, ὅστις καὶ πεπίστευκε Πέτρῳ καταλιπὼν τὸν Σίμωνα, ἦραν τὸ σῶμα αὐτοῦ λάθρα καὶ ἔθηκαν αὐτὸ ὑπὸ τὴν τερέβινθον πλησίον τοῦ ναυμαχίου εἰς τόπον καλούμενον Βατικάνον.

---

84. Παραυτίκα usque Βατικάνον ex E. Reliqui cum latinis: Παραυτίκα δὲ (D οὖν) ἐφάνησαν ἅγιοι ἄνδρες, οὓς οὐδέποτέ τις πρότερον (D om) ἑωράκει οὐδὲ μετὰ ταῦτα ϑεάσασϑαι ἠδυνήϑη· οὗτοι (D οἱ δὲ) ἔλεγον (post ἔλεγον E add πρὸς ἀλλήλους) ἑαυτοὺς (D αὐτοὺς) ἀπὸ Ἱεροσολύμων παραγενέσϑαι ἅμα Μαρκέλλῳ (B om) ἀνδρὶ ἰλλουστρίῳ, ὅστις ἦν (B add ἐν) τῷ Χριστῷ πεπιστευκώς (D πεπιστευμένος), καὶ καταλιπὼν τὸν Σίμωνα τῷ Πέτρῳ ἠκολούϑει· ἦραν δὲ (D et latini om) τὸ σῶμα τοῦ ἁγίου Πέτρου (latini *corpus eius*) λάϑρα (D add οἱ) πιστοὶ (B om) καὶ ἔϑηκαν αὐτὸ ὑπὸ τὴν τερέβινϑον πλησίον etc usque Βιττικάνον (ita A, B Βιτικ., D Βητικ.)

Post Βατικάνον reliqui graeci tres (sed non latini) haec inserunt [84b] Οἱ δὲ τρεῖς (A om) στρατιῶται οἱ τὴν κεφαλὴν ἀποτεμόντες (D οἱ ἀπ. τ. κεφ.) τοῦ ἁγίου Παύλου, ὡς μετὰ τρεῖς ὥρας τὴν αὐτὴν ἡμέραν ἦλϑον (D ἦλϑαν) μετὰ τῆς βούλλας (D βούλας; B μετὰ τὴν βοῦλλαν), ἀπάγοντες (B ἀγαγόντες) αὐτὴν (D ταύτην) τῷ Νέρωνι, καὶ (A om) ὑπαντήσαντες (B ἀπαντ.) τῇ (D τὴν) Περπετούᾳ (D -τοῦαν) λέγουσιν αὐτῇ Τί ἐστιν (ἐστι A) γύναι; ἰδοὺ πείσματι (A add ἀγομένη) ἀπώλεσας τὸ φακιόλιόν (D φακεόλ.) σου. ἡ δὲ πρὸς αὐτοὺς ἔφη Καὶ τὸ φακιόλιον (D φακεόλ. μου) ἔλαβον (D ἀπέλαβ.) καὶ ὁ ὀφϑαλμός μου ἀνέβλεψεν (D add ὡς καὶ ἑωρᾶτέ με)· καὶ ζῇ κύριος ὁ ϑεὸς τοῦ Παύλου, ὅτι καγὼ παρεκάλεσα αὐτὸν ἵνα ἀξιωϑῶ (D καταξ.) δούλη γενέσϑαι τοῦ κυρίου αὐτοῦ. [c] Τότε οἱ στρατιῶται οἱ τὴν βούλλαν (D βοῦλαν) ἔχοντες, γνωρίσαντες τὸ φακιόλιον (D φακεόλ.) καὶ ἰδόντες ὅτι ἀνεώχϑη (B ἠνεώχϑ.) αὐτῆς ὁ ὀφϑαλμός, ἔκραξαν φωνῇ μεγάλῃ ὡς ἐξ ἑνὸς στόματος καὶ εἶπον (D εἶπαν) Καὶ ἡμεῖς δοῦλοί ἐσμεν τοῦ δεσπότου τοῦ (B om) Παύλου. [d] Ἀπελϑοῦσα οὖν ἡ Περπετούα ἀπήγγειλεν (D ἀνήγγ.) εἰς τὸ παλάτιον τοῦ βασιλέως (B post Νέρ., D om) Νέρωνος ὅτι οἱ στρατιῶται οἱ ἀποκεφαλίσαντες τὸν Παῦλον λέγουσιν ὅτι οὐκ ἐμβαίνομεν ἔτι (B λέγ. οὐκέτι βαίνομεν) εἰς τὴν πόλιν (B εἰς τὸ παλάτιον)· ἡμεῖς γὰρ πιστεύομεν τῷ Χριστῷ (B εἰς τὸν Χριστόν) ὃν Παῦλος ἐκήρυξεν (B -ρυττεν), καὶ Χριστιανοί ἐσμεν (pro ὅτι οἱ στρατ. usque ἐσμεν D habet ταῦτα πάντα). [e] Τότε (D καὶ μαϑών) ὁ Νέρων (D add καὶ) ϑυμοῦ πλησϑεὶς ἐκέλευσεν τὴν Περπετούαν τὴν τοὺς στρατιώτας μηνύσασαν φυλακισϑῆναι (B φυλαχϑῆναι) σιδηροδέσμιον (B ἐκέλ. φυλακισϑ. τὴν Περπ.). τοὺς δὲ στρατιώτας (D add τοὺς τρεῖς) τὸν μὲν ἕνα ἀποκεφαλισϑῆναι (D add ἔξωϑεν τῆς πόρτας ὡς ἀπὸ μιλίου ἑνὸς τῆς πόλεως) ἐκέλευσεν (D om), τὸν δὲ ἄλλον (D ἕτερον) διχοτομηϑῆναι (BD διχασϑῆναι), καὶ τὸν ἕτερον (B τρίτον, D ἄλλον) λιϑοβοληϑῆναι (B λιϑασϑῆναι) ἔξω τῆς πόρτης (B πόλεως) ὡς ἀπὸ μιλίου ἑνὸς τῆς πόλεως (B om τ. πόλ., D om ἔξω usque πόλεως). [f] Ἡ δὲ Περπετούα ἦν ἐν τῇ φυλακῇ· ἐν αὐτῇ δὲ τῇ φυλακῇ (B εἰς αὐτὴν δὲ τὴν φυλακὴν) ἦν τηρουμένη Ποτεντζιάνα (BD om) κόρη (B add τις) εὐλαβής (B add ὀνόματι Ποτενζιάνα, D ὀν. Ποντετιάνα), διότι ἦν εἰρηκυῖα Καταλιμπάνω (D -νειν) τοὺς γονεῖς μου (D αὐτῆς) καὶ πᾶσαν τὴν ὑπόστασιν τοῦ πατρός μου (D om καὶ πᾶσαν usque μου), καὶ ϑέλω (D γίνεσϑαι) Χριστιανὴ γενέ-

Digitized by Google

[85] Οἱ δὲ ἄνδρες οἱ εἰρηκότες ἐξ Ἱεροσολύμων παραγενέσθαι εἶπον πρὸς τὸν λαόν Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι μεγάλους προστάτας ἠξιώθητε ἔχειν. γινώσκετε δὲ ὅτι ὁ Νέρων οὗτος οὐ μετὰ πολλὰς ταύτας ἡμέρας ἐξαλειφθήσεται, καὶ δοθήσεται ἡ βασιλεία αὐτοῦ ἑτέρῳ.

[86] Καὶ μετὰ ταῦτα ἐπανέστη αὐτῷ τὰ πλήθη, καὶ αὐτὸς γνοὺς ἔφυγεν ἐν ἐρήμοις τόποις, καὶ διὰ λιμοῦ καὶ ψύχους ἀπέδωκε τὴν ψυχήν, καὶ τὸ σῶμα αὐτοῦ βρῶμα τοῖς θηρίοις ἐγένετο.

[87] Τινὲς δὲ εὐλαβεῖς ἄνδρες τῶν τῆς ἀνατολῆς μέρων ἠθέ-

σθαι (D om). συγκολληθεῖσα οὖν αὕτη (B om, D αὐτῇ) τῇ (D ἡ) Περπετούᾳ ἐξηγήσατο αὐτῇ πάντα τὰ (D om) περὶ τοῦ Παύλου, καὶ (B ἡ δὲ ἀκούσασα) πλεῖον ἠγωνίσατο (B ἠγωνίζετο πλεῖον) περὶ τῆς εἰς Χριστὸν πίστεως. [g] Ἡ δὲ γυνὴ τοῦ Νέρωνος ἀδελφὴ ὑπῆρχεν τῆς (D add αὐτῆς) Ποτεντζιάνας (D Ποντετιάνας), καὶ λάθρα ἐβήλου αὐτῇ περὶ τοῦ Χριστοῦ (D add προθυμοποιοῦσα αὐτήν), ὅτι αἰωνίαν χαρὰν (B χαρ. αἰώνιον) βλέπουσιν οἱ πιστεύοντες εἰς αὐτόν, καὶ ὅτι ὅλα τὰ ὧδε πρόσκαιρά εἰσιν, τὰ δὲ ἐκεῖ αἰώνια (D add εἰσιν)· ὥστε καὶ αὐτὴν φυγεῖν ἐκ (D ἀπὸ) τοῦ παλατίου καί τινας τῶν συγκλητίδων (D -τικῶν. B add γυναικῶν) μετ' αὐτῆς (D μετὰ ταύτης). [h] Τότε ὁ Νέρων πολλαῖς (D -λαῖς) βασάνοις (- D -νους) τιμωρήσας τὴν Περπετούαν, τέλος (B add δὲ) δήσας λίθον μέγαν εἰς τὸν τράχηλον αὐτῆς ἐκέλευσεν (D προσέταξεν) ῥιφῆναι (D add αὐτὴν) εἰς κρημνόν. κεῖται (D ἐτέθη) δὲ τὸ λείψανον αὐτῆς εἰς πόρταν (A πόρτην, D add καλουμένην) Μομεντάναν. ἡ δὲ Ποτεντζιάνα (D om ἡ δ. Π.) καὶ αὐτὴ ὑπομείνασα κριτήρια πολλά (B π. κρ., D βασάνους πολλάς), τέλος δὲ (D om) ποιήσαντες ἐσχάραν (D add πυρὸς) ἔκαυσαν εἰς μίαν ἡμέραν.

85. Οἱ δέ: D Οἱ οὖν et ABD add ἅγιοι | AB οἱ εἰπόντες | παραγενέσθαι: ABD add οὓς οὐδεὶς πρώην (D πρῶτον) ἑωράκει (B -ρακεν) | D ἐπιστάντες εἶπαν | τὸν λαόν ex E; reliqui et lat. praem πάντα | AB μεγ. πάτρωνας, D μεγάλην σωτηρίαν | ἔχειν ex E; reliqui cum latinis add τοὺς ἁγίους ἀποστόλους (haec om lat.) καὶ φίλους τοῦ κυρίου Ἰησοῦ Χριστοῦ. | D om δέ | ὅτι ὁ usque ἑτέρῳ ex E; reliqui cum latinis τοῦτον τὸν Νέρωνα τὸν πονηρότατον (B πονηρὸν) βασιλέα μετὰ τὴν σφαγὴν τῶν ἁγίων ἀποστόλων (D om μετά usque ἀποστ.) μηκέτι αὐτὸν δύνασθαι τὴν βασιλείαν κατασχεῖν (D κατέχειν, B κατ. τ. βασ.)

86. Καὶ μετά usque ἐγένετο ex E (βρῶμα: codex βορρᾶ). Reliqui cum latinis sic: Συνέβη δὲ (D οὖν) μετὰ ταῦτα μισηθῆναι τὸν Νέρωνα ἀπὸ (B ὑπὸ) παντὸς τοῦ στρατοῦ αὐτοῦ καὶ τοῦ λαοῦ (B om τ. λα.) τῶν Ῥωμαίων, ὥστε κρῖναι (D βουλεύεσθαι) εἰς ἑαυτούς (BD om ε. ἑαυτ.) δημοσίᾳ τοῦτον τύψαι ἕως σύ, ὡς ἦν ἄξιος (B om ὡς ἦν ἄξ.), τυπτόμενος ἐκπνεύσει (A -σῃ). ὡς οὖν ἤκουσεν (D ἔγνω) ὁ Νέρων ταῦτα (D τ. ὁ N.), ἐπέπεσεν (D add ἐπ') αὐτῷ φόβος καὶ τρόμος ἀνυπόστατος, καὶ οὕτως ἔφυγεν ὥστε μὴ ὁραθῆναι αὐτὸν ἔτι (D τοῦ λοιποῦ). ἔλεγον δέ τινες ὅτι ὡς ἐπλανᾶτο ἐν ταῖς ὕλαις φεύγων, ἀπὸ τοῦ ψύχους καὶ τοῦ (D τῆς) λιμοῦ ἀπέψυξεν, καὶ ὑπὸ λύκων κατεβρώθη.

87. Τινὲς δέ usque τόπῳ ex E (κατατιθέναι: codex -τιθέντες). Reliqui cum latinis sic: Τὰ δὲ (D οὖν) τῶν ἁγίων ἀποστόλων σώματα συνέβη ὑπὸ τῶν ἀνατολικῶν ἁρπαθῆναι τοῦ κομίσαι αὐτὰ ἐν τῇ ἀνατολῇ (*Sanctorum autem app.*

Digitized by Google

λησαν ἁρπάσαι τὰ λείψανα τῶν ἁγίων, καὶ παραχρῆμα ἐγένετο σεισμὸς μέγας ἐν τῇ πόλει, καὶ νοήσαντες οἱ ἐν τῇ πόλει κατοικοῦντες ἔδραμον καὶ συνήρπασαν αὐτούς· οἱ δὲ ἄνδρες ἔφυγον. τότε λαβόντες αὐτοὺς οἱ Ῥωμαῖοι ἔθηκαν αὐτοὺς ἐν τόπῳ ἀπὸ μιλίων τριῶν τῆς πόλεως· κἀκεῖ διεφυλάχθησαν ἐνιαυτὸν ἕνα καὶ μῆνας ἑπτά, μέχρις οὗ ἔκτισαν τὸν τόπον ἐν ᾧ ἤμελλον κατατιθέναι αὐτούς. καὶ μετὰ ταῦτα συναχθέντες πάντες μετὰ δόξης καὶ ὕμνων κατέθεντο αὐτοὺς ἐν τῷ οἰκοδομηθέντι αὐτοῖς τόπῳ.

88 Ἐτελειώθησαν δὲ οἱ ἅγιοι ἔνδοξοι ἀπόστολοι Πέτρος καὶ Παῦλος μηνὶ Ἰουνίῳ κθ· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος.

---

dum a Graecis corpora tollerentur ad orientem ferenda)· ἐγένετο δὲ (BD καὶ ἐγ.) σεισμὸς μέγας ἐν τῇ πόλει, καὶ δραμόντες οἱ λαοὶ τῶν Ῥωμαίων κατέλαβον αὐτοὺς ἐν τῷ λεγομένῳ Κατακούμβας (B Κατακομβὰς) ὁδῷ τῆς Ἀππίας τῆς πόλεως τρίτου μιλίου (pro ἐν τῷ usque μιλίου D εἰς τόπον καλούμενον Κατακόμβας)· κἀκεῖ ἐφυλάχθησαν (B ἐφυλάττοντο) τὰ σώματα τῶν ἁγίων (*corpora eorum*) ἐνιαυτὸν ἕνα καὶ μῆνας ἓξ (D et lat. ἑπτά) μέχρι τοῦ (B om) κτισθῆναι αὐτοῖς (B -τούς, D τοὺς) τόπους ἐν οἷς ἀποτεθῶσιν (B τεθῶσιν, D ἀπετέθησαν). καὶ τὸ μὲν τοῦ ἁγίου Πέτρου σῶμα εἰς τὸν (B om) Βατικάνον (D -κανόν, B Βιτικάνον) τόπον πλησίον τοῦ ναυμαχίου μετὰ δόξης καὶ ὕμνων ἀνεκλήθη, τὸ (D τοῦ) δὲ τοῦ (D om) ἁγίου Παύλου εἰς τὴν Βοστησίαν (ita B; A Βοτησίαν, D Ὀστίασιν) ὁδὸν ἀπὸ μιλίων δύο τῆς πόλεως· ἐν οἷς τόποις διὰ τῶν προσευχῶν αὐτῶν (D om διὰ τ. π. α.) εὐεργεσίαι πολλαὶ παρέχονται (*ubi praestantur beneficia orationum in secula seculorum. Amen.* His verbis expliciunt codd. lat.) τοῖς πιστοῖς ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν (B om τ. κ. ἡμ.) Ἰησοῦ Χριστοῦ (D om ἐν τῷ usque Χριστοῦ).

88. Ἐτελειώθησαν usque κράτος ex E. Reliqui: Ἐτελειώθη δὲ ὁ δρόμος τῶν ἁγίων (D om) ἀποστόλων (A add τε καὶ μαρτύρων τοῦ Χριστοῦ) Πέτρου καὶ Παύλου (B om Πέ. κ. Πα.) μηνὶ Ἰουνίῳ κδ (B εἰκάδι ἐννάτῃ). τῶν δὲ τριῶν (B om) στρατιωτῶν μηνὶ Ἰουλίῳ δευτέρᾳ (D β)· τῆς δὲ ἁγίας Περπετούας καὶ Ποτεντζιάνας (D Ποντετιάνας) τῷ αὐτῷ Ἰουλίῳ (B om) μηνὶ (D μ. Ἰουλ.) ὀγδόῃ (BD η)· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (B pro χάριτι usque Χριστοῦ sic: ὧν πρεσβείαις τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν·), ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. (Sic D. AB post Ἰησ. Χρ. [κυρίῳ ἡμῶν] sic pergunt μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.) Praeterea A subscriptum habet: ἐπλήσθη σὺν θεῷ τὸ μαρτύριον τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου.

Digitized by Google

ΠΡΑΞΕΙΣ ΠΑΥΛΟΥ ΚΑΙ ΘΕΚΛΗΣ.

Ἀναβαίνοντος Παύλου εἰς Ἰκόνιον μετὰ τὴν φυγὴν τὴν ἀπὸ Ἀντιοχείας ἐγενήθησαν συνοδεύοντες αὐτῷ Δημᾶς καὶ Ἑρμογένης, ὑποκρίσεως γέμοντες, καὶ ἐξελιπάρουν τὸν Παῦλον ὡς ἀγαπῶντες αὐτόν. ὁ δὲ Παῦλος ἀποβλέπων εἰς μόνην τὴν ἀγαθοσύνην τοῦ Χριστοῦ οὐδὲν φαῦλον ἐποίει αὐτούς, ἀλλ' ἔστεργεν αὐτοὺς σφόδρα, ὥστε τὰ λόγια κυρίου ἐν διδασκαλίᾳ τῆς τε γεννήσεως καὶ τῆς ἀναστάσεως τοῦ ἠγαπημένου ἐγλύκαινεν αὐτούς, καὶ τὰ μεγαλεῖα τοῦ Χριστοῦ, πῶς ἀνεκαλύφθη αὐτῷ, κατὰ ῥῆμα διηγεῖτο αὐτοῖς.

---

* Πράξεις Παύλ. καὶ Θέκλης ex A; BCG μαρτύριον τῆς ἁγίας (CG add καὶ ἐνδόξου) πρωτομάρτυρος (G add καὶ ἀποστόλου) Θέκλης (G -κλας.). D: *Passio S. Theclae virginis et martyris quae colitur VIII. Kalend. Octbr.*

1. C Εἰκόνιον, sed infra cum reliquis Ἰκόνιον | συνοδεύοντες αὐτῷ ex A; B σύνοδοι αὐτῷ, CG αὐτῷ συνοδοιπόροι | Ἑρμογένης; hoc spiritu ABC; item D *Ermogenes.* Praeterea AG add ὁ χαλκεύς, D *Alexander aerarius* | B γέμοντ. πάσης ὑποκρίσεως | G om καὶ ἐξελιπ. τ. Παῦλ. | ὡς ἀγαπ. αὐτ. cum ABD; om CG | ἀγαθοσύνην cum ABC; G ἀγαθωσύνην | τ. Χριστοῦ cum ABC; G τ. Θεοῦ; D *eorum* | ἐποίει αὐτούς (BC αὐτοῖς): G om αὐτ. | B om σφόδρα | G πάντα τὰ λόγια | κυρίου cum AB; C Χριστοῦ, G τοῦ Χρ. | ἐν διδασκ. τῆς τε γεν. cum B; ACG καὶ τῆς διδασκαλίας (CG add καὶ τῆς ἑρμηνίας [G -νείας]) καὶ τῆς γενν. (G om καὶ τ. γενν.) | κ. τ. ἀναστάσεως: G τοῦ εὐαγγελίου | ἐγλύκαινεν cum A; BG ἐγλύκανεν, C ἐγγλυκαίνειν | αὐτούς: CG αὐτοῖς | καὶ (C om) τὰ μεγαλεῖα (A -λία): G καὶ ἐν τῇ γνώσει | τ. Χρ.: C τ. κυρίου | πῶς: G ὡς | ἀνεκαλύφθη cum A; B (-λύφθησαν) CG ἀπεκαλ. | κατὰ ῥῆμα cum A; C καὶ τὰ ῥήματα; B καὶ | διηγεῖτο (G διηγήσατο) αὐτοῖς: B om; sed ABC add ὅτι ἐκ Μαρίας καὶ ἐκ σπέρματος Δαυὶδ (C add ὁ Χριστός ἐστιν, B ἐστιν ὁ κύριος Ἰησοῦς Χριστός.): ea omisi cum G, itemque D, in quo post σφόδρα omnia sic leguntur: *ut magnaliis dei et interpretationibus evangelii dilecti filii mansuetos eosdem faceret, scientiam etiam Christi, quemadmodum revelatum est ei, singula eis verba disserens.*

Digitized by Google

[2] Καί τις ἀνήρ, ὀνόματι Ὀνησιφόρος, ἀκούσας τὸν Παῦλον παραγενόμενον εἰς Ἰκόνιον, ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ μετὰ τῶν τέκνων αὐτοῦ Σίλα καὶ Ζήνωνος καὶ τῆς γυναικὸς αὐτοῦ Λέκτρας, ἵνα αὐτὸν ὑποδέξηται· διηγήσατο γὰρ αὐτῷ Τίτος ποταπός ἐστιν τῇ εἰδέᾳ ὁ Παῦλος· οὐ γὰρ εἶδεν αὐτὸν σαρκὶ ἀλλὰ μόνον πνεύματι. [3] Καὶ ἐπορεύετο τὴν ὁδὸν τὴν ἐπὶ Λύστραν, καὶ εἱστήκει ἀπεκδεχόμενος αὐτόν, καὶ τοὺς διερχομένους ἐπεθεώρει κατὰ τὴν μήνυσιν Τίτου. εἶδεν δὲ τὸν Παῦλον ἐρχόμενον, ἄνδρα μικρὸν τῇ μεγέθει, ψιλὸν τῇ κεφαλῇ, ἀγκύλον ταῖς κνήμαις, εὐεκτικόν, σύνοφρυν, μικρῶς ἐπίρινον, χάριτος πλήρη· ποτὲ μὲν γὰρ ἐφαίνετο ὡς ἄνθρωπος, ποτὲ δὲ ἀγγέλου πρόσωπον εἶχεν. [4] Καὶ ἰδὼν ὁ Παῦλος τὸν Ὀνησιφόρον ἐμειδίασεν, καὶ εἶπεν ὁ Ὀνησιφόρος Χαῖρε, ὑπηρέτα τοῦ εὐλογημένου θεοῦ· κἀκεῖνος εἶπεν Ἡ χάρις μετὰ σοῦ καὶ τοῦ οἴκου σου. Δημᾶς δὲ καὶ Ἑρμογένης ἐζήλωσαν καὶ πλείονα τὴν ὑπόκρισιν ἐκίνησαν, ὡς εἰπεῖν Δημᾶν Ἡμεῖς οὐκ ἐσμὲν τοῦ εὐλογημένου θεοῦ, ὅτι ἡμᾶς

---

2. G om ὀνόματι, CD post Ὀνησ. pon | ἀκούσας (G μαθών) usque παραγενόμ. (D *esse venturum*) ε. Ἰκόνιον: B om | G παραυτὰ δρομαίως ἐξῆλθεν | εἰς συνάντ. αὐτῷ cum CD; ABG εἰς ἀπάντησιν (B ὑπάντ. τοῦ) Παύλου (G αὐτοῦ) post Λέκτρ. | μετά usque Λέκτρας ex C. AB: σὺν τοῖς τέκνοις αὐτ. Κεστομίᾳ (A Καιστομαίᾳ) καὶ Ζηνονίδῃ (A Ζηωα), ἤδη (B om) καὶ τῇ γυναικὶ αὐτ. Λέκτρᾳ (B Λέκρᾳ). G: σὺν τῇ ἰδίᾳ γυναικὶ Λέκτρᾳ καὶ τοῖς αὐτῶν τέκνοις Σημμίᾳ καὶ Ζήνωνι. D: *cum coniuge Lectra et filiis suis Simia et Zenone.* Metaphrastes nomina coniugis et filiorum praeteriit. | ὑποδέξηται cum AB. C ὑποδέξονται, G δέξωνται, D *reciperent* | αὐτῷ: G αὐτοῖς, D om | εἰδέᾳ cum ABC | G ποταπῶς ἐστιν ἡ ἰδέα·, D *qualis esset figura Pauli* | οὐ γὰρ εἶδεν cum A (ἴδεν): BC ὅτι οὐκ εἶδεν: G μὴ εἰδόσιν: D *neque enim noverant*

3. Καὶ ἐπορεύετο cum CD: AB ἐπορεύετο δέ: G ἐπορεύοντο οὖν | GD κατὰ τὴν βασιλικὴν (*viam regalem*) τὴν ἐν Λύστροις | G ἐστήκεισαν | ἀπεκδεχόμενος (G -μενοι) cum ABG; C ἐκεῖ ἐκδεχόμενος | διερχομ. cum CG; AB ἐρχομένους | ἐπεθεώρει cum C; ABG ἐθεώρει (G -ρουν) | C ἴδεν | G ἰδόντες δὲ τὸν ἄνδρα ἐρχόμ. τὸν Παῦλ. | G μικρομεγέθη | G τὴν κεφαλήν | C ἀγκυλαῖον | εὐεκτικ. cum AB; C εὐκτικόν, G εὔκνημον | μικρ. ἐπίρινον (B ἐπίρρηνον) cum AB; G ἐπίρρινον; C om | Codd πλήρης | D sic: *statura brevi, attonso capite, ruborus, cruribus elegans, subcampaster, surosus, supercilliis iunctis, naso aquilino, plenus gratia dei.* Metaphrastes vero: βραχὺν τὴν ἡλικίαν, ψιλὸν τὴν κεφαλήν, ἀγκύλον τὰς κνήμας, γρυπόν, σύνοφρυν, προσεκτικόν, χάριτος θείης πεπληρωμένον.

4. A om τόν | θεοῦ cum AB; C Χριστοῦ; G om (D *minister benedicte*) | B Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ | C τῷ οἰκῷ | Δημᾶν cum AB; CG τὸν Δημ. | θεοῦ cum AB; CG om (D *nos non sumus benedicti*) | ὅτι: GD ὅ,τι (*quare*). Prae-

οὐκ ἠσπάσω οὕτως; καὶ εἶπεν ὁ Ὀνησιφόρος Οὐχ ὁρῶ ἐν ὑμῖν καρπὸν δικαιοσύνης· εἰ δὲ ἔστε τινές, δεῦτε καὶ ὑμεῖς εἰς τὸν οἶκόν μου καὶ ἀναπαύσασθε.

[5] Καὶ εἰσελθόντος Παύλου εἰς τὸν τοῦ Ὀνησιφόρου οἶκον ἐγένετο χαρὰ μεγάλη, καὶ κλίσις γονάτων, καὶ κλάσις ἄρτου, καὶ λόγος θεοῦ περὶ ἐγκρατείας καὶ ἀναστάσεως, λέγοντος τοῦ Παύλου Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. μακάριοι οἱ ἁγνὴν τὴν σάρκα τηρήσαντες, ὅτι αὐτοὶ ναὸς θεοῦ γενήσονται. μακάριοι οἱ ἐγκρατεῖς, ὅτι αὐτοῖς λαλήσει ὁ θεός. μακάριοι οἱ ἀποταξάμενοι τῷ κόσμῳ τούτῳ, ὅτι αὐτοὶ εὐθεῖς κληθήσονται. μακάριοι οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες, ὅτι αὐτοὶ κληρονομήσουσι τὸν θεόν. μακάριοι οἱ φόβον ἔχοντες θεοῦ, ὅτι αὐτοὶ ἄγγελοι θεοῦ γενήσονται. [6] Μακάριοι οἱ τὸ βάπτισμα τηρήσαντες, ὅτι αὐτοὶ ἀναπαύσονται πρὸς τὸν πατέρα καὶ τὸν υἱόν. μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται καὶ οὐκ ὄψονται ἡμέραν κρίσεως πικράν. μακάρια τὰ σώματα τῶν παρθένων, ὅτι αὐτὰ εὐαρεστήσουσιν τῷ θεῷ καὶ οὐκ ἀπολέσουσιν

---

terea add A καί | οὕτως (A αὐτός ex αὐτούς corr.): GD om | G ἀναπαύεσθε

5. Παύλου cum AB; CG τοῦ Π. | CG οἶκον (G add τοῦ) Ὀνησιφ. | τοῦ (B om) Παύλου: G add οὕτως | D om μακ. οἱ ἁγνήν usque γενήσ. | αὐτοί cum CG; AB om | ναός cum AB (B add τοῦ); CG ναοί | τούτῳ cum CGD; AB om | εὐθ. κληθήσ. cum C. ABGD εὐαρεστήσουσιν (-σι) τῷ θεῷ | κληρ. τ. θεόν cum CD: AB κληρονόμοι θεοῦ γενήσονται: G ἄγγελοι θεοῦ γενήσονται | G om μακάρ. οἱ φόβ. ἔχ. θε. (C θε. ἔχ.), ὅτι αὐτοὶ (AB om) ἄγγ. θεοῦ (A Χριστοῦ) γεν.

6. Μακάριοι etc cum CD. ABG praem μακάριοι οἱ τρέμοντες τὰ λόγια τοῦ θεοῦ (B τὰ λόγ. κυρίου), ὅτι αὐτοὶ παρακληθήσονται. μακάριοι οἱ σοφίαν λαβόντες Ἰησοῦ Χριστοῦ, ὅτι αὐτοὶ υἱοὶ ὑψίστου κληθήσονται (sed μακ. οἱ σοφίαν etc G post μακάρ. οἱ τὸ βάπτισμα etc ponit) | τὸ βάπτισμα: AB post τηρήσαντες. G add καθαρόν | καὶ τὸν υἱόν: B om, G add καὶ τὸ ἅγιον πνεῦμα: A καὶ υἱὸν θεοῦ ὄψονται. Post haec AB, itemque G interiectis μακάριοι οἱ σοφίαν etc, add μακάριοι οἱ σύνεσιν Ἰησοῦ Χριστοῦ χωρήσαντες (ita B; A δωρήσαντες, G τηρήσαντες), ὅτι αὐτοὶ ἐν φωτὶ (B add θεοῦ) ἔσονται. μακάριοι οἱ δι' ἀγάπην Χριστοῦ (B θεοῦ) ἐξελθόντες τοῦ σχήματος τοῦ κοσμικοῦ (G κόσμου), ὅτι αὐτοὶ ἀγγέλους κρινοῦσιν (D *quoniam angelis aequabuntur*) καὶ ἐν δεξιᾷ τοῦ πατρὸς (G Χριστοῦ, D *dei*) εὐλογηθήσονται (G σταθήσονται, D *sedebunt*). Posteriora μακ. οἱ δι' ἀγάπην etiam D addit. | μακ. οἱ ἐλεήμ. ὅτι αὐτ. ἐλεηθ. καὶ (ἐλ. καί om D) οὐκ ὄψ. ἡμ. κρ. πικράν (A πικρᾶς, B om): AB praeponunt καὶ οὐκ etc prioribus μακ. οἱ ἐλεήμ. etc, G plane om μάκ. οἱ usque ἐλεηθήσ. | B μακάριοι οἱ παρθενίαν ἀσκήσαντες, ὅτι αὐτοὶ παραστήσονται τῷ Χριστῷ καὶ τὸν μισθὸν αὐ-

Digitized by Google

τὸν μισθὸν τῆς ἁγνείας αὐτῶν· ὅτι ὁ λόγος τοῦ πατρὸς ἔργον αὐτοῖς γενήσεται σωτηρίας εἰς ἡμέραν τοῦ υἱοῦ αὐτοῦ, καὶ ἀνάπαυσιν ἕξουσιν εἰς αἰῶνα αἰῶνος.

[7] Καὶ ταῦτα τοῦ Παύλου λέγοντος ἐν μέσῳ τῆς ἐκκλησίας ἐν τῷ Ὀνησιφόρου οἴκῳ, Θέκλα τις παρθένος, Θεοκλείας μητρός, μεμνηστευμένη ἀνδρὶ Θάμυρι, καθίσασα ἀπὸ τῆς σύνεγγυς θυρίδος ἤκουεν νυκτὸς καὶ ἡμέρας τὸν τῆς παρθενίας λόγον καὶ τῆς προσευχῆς· καὶ οὐκ ἀπένευεν ἐκ τῆς θυρίδος, ἀλλὰ τῇ πίστει ἐπείγετο ὑπερευφραινομένη. ἔτι δὲ καὶ βλέπουσα πολλὰς γυναῖκας εἰσπορευομένας πρὸς τὸν Παῦλον, ἐπεπόθει καὶ αὐτὴ καταξιωθῆναι κατὰ πρόσωπον στῆναι Παύλου καὶ ἀκούειν τὸν τοῦ Χριστοῦ λόγον· οὐδέπω γὰρ ᾔδει τὸν χαρακτῆρα αὐτοῦ, ἀλλὰ τοῦ λόγου ἤκουεν μόνον.

[8] Ὡς δὲ οὐκ ἀφίστατο ἀπὸ τῆς θυρίδος, πέμπει ἡ μήτηρ αὐτῆς πρὸς τὸν Θάμυριν· ὁ δὲ ἔρχεται περιχαρής, ὡς ἤδη λαμβάνων αὐτὴν πρὸς γάμον. καὶ εἶπεν Θεοκλεία Καινόν σοι ἔχω

τῶν οὐκ ἀπολέσωσιν | τῶν παρθένων: G add καὶ τὰ πνεύματα | αὐτά: A αὐταί, G αὐτοί | C εὐαρ. τὸν θεόν | C ἀπολέσωσιν | τῆς ἁγν. αὐτ. (G αὐτ. τῆς ἁγν.) cum ABGD (*castitatis*, om αὐτ.): C τῆς παρθενίας | B om ὅτι ὁ λόγος usque αἰῶνος | A αὐταῖς | C om σωτηρίας | εἰς ἡμ. τ. υἱ. αὐτοῦ: C ἐν τῷ υἱῷ

7. Καί: A om | τοῦ (A om) Παῦλου: C post λέγοντος pon: G αὐτοῦ | G εἰς μέσον | D om ἐν μ. τ. ἐκκλ. | Θεοκλ. (G praem θυγάτηρ) μητρός: AB μητρ. Θεοκλίας (-ίας etiam G) | AB μνηστευσαμένη | Θάμυρι cum C; A Θάμυριν, BG ὀνόματι (G om) Θαμύριδι, D *Thamiro* | καθίσ. ἀπό usque θυρίδος cum C: G αὕτη ἐπὶ τῆς θυρίδος τοῦ οἴκου αὐτῆς καθεσθεῖσα ἀπὸ τῆς σύνεγγ. θυρίδος: AB ἐπὶ τῆς θυρίδος (B θύρας) τοῦ οἴκου κατεσθεῖσα (B καθίσασα). D *assedit super fenestram iuxta domum Onesiphori* | ἤκουεν cum ABG. C ἤκουσεν | τὸν τῆς παρθ. usque προσευχῆς ex C (D libere et breviter: *ubi Paulus docebat de castitate.*): ABG τὸν περὶ ἁγνείας (G περὶ θεοῦ) λόγον λεγόμενον ὑπὸ τοῦ Παύλου καὶ (G add τὸν περὶ ἀγάπης καὶ) τῆς ἐν κυρίῳ Ἰησοῦ (G om κυρ. Ἰησ.) Χριστῷ πίστεως καὶ προσευχῆς | G ἀπένευσεν | ἐκ cum C; reliqui ἀπό | ἐπείγετο cum C; A ἠπήγετο, B ἀπῆκτο, G ὑπήγετο, D *implebatur* | B εὐφραινομένη | B om καί | γυναῖκας cum C. AGD γυν. καὶ παρθένους, B παρθέν. κ. γυν. | εἰσπορευομ. cum ABG; C εἰσερχομένας | ἐπεπόθει cum ABG; C ἐπεθύμει | κατά: G καὶ κατά | AB τὸν λόγ. τ. Χριστ. | B οὔπω | γάρ: G add ἀκμήν | ᾔδει cum C (D *sciebat*): ABG ἑωράκει (A ἑορ.) post χαρακτῆρα | τ. λ. ἤκ. μόνον cum AB: C τ. λ. μόνου ἤκ.: G τοὺς λόγους αὐτοῦ ἤκουεν καὶ μόνον.

8. δέ cum ABG. C om (D *Et cum*) | πέμπ. ἡ μ. α. cum C. ABG ἡ μ. α. (G αὐτοῦ) πέμπ. | Θάμυριν cum BCG. A -ραν. D *Thamirum* | B εἰς τὰ ἴδια πρὸς γάμ. | καὶ εἶπεν (G praem εἶπεν οὖν ὁ Θάμυρις πρὸς Θεοκλίαν Ποῦ μού ἐστιν ἡ Θέκλα; similiter D): C add αὐτῷ | Θεοκλεία cum C. Reliqui

Digitized by Google

εἰπεῖν διήγημα, Θάμυρι. καὶ γὰρ ἡμέρας τρεῖς καὶ νύκτας τρεῖς Θέκλα ἀπὸ τῆς θυρίδος οὐκ ἐγείρεται, οὔτε ἐπὶ τὸ φαγεῖν οὔτε ἐπὶ τὸ πιεῖν, ἀλλὰ ἀτενίζουσα ὥσπερ εἰς εὐφρασίαν, οὕτως πρόσκειται ἀνδρὶ ξένῳ ἀπατηλοὺς καὶ ποικίλους λόγους διδάσκοντι, ὥστε με θαυμάζειν πῶς ἡ τοιαύτη αἰδὼς τῆς παρθένου χαλεπῶς ὀχλεῖται. 9 Θάμυρι, ὁ ἄνθρωπος οὗτος τὴν Ἰκονιέων πόλιν ἀνασείει, ἔτι δὲ καὶ τὴν σὴν Θέκλαν· πᾶσαι γὰρ αἱ γυναῖκες καὶ οἱ νέοι εἰσέρχονται πρὸς αὐτόν, διδασκόμενοι φοβεῖσθαι θεὸν καὶ ζῆν ἁγνῶς. ἔτι δὲ καὶ ἡ θυγάτηρ μου ὡς ἀράχνη ἐπὶ τῆς θυρίδος δεδεμένη τοῖς ὑπὸ Παύλου λόγοις κρατεῖται ἐπιθυμίᾳ καινῇ καὶ πάθει δεινῷ· ἀτενίζει γὰρ τοῖς λεγομένοις ὑπ' αὐτοῦ καὶ ἁλώτα ἡ παρθένος. ἀλλὰ πρόσελθε αὐτῇ σὺ καὶ λάλησον· σοὶ γάρ ἐστιν ἡρμοσμένη.

10 Καὶ προσελθὼν Θάμυρις, ἅμα μὲν φιλῶν αὐτήν, ἅμα δὲ καὶ φοβούμενος αὐτῆς τὴν ἔκπληξιν, εἶπεν Θέκλα ἐμοὶ μνηστευθεῖσα, τί τοιαύτη κάθησαι; καὶ ποῖόν σε πάθος κατέχει ἔκπληκτον; ἐπιστράφηθι πρὸς τὸν σὸν Θάμυριν καὶ αἰσχύνθητι. ἔτι δὲ καὶ ἡ μήτηρ αὐτῆς τὰ αὐτὰ ἔλεγεν Τί τοιαύτη κάτω βλέπουσα κάθησαι, τέκνον, καὶ μηδὲν ἀποκρινομένη ἀλλὰ παραπλήξ; καὶ

-κλία | εἰπεῖν διήγημα cum ABG(D): C διηγήσασθαι θέαμα | καὶ γάρ cum AB; CG ἤδη γάρ | G om κ. νύκτ. τρεῖς | C ἐγήγερται et ἀλλ' | ὥσπερ cum C; AB ὡς, G om | εἰς: AB πρός | G διδάσκει | G om με | πῶς cum AB; CGD ὅτι | τοιαύτη (*talis*) cum CD; ABG τοσαύτη | ὀχλεῖται cum C; A παρενοχλ., B προσενοχλ., G ἐνοχλεῖται

9. G Θάμυρι. Ὁ γὰρ ἄνθρωπ. | B ἀνατρέπει | C ἔρχονται | G πρὸς τοῦτον | διδασκόμενοι usque ἁγνῶς ex C, item D (*quibus suadet caste vivere et unum deum timere*). ABG διδασκ. παρ' (G ὑπ') αὐτοῦ ὅτι δεῖ (G corrupte ἔτι δὲ), φησίν, ἕνα καὶ μόνον θεὸν (A ἕνα θε. καὶ μόν.) φοβεῖσθ. κ. ζ. ἁ. | GD ἡ θυγ. μου Θέκλα | δεδεμένη: C δέδεται καί | τοῖς ὑπὸ (G om) Παύλ. λόγοις cum AB(G), D *verbis illius*. C τ. λεγομένοις ὑπ' αὐτοῦ ἀκούσασα | καινῇ cum CD. ABG δεινῇ | ἁλώτα ἡ π. cum A; BG ἁλῶ ἡ (G om) π.; D *animo demolitur*. C ἐλπίζει παρθ. διαμένειν | σύ cum AB; reliqui om | αὐτῇ: GD post λάλησον pon

10. C προσῆλθεν Θάμυρις posteaque καὶ εἶπεν | αὐτῆς τ. ἔκπλ. cum A; reliqui τ. ἔκπλ. αὐτ. | εἶπεν cum AB; GD add πρὸς αὐτήν, C αὐτῇ Θάμυρις | ἐμοὶ μνηστευθ. cum ABG. C ἡ ἐμοὶ ἡρμοσμένη (codex h. l. et antea εἱρμοσμ.) | G κάθη κάτω βλέπουσα | C ἔκπληκτ. κατέχη | ἐπιστράφηθι cum ABC; G -φητι | AG om σόν | τὰ αὐτά: C τοιαῦτα | B ἔφη, G λέγουσα | Τί τοι. κα. βλέπ. (cum BGD; A βλ. κα.) κάθ. τέκν. (G ante Τί, A ante κάθ. μοι) καὶ (G om) μηδ. ἀποκρ. cum ABG (D liberrime). C Τέκνον, τί οὕτως κάθισε καὶ οὐδὲν ἀποκρίνῃ | ἀλλά: G ὡς | παραπλήξ cum AG, item B addito γεγονυῖα.

Digitized by Google

οἱ μὲν ἔκλαιον δεινῶς, Θάμυρις μὲν γυναικὸς ἀστοχῶν, Θεοκλεία δὲ τέκνου, αἱ δὲ παιδίσκαι κυρίας· πολλὴ οὖν σύγχυσις ἦν ἐν τῷ οἴκῳ πένθους. καὶ τούτων οὕτως γινομένων Θέκλα οὐκ ἀπεστράφη, ἀλλ' ἦν ἀτενίζουσα τῷ λόγῳ Παύλου.

11 Ὁ δὲ Θάμυρις ἀναπηδήσας ἐξῆλθεν εἰς τὸν ἄμφοδον, καὶ παρετήρει τοὺς εἰσερχομένους πρὸς αὐτὸν καὶ ἐξερχομένους. καὶ εἶδεν δύο ἄνδρας εἰς ἑαυτοὺς μαχομένους πικρῶς, καὶ εἶπεν Ἄνδρες, εἴπατέ μοι τίς οὗτος ὁ μεθ' ὑμῶν, πλανῶν ψυχὰς νέων καὶ παρθένους ἀπατῶν, ἵνα γάμοι μὴ γίνονται ἀλλὰ οὕτως μένουσιν· ὑπισχνοῦμαι οὖν ὑμῖν δοῦναι χρήματα ἱκανά, ἐὰν εἴπητέ μοι περὶ αὐτοῦ· εἰμὶ γὰρ πρῶτος τῆς πόλεως. 12 Καὶ ὁ Δημᾶς καὶ Ἑρμογένης εἶπον αὐτῷ Οὗτος μέν τίς ἐστιν, οὐκ οἴδαμεν· στερίσκει δὲ νέους γυναικῶν καὶ παρθένους ἀνδρῶν, λέγων Ἄλλως ἀνάστασις ὑμῖν οὐκ ἔστιν ἐὰν μὴ ἁγνοὶ μείνητε καὶ τὴν σάρκα μὴ μολύνητε ἀλλὰ τηρήσητε ἁγνήν. 13 Ὁ δὲ Θάμυρις εἶπεν αὐτοῖς Δεῦτε

C παραπλήττη | δεινῶς: C add ἐν τῷ οἴκῳ | ABG Θεοκλία | πολλὴ usque πένθους cum ABG. C σύγχυσις οὖν ἐγένετο πένθους ἐν τῷ οἴκῳ | G κ. τούτ. πάντων γενομένων | οὐκ ἀπεστρ. (A ἐπεστρ.) cum BGA. C ἀπὸ τῆς θυρίδος οὐκ ἀφίστατο | ἀλλ' ἦν ἀτ. τ. λ. Π. cum AB(D), G ἀλλ' ἦν πρὸς τὸν λόγον Π. ἀποβλέπουσα, C ἀλλὰ τοῦ λόγου Π. ἦκουεν

11. ἀναπηδ. ἐξῆλθ. cum ABGD. C ἔξω ἐξελθών omisso καί seq. | εἰσερχ. πρ. αὐτ. (G πρ. τὸν Παῦλον) κ. (G add τοὺς) ἐξερχ. cum BG; item A sed praetermissis πρ. αὐτ. κ. ἐξερχομένους. C διερχομένους πρὸς Παῦλον, D *intrantes ad Paulum* | G ἴδεν | εἰς ἑαυτ. (G πρὸς αὐτούς) μαχομ. (B διαμαχομ.) πικρ. cum ABG. C μαχομ. πρὸς ἑαυτούς | εἶπεν cum AB; GD add αὐτοῖς, C πρὸς αὐτούς | εἴπατέ μοι τίς cum C; D *Quis.* G Τί ἔχετε, εἴπ. μοι, καὶ τίς. AB Τίνες ἐστέ, εἴπ. μ., καὶ τίς | ὁ μεθ' cum C. BG ὁ ἔσω μεθ', A ὁ ἐστὼς μεθ' | πλανῶν usque ἀπατῶν cum C. G πλαν. ψυχ. ἀνθρώπων, νέων καὶ παρθένων. AB πλάνος ἄνθρωπος ψυχὰς νέων κ. παρθένων ἀπατῶν | γίνονται cum C; AB γίνωνται, G γένωνται | G μένωσιν | C om δοῦναι | χρ. ἱκαν. (G πολλά) cum CG (D); AB πολλὰ χρ. | C μοι εἴπητε | πρῶτ. τ. πόλ. cum ABGD. C add καὶ οὐ μικρῶς ἀγωνιῶ περὶ τῆς Θέκλης, ὅτι οὕτως φιλεῖ τὸν ξένον καὶ στεροῦμαι γάμου.

12. Καὶ ὁ Δημ. cum AB. CGD Δημ. δέ | Ἑρμ. cum AB; CD h. l. Ἑρμογ. | G εἶπαν | αὐτῷ cum AB; G πρὸς αὐτόν; D om; C ὡς ἐξ ἑνὸς στόματος τῷ Θάμυρι | Οὗτ. μὲν τίς cum AB; C οὗτ. τίς μέν; G τίς μέν, et add οὕτως post οἴδαμεν. D *Hic quis sit* | στερίσκει cum AB; CG στερεῖ | Ἄλλως usque ἁγνήν cum CG (sed om ὑμῖν, habet μενεῖτε κ. τ. σάρκ. ὑμῶν μολύνετε et om ἀλλὰ τηρ. ἁγν.) itemque D. AB vero ἄλλως ἀνάστασιν (B ἀν. ἄλλ.) μὴ γίνεσθαι εἰ μή τις ἐν ἁγνείᾳ μείνῃ καὶ τ. σ. μὴ μολύνῃ ἀλλὰ τηρήσῃ (A – σει) αὐτὴν ἁγνήν

13. Δεῦτε usque ἀναπαύεσθ. cum C. G Δεῦτε ἄνδρες μετ' ἐμοῦ εἰς τ. ο. μ. κ. ἀναπαύσασθε πρός με. ABD Ἄνδρες, δεῦτε ἄγωμεν (D om) ε. τ. ο. μ.

Digitized by Google

εἰς τὸν οἶκόν μου καὶ ἀναπαύεσθε. καὶ ἀπῆλθον εἰς πολύτιμον δεῖπνον καὶ πολὺν οἶνον καὶ πλοῦτον μέγαν καὶ τράπεζαν λαμπράν· καὶ ἐπότισεν αὐτοὺς ὁ Θάμυρις, ποθῶν τὴν Θέκλαν καὶ θέλων τυχεῖν γυναικός. καὶ εἶπεν ἐν τῷ δείπνῳ ὁ Θάμυρις Ἄνδρες, τίς ἐστιν ἡ διδασκαλία αὐτοῦ, εἴπατέ μοι, ἵνα κἀγὼ ἴδω· οὐ γὰρ μικρῶς ἀγωνιῶ ὑπὲρ τῆς Θέκλης, ὅτι οὕτως φιλεῖ τὸν ξένον καὶ ἀποστεροῦμαι γάμου.

[14] Εἶπον δὲ Δημᾶς καὶ Ἑρμογένης Προσάγαγε αὐτὸν τῷ ἡγεμόνι Καστελίῳ ὡς ἀναπείθοντα τοὺς ὄχλους ἐπὶ καινῇ διδαχῇ Χριστιανῶν, καὶ ἀπολέσει αὐτὸν ταχέως, καὶ σὺ ἕξεις τὴν γυναῖκά σου Θέκλαν. καὶ ἡμεῖς σε διδάξομεν, ἣν λέγει οὗτος ἀνάστασιν γενέσθαι, ὅτι ἤδη γέγονεν ἐφ' οἷς ἔχομεν τέκνοις, καὶ ἀνιστάμεθα θεὸν ἐπεγνωκότες ἀληθῆ.

[15] Ὁ δὲ Θάμυρις ἀκούσας ταῦτα, πλησθεὶς ζήλου καὶ θυμοῦ ὄρθρου ἀναστὰς ἀπῆλθεν εἰς τὸν οἶκον Ὀνησιφόρου μετὰ ἀρχόντων καὶ δημοσίων καὶ ὄχλου ἱκανοῦ μετὰ ξύλων λέγων Διέφθειρας τὴν Ἰκονιέων πόλιν καὶ τὴν ἡρμοσμένην μοι, ἵνα μὴ θελήσῃ με· ἄγωμεν ἐπὶ τὸν ἡγεμόνα Καστέλιον. καὶ πᾶς ὁ ὄχλος ἔλεγεν

ἀναπαύσασθαι (AD καὶ ἀναπαύεσθε) μετ' ἐμοῦ | ἀπῆλθον cum CGD; AB εἰσῆλθον (B add εἰς) τὸν οἶκον αὐτοῦ | πολὺν οἶνον cum AG (οἶν. πολ.) D. BC πολύοινον | C κ. τράπ. λα. κ. πλ. μέγαν (G πολύν) | AB om ὁ | ποθῶν (G φιλῶν) usque γυναικός cum CG; AB φιλῶν τὴν Θέκλαν τυχεῖν γυναικός | καὶ εἶπ. ἐν τ. δ. ὁ Θάμ. cum AB(D). C εἶπ. δὲ αὐτοῖς ὁ Θάμ. ἐν τ. δ. G καὶ εἶπ. αὐτοῖς ὁ Θάμ. | εἴπατέ μοι h. l. cum CD; ABG post Ἄνδρες | τίς cum BGD; AC τί | διδασκ. cum ABG; C διδαχή | ἴδω cum ABG; C γνῶ (D om ἵ. κ. ἴδ.) | οὐ γὰρ μ. ἀγ. ὑπὲρ (G περὶ) τ. Θ. (D *propter sponsam meam*) cum CGD. AB ὅτι οὐ (A οὐ γὰρ) μικρός μοι (A om) ἀγών ἐστιν (A om) ὁ περὶ τῆς παρθένου Θέκλ. | ὅτι οὕτως (G om) usque ἀποστερ. (G στεροῦμαι) γάμου (G γυναικός) cum ABG (D similiter). C om (sed vide supra ad finem sectionis 11.)

14. G Εἶπαν | δέ: AB add αὐτῷ | Ἑρμ. et Ἑρμ. ut sect. 12. | Καστελίῳ cum AC, B Καστηλίῳ. G Κατελλίῳ, sed ex Bas. Seleuc. emendat Καστελλίῳ. D om | G διδασκαλίᾳ | ἀπολέσει α. ταχ. cum C; AB οὕτως ἀπολεῖς αὐτόν. GD κατὰ τὸ δόγμα τοῦ Καίσαρος (*secundum senatusconsultum*) ἀπολεῖ αὐτ. | σύ cum CGD. AB om | GD om Θέκλαν | AC διδάξωμεν | A οὗτ. ἀνάστ. λέγει | γενέσθ. cum CG; AB γίνεσθαι | ὅτι: GD ante ἣν pon | G ἀνέστημεν θεὸν ἐπιγνόντες | GD om ἀληθῆ

15. ταῦτα cum CD; ABG παρ' αὐτῶν (G add ταῦτα) καί | B πληρωθεὶς | A πολλοῦ θυμοῦ καὶ ζηλ. | AB εἰς τ. Ὀνησιφ. οἰκ. ἀπῆλθ. | G δημοσίου | A ὄχλων ἱκανῶν καὶ ξύλ. | λέγων cum ABD; CG add τῷ Παύλῳ | C Ἰκονιατῶν | μοι: G add Θέκλαν | θελήσῃ με cum AB; C θέλῃ συγγενέσθαι μετ' ἐμοῦ, G θελήσῃ μοι γῆμαι | ἐπί (G praem οὖν): C πρός | Καστέλιον cum AC; B Καστήλιον; G Καστέλλιον; D om | καὶ πᾶς usque γυναῖκας cum AB (om γάρ) G

Digitized by Google

Ἀνάγαγε τὸν μάγον· διέφθειρε γὰρ ἡμῶν πάσας τὰς γυναῖκας, καὶ συνεπείσθησαν οἱ ὄχλοι.

[16] Καὶ στὰς πρὸ τοῦ βήματος ὁ Θάμυρις κραυγῇ μεγάλῃ εἶπεν Ἀνθύπατε, ὁ ἄνθρωπος οὗτος, τίς ἐστιν οὐκ οἴδαμεν, ὃς ἀγάμους ποιεῖ τὰς παρθένους· εἰπάτω ἐπὶ σοῦ τίνος ἕνεκεν ταῦτα διδάσκει. ὁ δὲ Δημᾶς καὶ Ἑρμογένης εἶπον τῷ Θάμυρι Λέγε αὐτὸν Χριστιανόν, καὶ οὕτως αὐτὸν ἀναιρεῖς. ὁ δὲ ἀνθύπατος ἔστησεν τὴν διάνοιαν αὐτοῦ καὶ ἐκάλεσεν τὸν Παῦλον λέγων Τίς εἶ, καὶ τί διδάσκεις; οὐ γὰρ μικρῶς σου κατηγοροῦσιν. [17] Καὶ ἦρεν τὴν φωνὴν αὐτοῦ ὁ Παῦλος λέγων Εἰ ἐγὼ σήμερον ἀνακρίνομαι τί διδάσκω, ἄκουσον, ἀνθύπατε. Θεὸς ζῶν, θεὸς ἐκδικήσεων, θεὸς ζηλωτής, θεὸς ἀπροσδεής, χρήζων τῆς τῶν ἀνθρώπων σωτηρίας ἔπεμψέν με ὅπως ἀπὸ τῆς φθορᾶς καὶ τῆς ἀκαθαρσίας ἀποσπάσω αὐτοὺς καὶ πάσης ἡδονῆς καὶ θανάτου, ὅπως μὴ ἁμάρτωσιν· διὸ ἔπεμψεν ὁ θεὸς τὸν ἑαυτοῦ παῖδα, ὃν ἐγὼ εὐαγγελίζομαι καὶ διδάσκω ἐν ἐκείνῳ ἔχειν τὴν ἐλπίδα τοὺς ἀνθρώπους, ὃς μόνος συνεπάθησεν πλανωμένῳ κόσμῳ, ἵνα μηκέτι ὑπὸ κρίσιν ὦσιν, ἀνθύπατε, ἀλλὰ πίστιν ἔχωσιν καὶ φόβον θεοῦ καὶ γνῶσιν σεμνότητος καὶ ἀγάπην ἀληθείας. εἰ οὖν ἐγὼ τὰ ὑπὸ θεοῦ μοι ἀνακεκαλυμμένα διδάσκω, τί ἀδικῶ; ὁ δὲ ἀνθύπατος

(λέγει Ἀπάγαγε), similiterque D; C om | συνεπείσθησ. (G add αὐτῷ πάντες) οἱ ὄχλ. cum ABG; C συνεπέστη πᾶς ὁ ὄχλος. D om

16. πρό cum ABG; C ἐπί | τίς (D *unde*) ἐστ. οὐκ οἴδ. cum C(D): ABG οὐκ οἴδ. (G οἶδα) πόθεν ἐστ. | ὃς usque παρθένους cum CD (*qui non patitur virgines nubere*); ABG οὗτος (G καὶ) οὐκ ἐᾷ γυναῖκα (BG om) γαμεῖσθαι (G γαμεῖν) παρθένον (BG τὰς παρθένους) | G εἰπάτω οὖν | AB τοῦτο | AB Δημ. δὲ καί | Ἑρμ. (et Ἑρμ. ut supra sect. 12.): C add ὡς ἐξ ἑνὸς στόματος | οὔτ. αὐτ. ἀναιρεῖς cum B; A οὔτ. α. ἀνελεῖς. C εὐθέως ἀπολέσῃς αὐτόν, D *ut celerius eum perdas.* G ἀπολεῖται συντόμως | ἀνθύπατος: G ἡγεμών | AB om αὐτοῦ | D om ἔστησ. τ. δ. α. | B καλέσας | ABD λέγων αὐτῷ | καὶ τί: G ὅ,τι | A μικρόν

17. G ἀνακρίνωμαι | B ἀνθύπ. ἄκουσ. | Θεὸς ζῶν ex uno C est | G θε. ἐκδ. post θε. ζηλ. pon | D *Deus omnipotens misit me pro salute hominum ut* | ἀπό: B ἐκ | C om τῆς ante ἀκαθαρσ. | καὶ πάσ. ἡδον. (G add τε) καὶ (A om) θανάτου: C post ἀκαθαρσ. pon | ὅπως μή (G μηκέτι): C ἵνα μηκέτι | ἁμάρτωσιν cum AB; CG ἁμαρτάνωσιν | ἔπεμψεν ὁ θεός cum ABGD; C ἀπέστειλεν | παῖδα cum CD; G add Ἰησοῦν Χριστόν, AB Ἰησ. Χρ. τὸν υἱὸν αὐτοῦ | ὃς: A add ἐκεῖνος | B πλανώμενον κόσμον, A πλανωμένους κόσμῳ | μηκέτι: B μή | ἀλλά: B ἀλλ' ἵνα | πίστιν usque θεοῦ: C φόβον καὶ πίστιν | C ὑπὸ τοῦ θεοῦ | ἀνακεκαλ. cum C; ABG ἀποκεκαλ. | ἀδικῶ cum ABD; CG add ἀνθύπατε | G

Digitized by Google

ἀκούσας ἐκέλευσεν δεθῆναι τὸν Παῦλον καὶ εἰς φυλακὴν ἀποκατασταθῆναι, μέχρις οὗ εὐσχολήσας, φησίν, ἀκούσομαι αὐτοῦ ἐπιμελέστερον.

18 Ἡ δὲ Θέκλα νυκτὸς περιελομένη τὰ ψέλια ἔδωκεν τῷ πυλωρῷ, καὶ ἀνοιγείσης αὐτῇ τῆς θύρας ἀπῆλθεν εἰς τὴν φυλακήν· καὶ δοῦσα τῷ δεσμοφύλακι κάτοπτρον ἀργυροῦν εἰσῆλθεν εἰς τὸν Παῦλον, καὶ καθίσασα παρὰ τοὺς πόδας αὐτοῦ ἤκουεν τὰ μεγαλεῖα τοῦ θεοῦ. καὶ οὐδὲν ἐδεδοίκει ὁ Παῦλος, ἀλλὰ τῇ τοῦ θεοῦ παρρησίᾳ ἐνεπολιτεύετο· κἀκείνης ηὔξανεν ἡ πίστις, καταφιλούσης τὰ δεσμὰ αὐτοῦ.

19 Ὡς δὲ ἐζητεῖτο Θέκλα ὑπὸ τῶν ἰδίων καὶ Θάμυρις ὡς ἀπολομένης αὐτῆς ἐδίωκεν κατὰ τὰς ὁδούς, καί τις τῶν συνδούλων τοῦ πυλωροῦ ἐμήνυσεν ὅτι νυκτὸς ἐξῆλθεν. καὶ ἐξελθόντες ἀνήτασαν τὸν πυλωρόν, καὶ εἶπεν αὐτοῖς ὅτι πεπόρευται πρὸς τὸν ξένον εἰς τὸ δεσμωτήριον· καὶ ἀπελθόντες εὗρον αὐτὴν τρόπον τινὰ συνδεδεμένην τῇ στοργῇ. καὶ ἐξελθόντες ἐκεῖθεν τοὺς ὄχλους ἐπεσπῶντο καὶ τῷ ἡγεμόνι ἐνεφάνισαν. 20 Καὶ ἐκέλευσεν ἄγεσθαι τὸν Παῦλον ἐπὶ τὸ βῆμα· ἡ δὲ Θέκλα ἐκυλίετο ἐπὶ τοῦ τόπου οὗ ἐδίδασκεν καθήμενος ἐν τῇ φυλακῇ. ἐκέλευσεν δὲ κἀκείνην ἀχθῆναι ἐπὶ τὸ βῆμα· ἡ δὲ μετὰ χαρᾶς προσίει ἀγαλλιω-

---

ἀκούσας ταῦτα | ἀποκατασταθ. cum AB. C ἀπεχθῆναι, G βληθῆναι | οὗ cum AB; CG ἄν | εὐσχολήσας cum BG; A ἐνσχολάσας, C εὐσχολίας | φησίν, ἀκ. α. ἐπιμ. cum AB. C ἐπιμ. ἀκούσει αὐτοῦ, G ἀκούσηται αὐτ. ἐπιμ.

18. Ψέλια cum AC, B ψέλλια; G ἑαυτῆς ἐνώτια | ἀνοιγείσης: G ἤνοιξεν | C om αὐτῇ τῆς (G τὰς) θύρ. (G add καί) | δοῦσα: C ἔδωκεν | A δεσμωφύλ. | C ἔσωπτρον | A ἀργυρέων, G ἀργυρέον | C καὶ εἰσῆλθεν | εἰς τόν cum AB; C πρός, G πρ. τόν | G καθεσθεῖσα | ἤκουεν cum C; ABG ἤκουσεν | καὶ (B om) οὐδ. (B add δὲ) ἐδ.: G corrupte καὶ ὡς οὐδὲν ἐδώκει (emendat ἐδεδίει) πάσχειν | παρρησίᾳ cum AC; B praem χάριτι, G βοηθείᾳ | G ἐπολιτεύετο

19. ἰδίων: G corrupte Ἰουδαίων, ex Metaphraste corrigit οἰκείων | Θάμυρις cum AB. C Θαμυρίου, G Θαμύρεος | G ἀπολλυμένης | ἐδίωκεν cum AB; CG ἐδιώκετο (G post ὁδούς) | καί τις cum CG: B om καί | G ἐμήνυσεν αὐτοῖς | ἐξελθόντες cum C; ABG om | G ἀνέτασαν | C om αὐτοῖς ὅτι | BC δεσμοτήριον | ἀπελθόντες cum C. A ἀπῆλθον καὶ καθώς; BG ἀπῆλθον καθὼς εἶπεν αὐτοῖς, καί | G om τρόπον usque στοργῇ | C om ἐκεῖθεν | τ. ὄ. ἐπεσπῶντο (G -σπάσαντο) cum AB(G); C ἐπεσπάσαντο τ. ὄ. | B τὸν ἡγεμόνα ἐνεφ.

20. AB τ. Παῦλ. ἄγεσθ. | ἐδίδασκ. καθήμενος cum ABG (sed G add ὁ Παῦλ. post φυλακῇ): C ἐκαθέζετο ὁ Παῦλος καὶ ἐδίδασκεν | ἐκέλ. δέ cum C. ABG ὁ δὲ (G add ἡγεμών) ἐκέλ. | G κἀκ. ἄγεσθαι | C om τό | προσίει cum

μένη. ὁ δὲ ὄχλος προσενεχθέντος τοῦ Παύλου περισσοτέρως ἐβόα Μάγος ἐστίν, αἶρε αὐτόν. ἡδέως δὲ ἤκουεν ὁ ἀνθύπατος τοῦ Παύλου ἐπὶ τοῖς ὁσίοις ἔργοις τοῦ Χριστοῦ· καὶ συμβούλιον ποιήσας προσεκαλέσατο τὴν Θέκλαν καὶ εἶπεν αὐτῇ Διὰ τί οὐ πείθει κατὰ τὸν Ἰκονιέων νόμον Θάμυρι; ἡ δὲ εἱστήκει Παύλῳ ἀτενίζουσα· τῆς δὲ μὴ ἀποκρινομένης, ἡ μήτηρ αὐτῆς ἀνέκραγεν λέγουσα Κατάκαιε τὴν ἄνομον, κατάκαιε τὴν ἄνυμφον μέσον θεάτρου, ἵνα πᾶσαι αἱ ὑπὸ τούτου διδαχθεῖσαι φοβηθῶσιν γυναῖκες.

[21] Καὶ ὁ ἡγεμὼν ἔπαθεν μεγάλως, καὶ τὸν μὲν Παῦλον φραγελλώσας ἔβαλεν ἔξω τῆς πόλεως, τὴν δὲ Θέκλαν ἔκρινεν κατακαῆναι. καὶ εὐθέως ὁ ἡγεμὼν ἀπίει ἐπὶ τὸ θέατρον· ὁ δὲ πᾶς ὄχλος ἐξῆλθεν ἐπὶ τὴν θεωρίαν Θέκλης. ἡ δὲ ὡς ἀμνὸς ἐν ἐρήμῳ περισκοπεῖ τὸν ποιμένα, οὕτως ἐκείνη τὸν Παῦλον ἐζήτει. καὶ ἐμβλέψασα εἰς τὸν ὄχλον ἶδεν τὸν κύριον καθήμενον ὡς Παῦλον, καὶ εἶπεν Ὡς ἀνυπομονήτου μου οὔσης ἦλθεν Παῦλος θεάσασθαί με. καὶ προσεῖχεν αὐτῷ ἀτενίζουσα· ὁ δὲ εἰς οὐρανοὺς ἀνίει.
[22] Αἱ δὲ παιδίσκαι καὶ παρθένοι ἤνεγκαν τὰ ξύλα ἵνα Θέκλα κατακαῇ. ὡς δὲ εἰσῆλθεν γυμνή, ἐβόησεν ὁ ἡγεμὼν καὶ ἐθαύ-

---

AB; C ἀπείη, G ἀπίει | G ἀγαλλομένη | προσενεχθ. cum C. ABG προσαχθέντος | AB πάλιν τοῦ Π., G τοῦ Π. πάλιν | Μάγ. usque αὐτόν cum ABG; C Αἶρε α., μάγ. ἐστ. | AB ἡδέως οὖν ἤκουεν (G ἤκουσεν) αὐτοῦ ὁ ἀνθύπ. ἐπὶ τ. θείοις αὐτοῦ ἔργ. | προσεκαλέσατο cum C; reliqui ἐκάλεσεν (-σε) | καὶ εἶπεν αὐτῇ cum C; G λέγων αὐτῇ, AB λέγων | πείθει cum C. AB λαμβάνεις, G γαμεῖς | Ἰκονιέων (-ιαῖον C): AG τῶν Ἰκ. post νόμ. | AB Θάμυριν, G τῷ Θάμυρι | μή: G οὐδέν ex Bas. Seleuc. suppletum | ἡ μήτηρ cum ABD; CG praem Θεοκλεία (-κλία) | C ἀνέκραξεν | μέσον cum C; ABG ἐν μέσῳ (G add τοῦ) | A θεάτρῳ | CG γυναῖκ. φοβηθ.

21. C Ἔπαθεν δὲ ὁ ἡγ. | B om μέν | ἔβαλεν ἔ. τ. π. cum AB; G ἐξέβ. τῆς π., C ἔξω τ. π. ἔβ. | G κατέκρινεν πυρίκαυστον | ὁ ἡγεμών cum AB; G ὁ ἡγέμ. ἀναστάς; C ἀνέστη καὶ | ἀπίει cum ABC: G ἀπῆλθεν | ἐπὶ τό cum AB; CG εἰς τό | ὁ δὲ πᾶς cum AB; CG καὶ πᾶς ὁ | C ἀπῆλθεν | ἐπὶ τήν cum AB; CG εἰς τήν | θεωρ. Θέκλ. cum AB; C θέαν, G ἀνάγκην τῆς θέας | G ἡ δὲ Θέκλα καθάπερ | A περισκ. τὸν (C om) ποιμ. ἐν ἐρήμῳ | ἐκείνη cum AB; G κἀκείνη, C καὶ αὐτή | ἐζήτει cum AB; C περιεσκόπει; G om | G ἐμβλέψας | ἶδεν cum BCG; A εἶδεν | G ὡς τὸν Παῦλ. | καὶ εἶπεν cum AB; C add Θέκλα, G ἐν ἑαυτῇ | G om Ὡς | G ὁ Παῦλ. | ἀνίει cum AB; CG ἀπίει, et G add θεωρούσης αὐτῆς

22. ABG αἱ (G οἱ) δὲ παῖδες κ. αἱ παρθ. (sed D *mulieres et puellae*) | τὰ (AB om) ξύλα: GD ξύλα καὶ χόρτον | G ἵνα ἡ Θ. καῇ | εἰσῆλθεν cum AB; C εἰσηνέχθη, G εἰσήχθη, D *adducta est* | καὶ ἐθαύμ. usque δύναμιν cum C; D *mirabatur quae esset in ea patientia et animi virtus.* AB ἐπὶ τῷ κάλλει αὐτῆς, G

Digitized by Google

μασεν τὴν ἐπ' αὐτῇ δύναμιν. ἔστρωσαν δὲ τὰ ξύλα οἱ δήμιοι ἐπιβῆναι τῇ πυρᾷ· ἡ δὲ τύπον σταυροῦ ποιησαμένη ἐπέβη τῶν ξύλων· οἱ δὲ ὑφῆψαν. καὶ μεγάλου πυρὸς λάμψαντος σὺχ ἥψατο αὐτῆς· ὁ γὰρ θεὸς σπλαγχνισθεὶς ἦχον ὑπόγαιον ἐποίησεν, καὶ νεφέλη ἄνωθεν ἐπεσκίασεν ὕδατος πλήρης καὶ χαλάζης, καὶ ἐξεχύθη πᾶν τὸ κῦτος, ὡς πολλοὺς κινδυνεῦσαι τοῦ ἀποθανεῖν καὶ τὸ πῦρ σβεσθῆναι, τὴν δὲ Θέκλαν σωθῆναι.

[23] Ἦν δὲ ὁ Παῦλος νηστεύων μετὰ Ὀνησιφόρου καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων ἐν μνημείῳ καινῷ, ὡς ἀπὸ Ἰκονίου εἰς Δάφνην πορεύονται. ἡνίκα δὲ ἡμέραι πολλαὶ ἐγίνοντο, νηστεύοντες οἱ παῖδες εἶπον τῷ Παύλῳ Πεινῶμεν, καὶ οὐχ εὕρομεν ἄρτους ἀγοράσαι. κατέλιπεν γὰρ τὰ τοῦ κόσμου ὁ Ὀνησιφόρος καὶ Παύλῳ ἠκολούθησεν πανοικί. Παῦλος δὲ ἀποδυσάμενος τὸν ἐπενδύτην εἶπεν Ὕπαγε, τέκνον, ἀγόρασον ἄρτους πλείονας καὶ φέρε. ὡς δὲ ἠγόραζεν ὁ παῖς, εἶδεν Θέκλαν τὴν γείτονα, καὶ ἐθαμβήθη καὶ εἶπεν Θέκλα, ποῦ πορεύῃ; ἡ δὲ εἶπεν Παῦλον διώκω, ἐκ πυρὸς σωθεῖσα. καὶ ὁ παῖς εἶπεν Δεῦρο, ἀπαγάγω σε πρὸς αὐτόν· στενάζει γὰρ περὶ σοῦ καὶ προσεύχεται ἡμέρας ἑξ.

κ. ἐθαύμ. τὴν δύναμιν τοῦ κάλλους αὐτῆς | C τὰ ξύλα post οἱ δήμ. pon | ἐπιβῆναι cum A: B praem καὶ ἐπέτρεψαν αὐτῇ, C καὶ ἐκέλευσεν αὐτήν, G καὶ ἐκέλευσαν αὐτὴν οἱ δῆμοι (omisso οἱ δήμιοι), D *urgebant eam* | τῇ πυρᾷ cum ABGD; C ἐπ' αὐτά | BG τὸν τύπον | B τοῦ σταυροῦ | AB ποιήσασα et ἐπὶ τὰ ξύλα | G οἱ δὲ δήμιοι ὑφῆψ. τὸ πῦρ. καὶ μεγάλης πυρᾶς ἐκλαμψάσης | ἥψατο cum ABG: C ἥπτετο | αὐτῆς cum AB; CG add τὸ πῦρ | ἦχον cum ABG; C ἦχος | ὑπόγαιον cum BC; A -γεον, G -γειον | A ὕδατ. ἐπεσκίασ. (G ὑπεσκ.) ἄνω | AB om πλήρης usque κῦτος (G add τοῦ ἐδάφους) | κινδυνεῦσαι τοῦ (G καὶ) ἀποθ. cum ABG; C κινδυνεύσαντας ἀποθ. | καὶ τό (G add μέν): C τὸ δέ | τὴν δ. Θ. σωθ. cum ABGD; C om

23. C om ὁ | αὐτοῦ: C post τέκνων pon | καινῷ cum C; AB ἀνοίκτῳ; G om | ὡς cum C; AB ἐν ὁδῷ ἐν ᾗ, G ἐν ὁδῷ ὅταν | G ἐπορεύοντο | ἡμ. πολλαὶ ἐγίν. cum C: A ἡμ. πο. παρῆλθον, B ἡμ. διῆλθον ἱκαναί, G πολλὰς ἡμέρας ἐποίησαν | νηστεύοντες cum ABG: C νηστευόντων αὐτῶν | οἱ π. εἶπον (G εἶπαν οἱ π.) cum ABG: C εἶπον οἱ παῖδ. Ὀνησιφόρου | G Πάτερ, πεινῶμεν | C om κ. οὐχ εὕρομεν (G ἔχομεν πόθεν) ἄρτ. ἀγ. | C κατέλειπε γάρ, G ἦν γὰρ κατα λείψας | AB om ὁ | Παύλ. (G τῷ Π.) ἠκολούθησεν (-θει G) cum ABG; C ἠκολούθη (sic) Π. | B om πανοικί (G -κεί) | AB ἀπεδύσατο et καὶ εἶπεν | ἐπενδύτην cum C; BG add αὐτοῦ, A ἑαυτοῦ | εἶπεν cum AB: C add ἑνὶ αὐτῶν, G τῷ παιδίῳ | B ἀγόρασε | AB φέρε ἡμῖν | G ἠγόρασεν ὁ π. τοὺς ἄρτους | CG ἰδεν | G τ. γειτ. αὐτοῦ | κ. εἶπεν cum AB; C add ὁ παῖς, G αὐτῇ | A πορεύει | ἡ δέ: A καί | A Παύλῳ | σωθεῖσα: A φυγοῦσα | κ. ὁ π. εἶπεν cum ABG(D): C εἶπεν δὲ αὐτῇ ὁ παῖς | A ἀπάγο (sic) σε | γάρ: A add ἤδη, idem G ante ἡμέρας | προσεύχεται cum CD: ABG add καὶ νηστεύει

Digitized by Google

24 Ἡ δὲ ἐπέστη ἐπὶ τὸ μνημεῖον, ὅπου ἦν Παῦλος κεκλικὼς τὰ γόνατα καὶ προσευχόμενος καὶ λέγων Σῶτερ Χριστέ, μὴ ἀψάσθω Θέκλης τὸ πῦρ, ἀλλὰ παράστα αὐτῇ, ὅτι σή ἐστιν. ἡ δὲ ὄπισθεν ἑστῶσα ἐβόησεν Πάτερ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ τοῦ ἁγίου σου παιδὸς πατήρ, εὐλογῶ σε ὅτι ἔσωσάς με, ἵνα Παῦλον ἴδω. καὶ ἀναστὰς Παῦλος εἶδεν αὐτὴν καὶ εἶπεν Θεὲ καρδιογνῶστα, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐλογῶ σε ὅτι ὃ ἠρετισάμην ἐτάχυνάς μου ἐπακούσας.

25 Εἶχον δὲ ἄρτους πέντε καὶ λάχανα καὶ ὕδωρ, καὶ εὐφραίνοντο ἐπὶ τοῖς ὁσίοις ἔργοις τοῦ Χριστοῦ. καὶ εἶπεν Θέκλα Παύλῳ Περικαροῦμαι καὶ ἀκολουθήσω σοι ὅπου δ' ἂν πορεύῃ. ὁ δὲ εἶπεν Ὁ καιρὸς αἰσχρός, καὶ σὺ εὔμορφος· μὴ ἄλλος σε πειρασμὸς λήψεται χείρων τοῦ πρώτου, καὶ οὐχ ὑπομείνῃς ἀλλὰ δειλανδρήσῃς. καὶ εἶπεν Θέκλα Μόνον δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ οὐχ ἅψεταί μου πειρασμός. καὶ εἶπεν Παῦλος Θέκλα μακροθύμησον, καὶ λήψῃ τὸ ὕδωρ.

26 Καὶ ἀπέπεμψεν Παῦλος Ὀνησιφόρον πανοικὶ εἰς Ἰκόνιον,

---

24. Ἡ δέ cum C: ABG ὡς δέ | G ἐπέστη ἡ Θέκλα | ἐπί: C om | ὅπου usque λέγων ex C. ABG Παύλῳ (-λου G) κεκλικότι τὰ γόν. (G τὰ γ. κεκλικότος) κ. προσευχομένῳ (-νου G) κ. λέγοντι (-ντος G) | Σῶτερ Χρ. cum C: A Πάτερ υἱέ (ἅγιε?), G Πάτερ ἅγιε, κύριε Ἰησοῦ Χριστέ, B Πάτερ καὶ υἱὲ καὶ ἅγιον πνεῦμα, Θεότης μία | A ἀψάτω | G τὸ πῦρ Θέκλας | παράστα ex C; G παράστηθι. AB πάρεσω (B -σο) omisso αὐτῇ | σή: G δούλη σοῦ | ἡ δέ cum CG. AB αὕτη | C ὄπισθεν αὐτοῦ | Πάτερ cum AC. G λέγουσα Δέσποτα κύριε, B Πάτερ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἅγιον πνεῦμα | B om ὁ τοῦ ἁγίου (G ἁγαπητοῦ καὶ ἁγίου) σου παιδ. (G παιδ. σου, A τοῦ παιδ. τοῦ ἁγ. σ.) πατήρ (-τερ G) | ἔσωσ. με cum AB: CG add ἐκ τοῦ (G om) πυρός | B ὁ Παῦλος | AG ἴδεν | αὐτήν: C Θέκλαν ἑστῶσαν | ὁ πατὴρ (G πάτερ) τ. κ. ἡμῶν (G μου) Ἰ. Χριστοῦ: AB πάτερ καὶ υἱέ (B add καὶ πνεῦμα ἅγιον) | ὃ: AB ἃ | ἠρετισάμην cum C (-τησάμην), G ἠρώτησα: AB ἠτησάμην σοι | ἐτάχ. μ. ἐπακ. cum C: AB ἐτάχ. μοι καὶ εἰσήκουσάς μου, G ἔδωκάς μοι

25. Εἶχον δέ cum C. ABG praem Καὶ ἦν ἔσω ἐν τῷ μνημείῳ (AB add ἐν) ἀγάπη πολλή, Παύλου ἀγαλλιωμένου καὶ Ὀνησιφόρου καὶ πάντων, item D *Et factum est gaudium magnum in monumento.* | C om καὶ ὕδωρ | Παύλῳ: C τῷ Π., G πρὸς τὸν Παῦλον | Περικαροῦμαι cum ABC; D *tondam me.* G Περιχαροῦ (*laetare*) | αἰσχρός: AB add ἐστιν | G γυνὴ εὔμορφ. | G μή σε ἄλλ. πειρ. λάβοι (B πειρ. λήψ. σε) | C χεῖρον | G οὐχ ὑπομενεῖς ἀλλὰ δειλιάσεις | Θέκλα: G αὐτῷ Θ., C Θ. Παύλῳ | C om Μόνον | A μοι δός | G ὁ Παῦλ. τῇ Θέκλᾳ Μακροθ. | τὸ ὕδωρ (D *lavacrum regenerationis*): G τὴν δωρεὰν τοῦ Χριστοῦ

26. G ἔπεμψεν Π. τὸν Ὀν. εἰς τὸν οἶκον αὐτοῦ πανοικεί | AB Ὀνησ. Παῦλ.

Digitized by Google

καὶ οὕτως λαβόμενος Θέκλης εἰς Ἀντιόχειαν εἰσῆλθεν. ἅμα δὲ τῷ εἰσέρχεσθαι αὐτούς, συριάρχης τις Ἀλέξανδρος ὀνόματι ἰδὼν τὴν Θέκλαν ἠράσθη αὐτῆς, καὶ ἐξελιπάρει τὸν Παῦλον χρήμασι καὶ δώροις. ὁ δὲ Παῦλος εἶπεν Οὐκ οἶδα τὴν γυναῖκα ἣν λέγεις, οὐδέ ἐστιν ἐμή. ὁ δὲ πολὺ δυνάμενος, αὐτὸς αὐτῇ περιεπλάκη εἰς τὸ ἄμφοδον· ἡ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ Παῦλον ἐζήτει. καὶ ἀνέκραγεν πικρῶς λέγουσα Μὴ βιάσῃ τὴν ξένην, μὴ βιάσῃ τὴν τοῦ θεοῦ δούλην. Ἰκονιέων εἰμὶ πρώτη, καὶ διὰ τὸ μὴ θέλειν με Θάμυριν, ἐκβέβλημαι τῆς πόλεως. καὶ λαβομένη τοῦ Ἀλεξάνδρου περιέσχισεν αὐτοῦ τὴν χλαμύδα καὶ περιεῖλεν αὐτοῦ τὸν στέφανον, καὶ ἔστησεν αὐτὸν θρίαμβον. [27] Ὁ δὲ ἅμα μὲν φιλῶν αὐτήν, ἅμα δὲ καὶ αἰσχυνόμενος τὸ γεγονός, προσήγαγεν αὐτὴν τῷ ἡγεμόνι, κἀκείνης ὁμολογησάσης ταῦτα πεπραχέναι κατέκρινεν αὐτὴν εἰς θηρία. αἱ δὲ γυναῖκες ἐξεπλάγησαν καὶ ἀνέκραξαν παρὰ τὸ βῆμα Κακὴ κρίσις, ἀνοσία κρίσις. ἡ δὲ ἠτήσατο τὸν ἡγεμόνα ἵνα, φησίν, μέχρις οὗ θηριομαχήσω

εἰς | κ. οὕτως (C οὕτος): G αὐτὸς δέ | λαβόμενος cum ABG; C παραλαβών | Θέκλης cum B; ACG τὴν (A om) Θέκλαν | εἰσῆλθεν (A ante εἰς pon): G ἀπίει | τῷ, ut G: B τό, C τοῦ, A om | G ἔρχεσθαι | αὐτούς cum C: AB add εἰς Ἀντιόχειαν, G ἐν τῇ πόλει | συριάρχης cum C. ABG Σύρος | ὀνόματι: AB Ἀντιοχέων πρῶτος, G ὀνόμ. Ἀντιοχέων πρωτοπολίτης, πολλὰ ποιῶν ἐν τῇ πόλει ἐκείνῃ ἐν τῇ ἀρχῇ αὐτοῦ· | G καὶ ἰδών | AB om τ. Θέκλ. | ABG ἐφίλησεν αὐτήν | G δώροις πολλοῖς | G εἶπεν αὐτῷ | AB om ἣν (G ταύτην ἣν) λέγ. | G οὐδὲ γάρ | C ἐμή ἐστιν | εἰς τ. ἄμφ.: G φιλῶν αὐτὴν ἐν τῷ ἀμφόδῳ | CG ἀνέκραξε et C add Θέκλα | λέγουσα: AB om; G praem ἐν φωνῇ μεγάλῃ | C bis βιάζου | AG με τὴν ξένην | G με τὴν τοῦ | Θάμυριν cum AB, CG γαμηθῆναι Θάμυριν (G -ρι) | G τ. πόλ. μου | G ἐπιλαβομένη | τοῦ Ἀλεξ. cum AB; CG τὸν Ἀλέξανδρον | αὐτοῦ τήν: G om αὐτ. | περιεῖλ. α. τ. στ. cum C; ABG τὸν στ. αὐτοῦ (G pon post κεφαλ.) ἀφείλετο (G -λατο) τῆς (G ἀπὸ τῆς) κεφαλῆς | G θριαμβ. ἐπὶ πάντων

27. Ὁ δέ: G add Ἀλέξανδρος | αὐτήν: AB ante ἅμα μέν pon | τὸ γεγονός: AB add αὐτῷ | προσήγαγ. cum ABGH; C προσήνεγκεν | G τῷ ἡγεμ. αὐτήν | ταῦτα: A αὐτά | post κατέκρινεν codex Grabii hiat; rursus incipit Τῶν δὲ λεγουσῶν i. c. sect. 32. Post supplevit lacunam Thom. Hearne (H). | εἰς θηρία cum ABD (*damnavit eam ad bestias*): CH add βληθῆναι | ἐξεπλάγ. cum ABH: C ὀλώλυξαν | H ἔκραξαν, C ἀνέκραγον | παρά cum BCH; A ἐπί | βῆμα: H add τοῦ ἡγεμόνος | ἀνοσία: A ἀνόσιος | κρίσις cum CH (Κακ. ἡ κρ. ἀνοσ. ἡ κρίσ.): A κριτής, B om | Ἡ δέ: CHD add Θέκλα | ἵνα, φησίν, μ. οὗ (B ἂν) θηριομαχήσω (A -χῶ) μείνω (B τηρηθῶ) ἁγνή cum AB. C ἵνα ἁγνὴ μείνῃ μ. οὗ θηριομαχήσει, H μέχρις ὅταν ἔχει θηριομαχῆσαι, μεῖναι αὐτὴν

μείνω ἀγνή. καί τις Τρύφαινα, ἧς ἡ θυγάτηρ ἐτεθνήκει, ἔλαβεν αὐτὴν εἰς τήρησιν, καὶ εἶχεν εἰς παραμυθίαν.

[28] Ἡνίκα δὲ τὰ θηρία ἐπόμπευεν, ἐπέδησαν αὐτὴν λεαίνῃ πικρᾷ, καὶ ἡ Τρύφαινα ἐπηκολούθει αὐτῇ. ἡ δὲ λέαινα ἐπάνω καθεζομένης Θέκλης περιέλειχεν αὐτῆς τοὺς πόδας, καὶ πᾶς ὁ ὄχλος ἐξίστατο· ἡ δὲ αἰτία τῆς ἐπιγραφῆς αὐτῆς ἦν Ἱερόσυλος. αἱ δὲ γυναῖκες ἔκραζον ἄνωθεν Ἀνοσία κρίσις γίνεται ἐν τῇ πόλει ταύτῃ. καὶ ἀπὸ τῆς πομπῆς πάλιν λαμβάνει αὐτὴν ἡ Τρύφαινα· ἡ γὰρ θυγάτηρ αὐτῆς Φαλκονίλλα ἦν τεθνεῶσα, καὶ κατ' ὄναρ εἶπεν αὐτῇ Μῆτερ, τὴν ξένην ταύτην Θέκλαν ἕξεις εἰς τὸν ἐμὸν τόπον, ἵνα εὔξηται περὶ ἐμοῦ καὶ μετατεθῶ εἰς τὸν τῶν δικαίων τόπον.

[29] Ὅτε δὲ ἀπὸ τῆς πομπῆς ἐλάμβανεν αὐτὴν ἡ Τρύφαινα, ἅμα μὲν ἐπένθει ὅτι ἔμελλεν εἰς τὴν αὔριον θηριομαχεῖν, ἅμα δὲ καὶ στέργουσα ἐμπόνως ὡς τὴν θυγατέρα Φαλκονίλλαν εἶπεν Τέκνον μου δεύτερον Θέκλα, δεῦρο πρόσευξαι ὑπὲρ τοῦ τέκνου μου, ἵνα ζήσεται εἰς τοὺς αἰῶνας· τοῦτο γὰρ εἶδον ἐν ὕπνοις.

ἁγνήν | BHD καί τις γυνὴ (*vidua*, H add πλουσία) ὀνόματι Τρύφ. (D semper *Trisina*. AB add πλουσία, D *dives valde*) | ἧς ἡ θυγ. ἐτεθνήκει (CH τεθνήκη, H add ὀνόματι Φαλκονήλλα): C post τήρησιν pon | H ἔλαβ. τὴν Θέκλαν εἰς παραφυλακήν | CH εἶχεν αὐτήν

28. Ἡνίκα etc cum ABH. C Ὡς δὲ ἐπ. τὰ θηρ. | ἐπέδησαν cum B; A -σεν; C προσέδεισαν; H ἀπέλησαν (-λυσαν?) | αὐτὴν λε. πι. cum A. BCH αὐτῇ (H ἐπ' αὐτήν) λέαιναν πικράν | BCH ἡ δὲ (H καὶ ἡ) βασίλισσα Τρυφ. | αὐτῇ (C add ὀπίσω): H ἕως οὗ εἰσῆλθεν εἰς τὸ θέατρον | καθεζομένης cum AH (add τῆς): BC -μένη | αὐτ. τ. ποδ. cum B. ACH τ. π. αὐτ. | H τῆς ἐπιγραφῆς (etiam C om αὐτῆς) ἦν αὕτη | γυναῖκες cum CD; ABH add μετὰ τῶν τέκνων (H add αὐτῶν) | ἔκραζον ἄνωθεν cum AB, item (ἔκραξαν ἄνωθεν λέγουσαι) H: C ἀνέκραξαν λέγουσαι Ὡ | A ἀνόσια omisso κρίσις: H ἄθεος κρίσις, ὅτι ἀνοσία κρίσις | H ἀπὸ τοῦ πρετορίου | πάλ. λαμβ. cum AB (H λαμβ. αὐτ. πάλιν): C ἔλαβεν et post ἡ Τρύφ. pon πάλιν | A Φαρκονίλα et τεθνηκοῖα: H ἡ δὲ θυγ. τῆς Τρυφαίνης ἡ τεθνηκυῖα κατ' ὄναρ | ταύτην cum C. AB τὴν ἔρημον. H Μῆτ. μου, τὴν ἔρημον τὴν ξέν. Θέκλαν | εὔξ. πε. ἐμ. καί cum C: ABH ὑπὲρ ἐμ. εὔξ. (BH προσεύξ.) ὅπως (H καί)

29. δέ: ABH οὖν | πομπῆς: A νομῆς, B praem τῶν θηρίων | AB om ἡ Τρύφ. | H sic: ἀπὸ τοῦ πρετορίου ἡ Τρύφ. παρέλαβεν τὴν Θέκλαν | B ἐπένθ. ἅ. μέν | εἰς τ. αὔριον: A ἐπὶ τ. αὔρ. (post θηριομ.), B τῇ ἐπαύριον, H τῇ ἐπιούσῃ ἡμέρᾳ | H θηριομαχῆσαι ἡ Θέκλα | δὲ καί: H om καί | CH om ἐμπόν. ὡς | A θυγατέραν et CH add αὐτῆς | A Φαρκονίλαν, H Φαλκωνίλλαν, C -νίλαν | H εἶπεν αὐτῇ | AB om εἰς τ. αἰῶν. | εἶδ. ἐν ὕπνοις cum AB. C ἐν τῷ ὕπνῳ μου ἶδον | H sic: Τέ. μ. δ. Θέ. πρόσευξαι τῷ θεῷ σου ἵνα ζήσῃ

Digitized by Google

ἡ δὲ μηδὲν μελλήσασα ἦρεν τὴν φωνὴν καὶ εἶπεν Ὁ θεὸς ὁ ὕψιστος, δὸς αὐτῇ κατὰ τὸ θέλημα αὐτῆς, ἵνα ἡ θυγάτηρ αὐτῆς Φαλκονίλλα ζήσεται εἰς τοὺς αἰῶνας. καὶ ταῦτα εἰποῦσης Θέκλης ἐπένθει ἡ Τρύφαινα ἐπέχουσα τοιοῦτον κάλλος εἰς θηρία βαλλόμενον.

30 Καὶ ὅτε ὄρθρος ἐγένετο, ἦλθεν ὁ Ἀλέξανδρος παραλαβεῖν αὐτήν, αὐτὸς γὰρ ἐδίδου τὰ κυνήγια, λέγων Ὁ ἡγεμὼν κάθηται καὶ ὁ ὄχλος θορυβεῖ ἡμᾶς· δὸς ἀπαγάγω τὴν θηριομάχον. ἡ δὲ Τρύφαινα ἀνέκραξεν ὥστε καὶ αὐτὸν φυγεῖν, λέγουσα Φαλκονίλλης μου δεύτερον πένθος ἐπὶ τῆς οἰκίας μου γίνεται, καὶ σὺ δεῖς ὁ βοηθῶν· οὔτε τέκνον, ἀπέθανεν γάρ, οὔτε συγγενής, χήρα γάρ εἰμι. ὁ θεὸς Θέκλης, βοήθησον αὐτῇ.

31 Εὐθέως δὲ πέμπει ὁ ἡγεμὼν ἄκτον ἵνα Θέκλα ἀχθῇ. ἡ δὲ Τρύφαινα λαβομένη αὐτὴν τῆς χειρὸς εἶπεν Τὴν μὲν θυγατέρα μου Φαλκονίλλαν ἀπήγαγον εἰς τὸ μνημεῖον· σὲ δέ, Θέκλα, εἰς τὸ θηριομαχεῖον ἀπάγω. καὶ ἐδάκρυσεν Θέκλα πικρῶς, λέγουσα Κύριε ὁ θεὸς ᾧ ἐγὼ πιστεύω, ἐφ' ὃν ἐγὼ κατέφυγα, ὁ ῥυσάμενός με ἐκ πυρός, ἀπόδος μισθὸν Τρυφαίνῃ τὴν δούλην σου συμπαθη-

τὸ τέκνον μου Φαλκονήλλα· τοῦτο γὰρ ἴδον καθ' ὕπνους | ἡ δέ: CH add Θέκλα | μηδέν: CH μή | CH ἐπῆρεν τ. φ. αὐτῆς | καὶ εἶπεν: H praem πρὸς τὸν θεόν | Ὁ θε. ὁ ὕψ. cum C: B add ὁ θεὸς ὁ αἰώνιος: A Ὁ θε. τῶν πατέρων, ὁ υἱὸς τοῦ ὑψίστου, H Κύριε ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ υἱὸς τοῦ ὑψίστου, κύριε Ἰησοῦ Χριστέ | αὐτῇ: C τῇ Τρυφαίνῃ | αὐτῆς: CH σου | A Φαρκονίλα, C Φαλκονίλα, H Φαλκονήλλα | H ζήσῃ | C om Θέκλης | ἐπέχουσα: B βλέπουσα | C πρὸς θηρία | H sic: καὶ ἀκούσασα ταῦτα ἡ Τρ. ἐπένθει θεωροῦσα τοιοῦτον etc.

30. AB om ὁ | H ὁ Ἀλ. εἰς τὴν οἰκίαν τῆς Τρυφαίνης τοῦ παραλ. τὴν Θέκλαν | H τὰ κυνηγέσια λέγ. πρὸς τὴν Τρύφαιναν | H δός ὅπως | B ἔκραξεν, H add μέγα | ABH ὥστε φυγεῖν αὐτόν (H τὸν Ἀλέξανδρον) | C -νίλης, A Φαρκον., H Φαλκωνίλλα | AB om μου: H ἴδε | AH πένθ. μοι ἐπὶ (H μοι πένθ. εἰς) τὴν οἰκίαν, B ἐπὶ τὴν οἰκίαν μου πένθος | οὔτε prius: C οὐ | H sic: οὐκ ἀνήρ, χήρα γάρ εἰμι· οὐ τέκνον, ἀπέθ. γάρ. | CH Ὁ θε. Θέ. τοῦ τέκνου μου, βοήθ. Θέκλαν (A αὐτήν, H τῇ Θέκλῃ et add ἐν τῇ ὥρᾳ ταύτῃ τῆς ἀνάγκης)

31. Εὐθέως δέ cum C: ABH Καί | ἄκτον cum C; D *stratorem suum*; ABH στρατιώτας | ABH om Θέκλα | λαβομένη usque εἶπεν cum C(D): AB (similiter H) οὐκ ἀπέστη, ἀλλὰ αὐτὴ λαβ. τῆς χ. αὐτῆς ἀνήγαγεν λέγουσα | A θυγατέραν | C -νίλαν, A Φαρκον. | AB εἰς τὸ μνῆμα | H τέκνον μου Θέκλα | AB εἰς τὸ θηριομαχεῖν, H εἰς θηριομαχείαν | πικρῶς: AB add καὶ ἐστέναξεν πρὸς κύριον | H sic: καὶ ἐβόησεν Θέκλα πρὸς κύριον καὶ ἔκλαυσεν πικρῶς, στενάζουσα πικρῶς καὶ λέγουσα | AB om Κύριε | ᾧ cum ABD; CH εἰς ὃν | CH κατέφυγον | H ἐκ τοῦ πυρός | ἀπόδος (D *redde*): G δός | B τὸν μισθόν, H μισθ. ἀγαθόν | AB τῇ δούλῃ | συμπαθησάσῃ cum ABH (H sic: τῇ Τρυφένῃ

Digitized by Google

σάσῃ, καὶ ὅτι ἁγνήν με ἐτήρησεν. [32] Θόρυβος οὖν ἐγένετο καὶ βοὴ τοῦ δήμου καὶ τῶν γυναικῶν ὁμοῦ καθεσθεισῶν, τῶν μὲν λεγόντων Τὴν ἱερόσυλον εἰσάγαγε· τῶν δὲ λεγουσῶν Ἀρθήτω ἡ πόλις ἐπὶ τῇ ἀνομίᾳ ταύτῃ· αἶρε πάσας ἡμᾶς, ἀνθύπατε· πικρὸν θέαμα, κακὴ κρίσις.

[33] Ἡ δὲ Θέκλα ἐκ χειρὸς Τρυφαίνης ληφθεῖσα ἐξεδύθη καὶ ἔλαβεν διαζώστραν καὶ ἐβλήθη εἰς τὸ στάδιον. καὶ ἀπελύθησαν ἐπ' αὐτὴν λέοντες καὶ ἄρκοι καὶ πικρὰ λέαινα. ἡ δὲ λέαινα προσδραμοῦσα εἰς τοὺς πόδας αὐτῆς ἀνεκλίθη· ὁ δὲ ὄχλος τῶν γυναικῶν ἐβόησεν μέγα. καὶ ἔδραμεν ἐπ' αὐτὴν ἄρκος· ἡ δὲ λέαινα ἀπαντήσασα τῇ ἄρκῳ διέρρηξεν αὐτήν. καὶ πάλιν ἔδραμεν ἐπ' αὐτὴν λέων δεδιδαγμένος ἐπ' ἀνθρώπους, ὃς ἦν Ἀλεξάνδρου· καὶ συνπλέξασα μετὰ τοῦ λέοντος συνανῃρέθη. πλείονα δὲ ἐπένθησαν αἱ γυναῖκες, ἐπειδὴ καὶ ἡ βοηθὸς αὐτῆς λέαινα ἀπέθανεν.

[34] Τότε εἰσβάλλουσιν πολλὰ θηρία, ἑστῶσης αὐτῆς καὶ ἐκτεινάσης τὰς χεῖρας καὶ προσευχομένης. ὡς δὲ ἐτέλεσεν τὴν προσ-

---

τῇ εἰς τὴν δούλην σου συνπαθησάσῃ), C -θήσασαν: praeterea A add με, B μοι | ὅτι ἁγν. με cum CD; AB ὅτι (A ὃν) με ἁγν. (H ὅτι με ἐφύλαξεν ἁγνήν)

32. ἐγένετο cum CH (sed add καὶ τάραχος); AB (similiter D) ἦν πικρὸς (B π. ἦν) ἦχος (A ἦχων) τε καὶ πάταγος τῶν θηρίων | βοή cum CH (praem πικρά) D: AB βοαί | λεγόντων: B λεγουσῶν, et AB om λεγουσῶν | AB εἰσαγάγετε, H ἄγαγε | τῇ ἀνομίᾳ cum BCG; A τὴν ἀνομίαν | ἡμᾶς ἀνθύπ. cum CGD; AB ἀνθ. ἡμ.

33. δέ cum BGD; AC om | G ἐξεδύθη γυμνή | διαζώστραν cum AB; C διάζωστρον; G διάζωμα | ἀπελύθ. cum CG (G ἀπ. ἐπ' ἀ. post ἄρκοι), ἐπ' αὐτήν cum ABG, C ἐπ' αὐτῇ. AB ἐβλήθησαν ἐπ' αὐτ. post ἄρκοι | B ἄρκτοι et ἄρκτος | ABG (antea habet ἡ πικρά) (D) om ἡ δὲ λέαινα | προσδραμ. (C δραμ.) εἰς (C πρὸς) τ. π. α. cum ABC; G εἰσδραμ. ἐπ' αὐτήν | ἀνεκλίθη: AB ἀνεκλήθη, C ἀνεκκλήθη | ἐβό. μέγ. cum AB(D), G ἀνεβόησεν, C ἐξίστατο | ἀπαντήσασα τῇ ἄρκ. (B αὐτῇ) διέρρ. (C ἀνέρρ.) αὐτήν cum BC; AG ὑπήντησεν καὶ διέρρ. τὴν ἄρκον (G αὐτήν) | ἔδραμεν ἐπ' αὐτήν h. l. cum C; reliqui post Ἀλεξάνδρου | δεδιδαγμ. (G δεδιδειγμ.): C praem ὃς ἦν | ἐπ' ἀνθρ. cum AB; G τρώγειν τοὺς ἀνθρ.; C ἐπὶ ὀρνούς | G ὃς καὶ ἦν καὶ τοῦ Ἀλ. | καὶ συνπλέξ. (συνπλ. cum AB; CG συμπλ.) με. τ. λε. cum C: ABG καὶ ἡ λέαινα σ. τῷ λέοντι | G συνανῃρ. αὐτῷ | πλείονα cum C; reliqui μειζόνως | ἐπειδή cum ABG. C ὅτι (D quia) | ἡ βοηθός cum CG, AB ἡ βοηθοῦσα, et BG αὐτῇ pro αὐτῆς

34. AB πολλὰ εἰσβάλλ. (G βάλλουσι) θηρ. | ἑστώσ. αὐτῆς (G τῆς Θέκλης) κ. ἐκτειν. (G ἐκτετακυίας) τ. χ. (G add αὐτῆς εἰς τὸν οὐρανόν) κ. προσευχ. cum CG; AB ἔστη οὖν καὶ ἐκτείνασα (B add εἰς τὸν οὐρανόν) τὰς χ. προσηύχετο πρὸς

ευχήν, στραφεῖσα εἶδεν ὄρυγμα μεστὸν ὕδατος, καὶ εἶπεν Νῦν καιρὸς τοῦ λούσασθαί με. καὶ ἀνέβαλεν αὐτὴν λέγουσα Ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ὑστέρᾳ ἡμέρᾳ βαπτίζομαι. καὶ ἰδοῦσαι αἱ γυναῖκες καὶ ὁ ὄχλος ἔκλαυσαν λέγοντες Μὴ βάλῃς ἑαυτὴν εἰς τὸ ὕδωρ, ὥστε καὶ τὸν ἡγεμόνα δακρῦσαι, ὅτι τοιοῦτον κάλλος ἔμελλον φῶκαι ἐσθίειν. ἡ μὲν οὖν ἔβαλεν ἑαυτὴν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ· αἱ δὲ φῶκαι πυρὸς ἀστραπῆς φέγγος ἰδοῦσαι νεκραὶ ἐπέπλευσαν. καὶ ἦν περὶ αὐτήν, ὡς ἦν γυμνή, νεφέλη πυρός, ὥστε μὴ ἅπτεσθαι αὐτῆς μηδὲ τὰ θηρία, μήτε δὲ θεωρεῖσθαι γυμνήν.

35 Αἱ δὲ γυναῖκες ἄλλων θηρίων βαλλομένων ὠλόλυξαν, καὶ αἱ μὲν ἔβαλλον φύλλον, αἱ δὲ νάρδον, αἱ δὲ κασίαν, αἱ δὲ ἄμωμον, ὡς εἶναι πλῆθος μύρων. πάντα δὲ τὰ βληθέντα θηρία ὥστερ ὕπνῳ συσχεθέντα οὐχ ἥψαντο αὐτῆς· ὡς τὸν Ἀλέξανδρον εἰπεῖν τῷ ἡγεμόνι Ταύρους ἔχω λίαν φοβερούς, τούτοις προσδήσωμεν τὴν θηριομάχον. καὶ στυγνάσας ἐπέτρεψεν ὁ ἡγεμὼν λέγων Ποίει ὃ θέλεις. καὶ ἔδησαν αὐτὴν τῶν ποδῶν μέσην, καὶ ὑπὸ τὰ ἀναγ-

---

κύριον. | B εὐχήν et G add αὐτῆς | στραφεῖσα cum C: ABG ἐστράφη καί | εἶδεν cum AB; CG ἴδεν | μεστόν cum C; G πλῆρες; AB μέγα πλῆρες | AB om τοῦ | ABG ἔβαλεν (G -λλεν) ἑαυτήν (B add αὐτῷ) | B om Ἐπὶ (AG Ἐν) τῷ ὀν. (A add τοῦ κυρίου, G σου κύριέ μου) Ἰησ. Χρ. (G - στέ). D *In nomine patris et filii et spiritus sancti* | ὑστέρᾳ cum ABG. C ὑστεραίᾳ | ἰδοῦσαι αἱ: C ἰδοὺ αἱ | γυναῖκες: AB add τὸ πέρας | C πᾶς ὁ ὄχλ. | ἔκλαυσαν: G ἔκραζον | λέγοντες: AB κράζοντες | C βάλεις | AB σεαυτήν | ὥστε: C ὡς | ἔμελλον (C -λλεν) φῶκ. (AB φ. ἔμ.) ἐσθ.: G αἱ φῶκ. ἤμελλ. κατατρώγειν | G ἡ δὲ Θέκλα ἔβαλεν (AC -λλεν) ἑαυτ. (A αὐτήν) εἰς τὸ ὕδ. (om cum AB; C post Χριστοῦ add) ἐν τ. ὀν. τοῦ κυρίου ἡμῶν Ἰ. Χρ. | G νεκραὶ πᾶσαι | ἐπέπλευσαν cum C. AB ἔπλευσ., G ἀνέπλευσ. | G περὶ τὴν Θέκλαν | G om ὡς ἦν (B ὑπῆρχε) γυμνή | ὥστε etc cum C; ABG ὥστε μήτε (G ὡς μηδὲ) τὰ θηρ. ἅπτεσθ. αὐτ. μήτε θεωρ. (C add αὐτήν) γυμνήν (G γυμν. αὐτ. θεωρ.)

35. G ἄλλων πόλιν θηρ. | C εἰσβαλλομ., G βαλλομ. ἐπ' αὐτήν. Praeterea AB add φοβερωτέρων, G φοβερῶν | ὠλόλυξαν cum C (ὀλώλ.) D (*ululatum dederunt magnum*). ABG ἠλάλαξαν | αἱ μέν et αἱ δέ cum CD. ABG ἡ μέν et ἡ δέ | A ἔβαλλεν, BG ἔβαλεν | G om φύλλ. αἱ δέ | κασίαν cum BC. AG κασσ. | ἄμωμ. cum ABGD: C κινάμωμον | μύρων cum ABG. C εὐωδίας | πάντα usque θηρία cum CG: A ταῦτα δὲ πάντα βληθέντα, B πάντα δὲ ταῦτα βληθ. τὰ θηρ. | G ὡς | συσχεθ. cum C. G κατεχόμενα. AB κατεσχέθησαν (B -έθη) καί | G ὥστε τόν | Ταύρ. ἔ. λ. φ. cum CGD: AB Φοβ. ταύρ. ἔχ. | τούτοις cum C. G ἐκείνοις. AB κἀκείνων τοῖς ποσίν | C προσδήσομεν | τὴν θηριομ. cum C. Reliqui αὐτήν | καὶ στυγν. ἐπέτρ. ὁ ἡγ. λέγ. (G στ. ὁ ἡγ. εἶπεν τῷ Ἀλεξ) Ποί. ὃ θ. cum CGD: AB om | ἔδησ. αὐτ. τ. π. μ. cum C: G

καῖα τῶν ταύρων πεπυρωμένα σίδηρα ὑπέθηκαν ἵνα πλείονα ταραχθέντα ἀποκτείνωσιν αὐτήν. οἱ μὲν οὖν ἤλλοντο· ἡ δὲ περικαιομένη φλὸξ διέκαυσεν τοὺς κάλους, καὶ ἦν ὥσπερ οὐ δεδεμένη. [36] Ἡ δὲ Τρύφαινα ὀλιγόρησεν ἑστῶσα παρὰ τὴν ἀρήναν, ὡς εἰπεῖν τὸν ὄχλον Ἀπέθανεν ἡ βασίλισσα Τρύφαινα. καὶ ἐπέσχεν ὁ ἡγεμών, καὶ ἡ πόλις ἐπτύρη· ὁ δὲ Ἀλέξανδρος παρεκάλει τὸν ἡγεμόνα λέγων Ἐλέησον κἀμὲ καὶ τὴν πόλιν, καὶ ἀπόλυσον ταύτην· ταῦτα γὰρ ἐὰν ἀκούσῃ ὁ Καῖσαρ, τάχα ἀπολέσει σὺν ἡμῖν καὶ τὴν πόλιν· διότι καὶ ἡ συγγενὴς αὐτοῦ Τρύφαινα ἡ βασίλισσα ἀπέθανεν παρὰ τοὺς ἄβακας.

[37] Καὶ ἐκάλεσεν ὁ ἡγεμὼν ἐκ μέσου τῶν θηρίων τὴν Θέκλαν καὶ εἶπεν αὐτῇ Τίς εἶ σύ; καὶ τίνα τὰ περὶ σέ, ὅτι οὐδέν σου ἅπτεται τῶν θηρίων; ἡ δὲ εἶπεν Ἐγὼ μέν εἰμι θεοῦ τοῦ ζῶντος δούλη· τὰ δὲ περὶ ἐμέ, εἰς ὃν εὐδόκησεν ὁ θεὸς υἱὸν αὐτοῦ ἐπίστευσα· διὰ τοῦτο οὐδὲ ἓν τῶν θηρίων ἥψατό μου. οὗτος γὰρ μόνος σωτηρίας ὅρος καὶ ζωῆς ἀθανάτου ὑπόστασίς ἐστιν· χει-

---

ἔδ. τὴν Θέκλαν ἐκ τῶν ποδῶν μέσον τῶν ταύρων: AB προσέδησαν τοῖς ταύροις | τῶν ταύρων: AB αὐτῶν | C σίδ. πεπυρ. | πλείονα (G ἐπὶ πλέον) ταραχθέντα (G -ντες οἱ ταῦροι): AB ὀργισθέντα | G σύρωσι καὶ ἀποκτείνωσι | αὐτήν: AB τὴν δέσμιον, G τὴν δέσμιον Θέκλαν | G οἱ μὲν οὖν τύραννοι (lege ταῦροι) ἤλλ. βοῶντες φοβερόν | ἡ δὲ περικαιομ. φλ. (C ἡ δὲ φλ. ἡ περικειμένη) διέκ. (B ἔκαυσ.) τ. κάλους: G τῆς δὲ Θέκλας κατέκαυσε ἡ φλὸξ τὰ περικείμενα μέλη τῶν ταύρων | ὥσπερ cum C. Reliqui ὡς | δεδεμένη: G add εἰς τὸ στάδιον

36. ὀλιγόρησεν cum C. ABG ἐξέψυξεν | G (om ἑστῶσα) παρὰ τοὺς ἄβακας | ὡς εἰπ. τ. ὄχλ. (AB ὥστε τὰς θεραπαινίδας εἰπ.) usque καὶ ἐπέσχ. (C ἐπέσχ. οὖν) ὁ ἡγ. κ. ἡ π. ἐπτύρη (A ἐπτύρθη): G καὶ πᾶσα ἡ πόλις ἐφοβήθη σφόδρα. | ὁ δὲ Ἀλ. (G add φοβηθείς) παρεκ. (G ἠρώτησεν) τ. ἡγ. λέγων cum ABG. C καὶ ὁ Ἀλ. πεσὼν εἰς τοὺς πόδας τοῦ ἡγεμόνος εἶπεν (B add καὶ προσπίπτων αὐτῷ) | G Δέομαί σου, ἐλέησον καὶ μέ | ταύτην cum C: ABG τὴν θηριομάχον et G add μήποτε καὶ ἡ πόλις σὺν σοὶ καὶ ἐμοὶ ἀπόληται, et om postea σὺν ἡμῖν καί | G ὅτι Τρύφ. ἡ βασίλ. κ. συγγ. αὐτοῦ παρὰ τ. ἀβ. (B ἄββακας) ἀπέθανεν: pro his C ὅτι ἡ συγγ. αὐτ. Τρύφ. ἀπέθ. παρὰ τὴν ἀρήναν post ὁ Καῖσαρ add omisso τάχα

37. Καὶ ἐκάλεσεν cum ABG: C Προσκαλεσάμενος δέ omisso καί sq. | G τὴν (B om, C add ἁγίαν) Θέκλ. ante ἐκ pon | αὐτῇ (B om): G πρὸς αὐτήν | AB om σύ | καὶ (AB ἤ) τίνα (C τί) | οὐδέν usque θηρίων cum C. ABG οὐδὲ ἓν τῶν θηρ. ἥψατό σου | ἡ δὲ εἶπ. cum AB; CG καὶ εἶπ. (G ἀπεκρίθη αὐτῷ) Θέκλα | θεοῦ (A τοῦ θε.) τ. ζ. δούλη cum ABG (sed G δούλη antea pro μέν); C δούλη τοῦ θε. τοῦ ὑψίστου | τὰ δέ: B καὶ τά | εἰς ὅν: B ὡς | C ηὐδόκησεν | υἱόν cum CG; AB praem εἰς τόν | G υἱ. αὐτ. Ἰησοῦν Χριστόν | διά usque μου ex C. ABG διό (A δι' ὅ, G δι' ὅν) οὐδὲ ἕν μου ἅπτεται (G ἥψατό μου) τῶν θηρ. | οὗτος: AB αὐτός | G ἐστὶν σωτ. αἰωνίου ὁδὸς κ. ζ. ἀθ. ὑπ. |

Digitized by Google

μαζομένοις γὰρ γίνεται καταφυγή, θλιβομένοις ἄνεσις, ἀπελπισμένων σκέπη, καὶ ἁπαξαπλῶς ὃς ἐὰν μὴ πιστεύσῃ εἰς αὐτόν, οὐ ζήσεται εἰς τοὺς αἰῶνας.

[38] Καὶ ταῦτα ἀκούσας ὁ ἡγεμὼν ἐκέλευσεν ἐνεχθῆναι ἱμάτια καὶ ἐνδύσασθαι αὐτήν. καὶ εἶπεν Θέκλα Ὁ ἐνδύσας με γυμνὴν ἐν τοῖς θηρίοις, αὐτὸς ἐν ἡμέρᾳ κρίσεως ἐνδύσει σε σωτηρίαν· καὶ λαβοῦσα τὰ ἱμάτια ἐνεδύσατο. ἐξέπεμψεν οὖν εὐθέως ὁ ἡγεμὼν ἄκτον λέγων Θέκλαν τὴν θεοσεβῆ τὴν τοῦ θεοῦ δούλην ἀπολύω ὑμῖν. αἱ δὲ γυναῖκες μέγα ὠλόλυξαν καὶ ἑνὶ στόματι ἀπέδωκαν αἶνον τῷ θεῷ λέγουσαι Εἷς θεὸς ὁ Θέκλης, ὥστε ἀπὸ τῆς φωνῆς σαλευθῆναι τὰ θεμέλια τοῦ θεάτρου. [39] Ἡ δὲ Τρύφαινα εὐαγγελισθεῖσα ἀπήντησε τῇ ἁγίᾳ Θέκλῃ καὶ εἶπεν Νῦν πιστεύω ὅτι νεκροὶ ἐγείρονται· νῦν πιστεύω ὅτι τὸ τέκνον μου ζῇ· δεῦρο ἔσω, καὶ τὰ ἐμὰ πάντα σοὶ καταγράψω. ἡ μὲν οὖν εἰσῆλθεν μετ' αὐτῆς καὶ ἀνεπαύσατο ἡμέρας ὀκτώ, κατηχήσασα αὐτὴν τὸν λόγον τοῦ θεοῦ, ὥστε πιστεῦσαι καὶ τῶν παιδισκῶν τὰς πλείονας· καὶ μεγάλη χαρὰ ἐν τῷ οἴκῳ ἦν.

AB om γάρ | ἀπελπισμένων cum BC. AG -μένοις (G ἀπηλπ.) | G ἐλπὶς καὶ σκέπη | μὴ πιστεύσῃ (G -σει) et οὐ cum CGD: AB πιστεύσας (B -σῃ) et sine οὐ | G οὐ ζήσεται ἀλλὰ ἀποθανεῖται εἰς τοὺς αἰῶνας

38. G om Καί | G ἱμ. ἐνεχθ. καὶ εἶπεν αὐτῇ Ἔνδυσαι τὰ ἱμάτια. ἡ δὲ Θέκλα (C κ. εἶπ. ἡ ἁγία Θ.) εἶπεν | αὐτός (AB οὗτος): G praem Θεός | G ἐνδύσῃ | ἐξέπεμψ. (cum BG; AC ἔπεμψ.) οὖν usque ἄκτον cum C. G καὶ ἐξέπ. ταχέως ἄκτ. ὁ ἡγ.; AB ὁ δὲ ἡγεμ. ταχέως ἔπεμψ. (B ἐξέπ.) σάκραν (A om) | λέγων: G γράψας οὕτως | Θέ. usque δούλην cum CG (sed G om τ. Θεοσ.): AB Θέ. τὴν τοῦ Θε. δούλ., Θέκλαν τὴν Θεοσεβεστάτην | αἱ δὲ γυν. μ. ὠλόλ. (B ὁλόλ.) usque λέγουσαι cum AB: G καὶ αἱ γυν. ὁμοῦ πᾶσαι ἔκραξαν φωνῇ μεγάλῃ καὶ ὑφ' ἓν στόμα ἔδωκαν τῷ Θεῷ αἴνεσιν λέγ., C αἱ δὲ γυν. καὶ πᾶς ὁ ὄχλος ὡς ἐξ ἑνὸς στόματος αἶνον ἔδωκαν τῷ Θ. λέγοντες, D *Tunc universae mulieres quae venerant ad spectaculum dederunt laudem deo dicentes.* | Εἷς: AB add ὁ | ὁ Θέκλης cum C. AB ὁ Θέκλαν σώσας, G ὁ τῆς Θέκλης, εἷς Θεὸς ὁ σώσας Θέκλαν | ἀπό: AB ἐκ | σαλ. τὰ Θ. τ. Θ. cum C. ABG σεισθῆναι (G add πᾶσαν) τὴν πόλιν

39. Ἡ δέ usque εἶπεν cum C. ABG (cum antecedentibus connectentes) καὶ τὴν Τρύφαιναν εὐαγγελισθεῖσαν (G add ἀναστῆναι,) ἀπαντῆσαι μετὰ ὄχλου καὶ περιπλακῆναι τῇ Θέκλῃ (A -κλᾳ) καὶ εἰπεῖν (G add αὐτῇ) | AB om νεκρ. ἐγ. ν. π. ὅτι | G δεῦρο τὸ τέκνον μου Θέκλα ἔσω εἰς τὸν οἰκόν μου | G πάντα τὰ ἐμά | σοὶ (C σὰ) καταγρ. cum CG (D *tibi consecrabo*): AB σοὶ καταλείψω | ἡ μὲν οὖν cum AB; CG ἡ δὲ ἁγία (G om) Θέκλα | G ἀπῆλθεν μετὰ τῆς Τρυφαίνης κ. ἀνεπαύσ. (C add ἐν τῷ οἴκῳ αὐτῆς) σὺν αὐτῇ ἡμέρ. ὀλίγας | κατηχήσασα cum AC, G διδάσκουσα, B κατήχησε δὲ καὶ | αὐτήν: B αὐτῇ, C πάντας τοὺς ἐν τῇ οἰκίᾳ | C om τ. λόγ. τ. Θεοῦ (G κυρίου) | καὶ τῶν: C om καί | G καὶ εἶναι μεγάλην χαρὰν ἐν τῷ οἴκῳ Τρυφαίνης | C ἦν ἐν τ. οἴκ. αὐτῆς

Digitized by Google

40 Ἡ δὲ Θέκλα Παῦλον ἐζήτει, καὶ ἐμηνύθη αὐτῇ ὅτι ἐστὶν ἐν Μύροις τῆς Λυκίας· καὶ λαβομένη νεανίσκους καὶ παιδίσκας ἀνεζώσατο, καὶ ῥάψασα τὸν χιτῶνα εἰς ἐπενδύτην ἀνδρικὸν ἀπῆλθεν ἐν Μύροις, καὶ εὗρεν τὸν Παῦλον λαλοῦντα τὸν λόγον τοῦ θεοῦ. ἐθαμβήθη δὲ Παῦλος ἰδὼν αὐτὴν καὶ τὸν ὄχλον τὸν μετ' αὐτῆς, λογιζόμενος μή τις αὐτῇ πειρασμὸς πάρεστιν ἕτερος. ἡ δὲ συνιδοῦσα εἶπεν Ἔλαβον τὸ λοῦτρον, Παῦλε· ὁ γὰρ σοὶ συνεργήσας εἰς τὸ εὐαγγέλιον κἀμοὶ συνήργησεν εἰς τὸ λούσασθαι. 41 Καὶ λαβόμενος ὁ Παῦλος αὐτὴν ἀπήγαγεν εἰς τὸν οἶκον Ἑρμαίου καὶ πάντα ἀκούει παρ' αὐτῆς, ὥστε ἐπὶ πολὺ θαυμάζειν τοὺς ἀκούοντας καὶ στηριχθῆναι καὶ προσεύξασθαι ὑπὲρ τῆς Τρυφαίνης. καὶ ἀναστᾶσα εἶπεν Πορεύομαι εἰς Ἰκόνιον. ὁ δὲ Παῦλος εἶπεν Ὕπαγε καὶ δίδασκε τὸν λόγον τοῦ θεοῦ. ἡ δὲ Τρύφαινα πολὺν ἱματισμὸν καὶ χρυσὸν ἔπεμψεν αὐτῇ, ὥστε καταλιπεῖν τῷ Παύλῳ πολλὰ εἰς διακονίαν τῶν πτωχῶν.

42 Αὐτὴ δὲ ἀπῆλθεν εἰς Ἰκόνιον. καὶ εἰσέρχεται εἰς τὸν

---

40. Θέκλα: C praem ἁγία | ἐζήτει cum C: ABG ἐπεπόθει καὶ ἐζήτει αὐτὸν περιπέμπουσα (G πομπεύουσα πανταχοῦ) | ὅτι ἐστὶν etc cum C: AB εἶναι αὐτόν et om τῆς Λυκίας: G ἐν Μύρ. εἶναι τῆς Λυκ. | κ. λαβομένη (AB λαβοῦσα) usque ἀνεζώσατο (AB ἀναζωσαμένη): G ἀναζωσαμένη τε | ῥάψασα cum CG: A ῥίψασα, B στρέψασα | C om τόν | εἰς ἐπ. ἀνδρ. cum C: G εἰς ἐπενδύτου σχῆμα ἀνδρικόν: AB εἰς ἐπενδύτην, σχῆμα ποιήσασα ἀνδρικόν | G ἀπίει πρὸς αὐτὸν εἰς Μύραν (A εἰς Μύρα, B εἰς τὰ Μύρα) τῆς Λυκίας | C om τόν | λαλ. τ. λ. τ. θε. cum CG: AB τὸν λόγ. κηρύσσοντα. Praeterea ABG add καὶ ἐπέστη (G παρέστη) αὐτῷ (G add ἀθρόως). | ABG ὁ δὲ (G add Παῦλ.) ἐθαμβ. | G βλέπων αὐτήν | AB τὸν μετ' αὐτ. ὄχλ. | λογιζόμενος cum C. ABG -σάμενος. Praeterea C add ἐν ἑαυτῷ | μή τις (G om) αὐτῇ (CG om) πειρ. (C add αὐτῷ) πάρεστιν (C πάρεστη, G ἐστιν) ἕτερ. | συνιδοῦσα cum AB: C ἁγία Θέκλα, G Θέκ. συνῆκεν καί | εἶπεν (G λέγει): CG add αὐτῷ | σοὶ (A σέ, C post συνεργ.) συνεργ. (G ἐνηργήσας) εἰς (G om) τὸ εὐ. κἀμοὶ (A κἀμέ, B καὶ ἐμοί, G καὶ μοί)

41. C om ὁ | αὐτήν cum ABD, G αὐτῆς: C τῆς χειρός αὐτῆς | ἀπήγαγεν cum CG. AB ἀπήνεγκεν. C add αὐτήν | Ἑρμαίου: G Ἑρμέως, D *Hermetis* | καὶ πάντα ἀκ. π. αὐτῆς: G καὶ διηγήσατο Παύλῳ ἡ Θέκλα πάντα τὰ συμβεβηκότα αὐτῇ ἐν Ἀντιοχείᾳ | ὥστε: B ὡς | θαυμάζειν cum C. ABG θαυμάσαι τὸν Παῦλον καί | G πάντας τοὺς ἀκ. | ABG om καὶ ante στηριχθ. | G προσεύξ. τῇ Τρυφαίνῃ | εἶπεν cum AB: C praem ἡ ἁγία Θέκλα, G Θέκλα, et CG add τῷ Παύλῳ | G εἶπεν αὐτῇ Πορεύου καὶ δίδασκε | C Ὕπαγε τέκνον | ἡ δέ: ABG ἡ μὲν οὖν | G χρυσ. κ. ἱματισμ. | ἔπεμψεν usque πολλά cum AB: C ἔδωκεν τῇ ἁγίᾳ Θέκλῃ, ἡ δὲ ἁγία Θέκλα κατέλειπεν αὐτὰ τῷ Παύλῳ: G ἔπεμψ. διὰ τῆς Θέκλας τῷ Παύλῳ

42. Αὐτὴ δέ: G Ἡ δὲ Θέκλα | G εἰς τὸ Ἰκόνιον | C καὶ εἰσῆλθεν | G

Digitized by Google

Ὀνησιφόρου οἶκον, καὶ ἔπεσεν εἰς τὸ ἔδαφος ὅπου Παῦλος καθεζόμενος ἐδίδασκεν, καὶ ἔκλαιεν λέγουσα Ὁ θεὸς μοῦ καὶ τοῦ οἴκου τούτου, ὅπου μοι τὸ φῶς ἔλαμψας, Χριστὲ Ἰησοῦ ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἐμοὶ βοηθὸς ἐν πυρί, βοηθὸς ἐν θηρίοις, αὐτὸς ὑπάρχεις δεδοξασμένος εἰς τοὺς αἰῶνας, ἀμήν. [43] Καὶ εὗρεν τὸν Θάμυριν τεθνεῶτα, τὴν δὲ μητέρα ζῶσαν· καὶ προσκαλεσαμένη τὴν μητέρα αὐτῆς εἶπεν Θεοκλεία μῆτερ, δύνασαι πιστεῦσαι ὅτι ζῇ κύριος ἐν οὐρανοῖς; εἴτε γὰρ χρήματα ποθεῖς, δίδωσίν σοι δι' ἐμοῦ ὁ θεός· εἴτε τὸ τέκνον, παρέστηκά σοι. καὶ ταῦτα διαμαρτυραμένη ἀπῆλθεν εἰς Σελεύκειαν, καὶ ᾤκησεν ἐν σπηλαίῳ χρόνους ἑβδομήκοντα δύο, ἐσθίουσα βοτάνας καὶ ὕδωρ, καὶ πολλοὺς ἐφώτισεν τῷ λόγῳ τοῦ θεοῦ.

ε. τὸν οἰκ. τοῦ Ὀνησ. | ὅπου: A ἔνθα | G ὁ Παῦλ. | A ἐδίδ. καθεζόμ., B ἐκαθέζετο διδάσκων et C add τὰ λόγια τοῦ θεοῦ | C καὶ πάλιν ἔκλαιεν πικρῶς λέγ., G καὶ μετὰ κλαυθμοῦ προσηύξατο εὐχαριστοῦσα καὶ ἐξομολογουμένη τῷ θεῷ καὶ λέγουσα | AB Ὁ θε. ἡμῶν καὶ τοῦ, G Κύριε ὁ θε. τοῦ | G τὸ φ. αὐτοῦ | ἔλαμψας Χρ. Ἰ. (B Ἰ. Χρ.) cum BC. AG ἔλαμψεν Ἰησοῦς (A add Χριστός) | ὁ υἱ. usque ζῶντ. cum CG: AB om | βοηθὸς ἐν πυρί cum AB. C βο. ἐν φυλακῇ, βοηθὸς ἐπὶ ἡγεμῶσιν (sic), G βο. ἐπὶ ἡγεμόνων, βο. ἐν πυρί | αὐτ. ὑπαρχ. δεδοξ. cum B: A ὅτι αὐτός ἐστιν ὁ θεός, ᾧ ἡ δόξα: G ὅτι αὐτὸς εἷ μόνος θεός: C βοηθὸς ἐν πᾶσι, σοὶ πρέπει ἡ δόξα | G εἰς τ. αἰ. τῶν αἰώνων, ἀμ.

43. B Εὗρε δέ | C τ. Θάμ. μέν | G τεθνηκότα, τ. δὲ μητ. αὐτῆς | προσκ. τ. μητ. αὐτ. (G τ. ἑαυτῆς μητ.) εἶπ. (G add πρὸς αὐτήν) Θε. μῆτ. (G add ἐμή, A om Θε. μ.) cum ABG: C λέγει ἡ ἁγία Θέκλα τῇ μητρὶ αὐτῆς Θεοκλείᾳ Μῆτερ | ζῇ κύριος cum C; AB add ὁ θεός: G ἔστι θεὸς κύριος ζῶν | οὐρανοῖς cum ABGD: C -νῷ | ποθεῖς (-ῆς) cum CG. AB ἐπιποθ. et C add εἴτ' οὖν ἐπιποθῇς | δίδωσιν cum AB. C δώῃ, G δώσει | δι' ἐμ. ὁ θε. cum ABG: C κύριος δι' ἐμ. | τό: AB om | τέκνον: B -κνου, G add σου, ἰδού (ecce addit etiam D) | C διαμαρτυρουμένη | AC Σελεύκιαν (A -ίαν) | ὕδωρ: A add ποιοῦσα, B πίνουσα | B om τοῦ | Pro καὶ ταῦτα usque τ. θεοῦ G sic habet: καὶ ταῦτα καὶ ἕτερα πολλὰ διεμαρτύρατο καὶ παρεκάλει αὐτήν· ἡ δὲ μήτηρ αὐτῆς Θεοκλία οὐκ ἐπίστευσε τοῖς λεγομένοις αὐτῇ ὑπὸ τῆς μάρτυρος Θέκλης. ἡ δὲ Θέκλα ἰδοῦσα ὅτι οὐκ ὠφελεῖ, κατασφραγισαμένη ὅλον τὸ σῶμα αὐτῆς ἐξῆλθε τὴν πύλην, καὶ ἔρχεται εἰς Δάφνην· καὶ εἰσελθοῦσα εἰς τὸ μνημεῖον ὅπου ὁ Παῦλος μετὰ Ὀνησιφόρου εὑρέθη, προσπεσοῦσα ἔκλαυσεν ἐκεῖ τῷ θεῷ. καὶ ἐξελθοῦσα πάλιν ἔρχεται ἐπὶ τὴν Σελεύκιαν, πολλοὺς φωτίζουσα τῷ λόγῳ τοῦ Χριστοῦ. D vero sic: *Haec autem testificante Thecla, mater quae seculum amabat non se convertit ad illam. Illa vero quae solum deum diligebat, quod ipse erat ei pater et mater, ipsius praecepta servabat, dicens Qui diligunt seculum istud, non videbunt deum patrem neque filium eius Iesum Christum dominum nostrum. Et haec locuta profecta est Seleuciam, et multos illuminavit ibi, et requievit in bona pace.* His verbis exit codicis Digbaeani versio. Quae vero ex codice Barocciano Grabius addidit, graviter ab iis differunt quae ex codd. Parisiensibus ipsi exhibuimus sectionibus 44 et 45. Ea vide infra.

Digitized by Google

44 Τινὲς δὲ τῆς πόλεως Ἕλληνες ὄντες τὴν θρησκείαν, ἰατροὶ δὲ τὴν τέχνην, ἀπέστειλαν πρὸς αὐτὴν ἄνδρας νεωτέρους σοβαροὺς ἐπὶ τὸ φθεῖραι αὐτήν· ἔλεγον γὰρ ὅτι τῇ Ἀρτέμιδι δουλεύει παρθένος οὖσα, καὶ ἐκ τούτου ἰσχύει πρὸς τὰς ἰάσεις. προνοίᾳ δὲ θεοῦ εἰσῆλθεν ἐν τῇ πέτρᾳ ζῶσα, καὶ τὴν γῆν ὑπέβη. καὶ ἀπῆλθεν ἐν τῇ Ῥώμῃ θεάσασθαι τὸν Παῦλον, καὶ εὗρεν αὐτὸν κοιμηθέντα. μείνασα δὲ ἐκεῖ χρόνον οὐ πολύν, μετὰ καλοῦ ὕπνου ἐκοιμήθη· καὶ θάπτεται ὡς ἀπὸ δύο ἢ τριῶν σταδίων τοῦ μνήματος τοῦ διδασκάλου Παύλου.

45 Ἐβλήθη μὲν οὖν εἰς τὸ πῦρ χρόνων οὖσα ἑπτὰ καὶ δέκα, καὶ εἰς τοὺς θῆρας χρόνων ὀκτὼ καὶ δέκα, καὶ ἤσκησεν ἐν τῷ σπηλαίῳ ὡς εἴρηται χρόνους ἑβδομήκοντα δύο, ὡς εἶναι τὰ πάντα ἔτη τῆς ζωῆς αὐτῆς ἐνενήκοντα. πάμπολλα δὲ ἰάματα τελέσασα ἀναπαύεται εἰς τὸν τόπον τῶν ἁγίων, κοιμηθεῖσα τῇ εἰκάδι τετάρτῃ τοῦ Σεπτεμβρίου μηνὸς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

44. πόλεως: C add Σελευκίας | C τῇ τέχνῃ | ἰάσεις: B Θεραπείας | ἀπῆλθεν: A ἦλθεν | AB om τῇ | A om τόν | A χρόν. οὐ μέγιστον | B σταδίων δύο ἢ τρ. τ. μν. Παύλ. τοῦ διδ. αὐτῆς

45. μὲν οὖν: AB δέ | AB om οὖσα | C om κ. εἰς τ. θῆρ. χρ. ὀ. κ. δέκα | ὡς εἶναι cum B: AC ὡς (C ὥστε) γίνεσθαι (C γενέσθ.) | AC τῆς ἐνθέου ζωῆς | ἐνενήκοντα cum A: B praem ἔτη, C χρόνοι | AB om δέ | κοιμηθεῖσα: AB add ἐν εἰρήνῃ | ᾧ ἡ δόξ. κ. τ. κρ. εἰς cum AB: C μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ. τ. αἰ. ἀμήν.

G pro sectt. 44 et 45 haec edidit: Καὶ νεφέλη φωτεινὴ ὡδήγει αὐτήν. καὶ εἰσελθοῦσα ἐν Σελευκίᾳ ἐξῆλθεν ἔξω τῆς πόλεως ἀπὸ ἑνὸς σταδίου· καὶ ἐκείνους δὲ ἐδεδοίκει, ὅτι τὰ εἴδωλα ἐθεράπευον. καὶ ὁδηγὸς γέγονεν αὐτῆς ἐν τῷ ὄρει τῷ λεγομένῳ Καλαμῶνος ἤτοι Ῥοδεῶνος· καὶ εὑροῦσα ἐκεῖ σπήλαιον εἰσῆλθεν αὐτῷ. καὶ ἦν ἐκεῖ ἐπὶ ἔτη ἱκανά, καὶ πολλοὺς καὶ χαλεποὺς πειρασμοὺς ὑπέστη ὑπὸ τοῦ διαβόλου, καὶ ὑπήνεγκεν γενναίως βοηθουμένη ὑπὸ τοῦ Χριστοῦ. μαθοῦσαι δέ τινες τῶν εὐγενίδων γυναικῶν περὶ τῆς παρθένου Θέκλης, ἀπίησαν πρὸς αὐτὴν καὶ ἐμάνθανον τὰ λόγια τοῦ θεοῦ· καὶ πολλαὶ ἐξ αὐτῶν ἀπετάξαντο τῷ βίῳ καὶ συνήσκουν αὐτῇ. καὶ φήμη ἀγαθὴ ἦχθη πανταχοῦ περὶ αὐτῆς, καὶ ἰάσεις ἐγίνοντο ὑπ' αὐτῆς. γνοῦσα οὖν πᾶσα ἡ πόλις καὶ ἡ περίχωρος ἔφερον τοὺς ἀρρώστους αὐτῶν ἐν τῷ ὄρει, καὶ πρινὴ τῇ θύρᾳ προσεγγίσωσι, θᾶττον ἀπηλλάττοντο, οἵῳ δήποτε κατείχοντο νοσήματι, καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα κράζοντα ἐξήρχοντο· καὶ πάντες κατελάμβανον τὰ ἴδια αὐτῶν ὑγιῆ, δοξάζοντες τὸν θεὸν δόντα τοιαύτην χάριν τῇ παρθένῳ Θέκλῃ. οἱ ἰατροὶ οὖν τῆς

πόλεως Σελευκίων ἐξουδενώθησαν, τὴν ἐμπορείαν ἀπολέσαντες, καὶ οὐδεὶς λοιπὸν προσεῖχεν αὐτοῖς· καὶ φθόνου καὶ ζήλου πλησθέντες ἐμηχανοῦντο κατὰ τῆς τοῦ Χριστοῦ δούλης, τὸ τί αὐτῇ ποιήσωσι. Ὑποβάλλει οὖν αὐτοῖς ὁ διάβολος λογισμὸν πονηρόν. καὶ μιᾷ τῶν ἡμερῶν συναχθέντες καὶ συνέδριον ποιήσαντες συμβουλεύονται πρὸς ἀλλήλους λέγοντες Αὕτη ἡ παρθένος ἱερὰ τυγχάνει τῆς μεγάλης θεᾶς Ἀρτέμιδος· καὶ εἴ τι ἂν αἰτήσει αὐτήν, ἀκούει αὐτῆς ὡς παρθένου οὔσης, καὶ φιλοῦσιν αὐτὴν πάντες οἱ θεοί. δεῦτε οὖν λάβωμεν ἄνδρας ἀτάκτους καὶ μεθύσωμεν αὐτοὺς οἴνου πολύν, καὶ δώσωμεν αὐτοῖς χρυσίον πολὺ καὶ εἴπωμεν αὐτοῖς Εἰ δυνηθῆτε φθεῖραι καὶ μιάναι αὐτήν, διδοῦμεν ὑμῖν καὶ ἄλλα χρήματα. ἔλεγον οὖν πρὸς αὐτοὺς οἱ ἰατροὶ ὅτι ἐὰν ἰσχύσουσιν αὐτὴν μιάναι, οὐκ ἀκούουσιν αὐτῆς οἱ θεοὶ οὔτε Ἄρτεμις ἐπὶ τῶν ἀσθενούντων. ἐποίησαν οὖν οὕτως. καὶ ἀπελθόντες οἱ πονηροὶ ἄνδρες ἐπὶ τὸ ὄρος καὶ ἐπιστάντες ὡς λέοντες τῷ σπηλαίῳ ἐπάταξαν τὴν θύραν· ἠνοιξεν δὲ ἡ ἁγία μάρτυς Θέκλα, θαρροῦσα ᾧ ἐπίστευσεν θεῷ· προέγνω γὰρ τὸν δόλον αὐτῶν. καὶ λέγει πρὸς αὐτούς Τί θέλετε, τέκνα; οἱ δὲ εἶπον Τίς ἐστιν ἐνταῦθα λεγομένη Θέκλα; ἡ δὲ εἶπεν Τί αὐτὴν θέλετε; λέγουσιν αὐτῇ ἐκεῖνοι Συγκαθευδῆσαι αὐτῇ θέλομεν. λέγει αὐτοῖς ἡ μακαρία Θέκλα Ἐγὼ ταπεινὴ γραῦς εἰμί, δούλη δὲ τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ· καὶ κἂν τί ποτε δράσαι θέλετε ἄτοπον εἰς ἐμέ, οὐ δύνασθε. λέγουσιν αὐτῇ ἐκεῖνοι Οὐκ ἔστιν δυνατὸν μὴ πρᾶξαι εἰς σὲ ἃ θέλομεν. καὶ ταῦτα εἰπόντες ἐκράτησαν αὐτὴν ἰσχυρῶς, καὶ ἐβούλοντο καθυβρίσαι αὐτήν. ἡ δὲ λέγει αὐτοῖς μετ' ἐπιεικείας Ἀναμείνατε, τέκνα, ἵνα ἴδητε τὴν δόξαν κυρίου. καὶ κρατουμένη ὑπ' αὐτῶν ἀνέβλεψεν εἰς τὸν οὐρανὸν καὶ εἶπεν Ὁ θεὸς ὁ φοβερὸς καὶ ἀνεξικακος καὶ ἔνδοξος τοῖς ὑπεναντίοις, ὁ ῥυσάμενός με ἐκ πυρός, ὁ μὴ παραδώσας με θάμυρι, ὁ μὴ παραδώσας με Ἀλεξάνδρῳ, ὁ ῥυσάμενός με ἐκ θηρίων, ὁ διασώσας με ἐν τῷ βύθῳ, ὁ πανταχοῦ συνεργήσας μοι καὶ δοξάσας τὸ ὄνομά σου ἐν ἐμοί, καὶ τανῦν ῥῦσαί με ἐκ τῶν ἀνόμων ἀνθρώπων τούτων, καὶ μὴ ἐάσῃς με ἐνυβρίσαι τὴν παρθενίαν μου, ἣν διὰ τὸ ὄνομά σου ἐφύλαξα μέχρι τοῦ νῦν, ὅτι σὲ φιλῶ καὶ σὲ ποθῶ καὶ σοὶ προσκυνῶ τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ πνεύματι ἁγίῳ εἰς τοὺς αἰῶνας, ἀμήν. καὶ ἐγένετο φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα Μὴ φοβηθῇς Θέκλα, δούλη μου ἀληθινή, μετὰ σοῦ γάρ εἰμι· ἀπόβλεψον καὶ ἴδε ὅπου ἠνέῳκται ἔμπροσθέν σου, ἐκεῖ γὰρ οἶκος αἰώνιος ἔσται σοι, κἀκεῖ τὴν ἐπισκεψιν δέχῃ. καὶ προσχοῦσα ἡ μακαρία Θέκλα ἶδεν τὴν πέτραν ἀνεῳχθεῖσαν ὅσον χωρεῖ ἄνθρωπον εἰσιέναι, καὶ κατὰ τὸ λεχθὲν αὐτῇ ἐποίησεν, καὶ ἀποφυγοῦσα γενναίως τοὺς ἀνόμους εἰσῆλθεν εἰς τὴν πέτραν· καὶ συνεκλείσθη εὐθὺς ἡ πέτρα, ὥστε μήτε ἁρμὸν φαίνεσθαι. ἐκεῖνοι δὲ θεωροῦντες τὸ παράδοξον θαῦμα ὥσπερ ἐν ἐκστάσει ἐγίνοντο, καὶ οὐκ ἴσχυσαν ἐπισχεῖν τὴν τοῦ θεοῦ δούλην, ἀλλ' ἢ μόνον τοῦ μαφορίου αὐτῆς ἐπελάβοντο καὶ μέρος τι ἠδυνήθησαν ἀποσπάσαι· κἀκεῖνο κατὰ συγχώρησιν θεοῦ πρὸς πίστιν τῶν ὁρώντων τὸν σεβάσμιον τόπον, καὶ εἰς εὐλογίαν ταῖς μετὰ ταῦτα γενεαῖς τοῖς πιστεύουσιν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ καρδίας καθαρᾶς.

Digitized by Google

Ἔπαθεν οὖν ἡ τοῦ θεοῦ πρωτομάρτυς καὶ ἀπόστολος καὶ παρθένος Θέκλα ἡ ἀπὸ τοῦ Ἰκονίου ἐτῶν δέκα ὀκτώ· μετὰ δὲ τῆς ὁδοιπορίας καὶ τῆς περιόδου καὶ τῆς ἀσκήσεως τῆς ἐν τῷ ὄρει ἔζησεν ἔτη ἄλλα ἑβδομήκοντα καὶ δύο· ὅτε δὲ προσελάβετο αὐτὴν ὁ κύριος, ἦν ἐτῶν ἐνενήκοντα. καὶ οὕτως ἡ τελείωσις αὐτῆς γίνεται. Γίνεται δὲ ἡ ὁσία μνήμη αὐτῆς μηνὶ Σεπτεμβρίῳ εἰκάδι τετάρτῃ, εἰς δόξαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΠΕΡΙΟΔΟΙ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΒΑΡΝΑΒΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ.

Ἐπειδήπερ ἀπὸ τῆς καθόδου τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας, τοῦ ἀόκνου καὶ φιλανθρώπου καὶ ἰσχυροῦ καὶ ποιμένος καὶ διδασκάλου καὶ ἰατροῦ, τὸ ἀπόρρητον καὶ ὅσιον καὶ ἄμεμπτον μυστήριον τῶν τὴν ἐλπίδα ὁσίως κατεχόντων καὶ ἐσφραγισμένων Χριστιανῶν ἐθεασάμην καὶ εἶδον ἐγώ, ᾧ καὶ ἐδούλευσα προθύμως, ἀναγκαῖον ᾠήθην ἃ ἤκουσα καὶ εἶδον μυστήρια ἐξηγήσασθαι.

[2] Ἐγὼ Ἰωάννης συνακολουθῶν Βαρνάβᾳ καὶ Παύλῳ τοῖς ἁγίοις ἀποστόλοις, ὑπηρέτης ὢν τὸ πρὶν μὲν Κυρίλλου τοῦ ἀρχιερέως τοῦ Διός, νῦν δὲ χάριν λαβὼν πνεύματος ἁγίου διὰ Παύλου καὶ Βαρνάβα καὶ Σίλα τῶν ἀξίων τῆς κλήσεως, τῶν καὶ βαπτισάντων με ἐν Εἰκονίῳ. [3] Μετὰ οὖν τὸ βαπτισθῆναί με εἶδον ἄνδρα τινὰ ἐφεστῶτα ἐν λευκῇ στολῇ περιβεβλημένον, καὶ εἶπέν μοι Θάρσει, Ἰωάννη· καὶ γὰρ τὸ ὄνομά σου μετονομασθήσεται Μάρκος, καὶ ἡ δόξα σου ἐν ὅλῳ τῷ κόσμῳ κηρυχθήσεται. καὶ

*) Vat τοῦ ἁγίου ἀποστ. Βαρνάβα

1. φιλανθρώπου: Vat εὐσπλάγχνου | Vat om καὶ διδασκάλου | Vat om ᾧ | Vat ᾠήθην καὶ ἃ εἶδ. καὶ ἤκουσα

2. ἐξηγήσασθαι. Ἐγὼ Ἰωάννης: ita Vat; Par Ἐγὼ Ἰωάνν. ἐξηγήσ. | Vat om ἁγίοις | Vat om τοῦ Διός. Sed notat Papebrochius haec: *Sirletus, cuius versionem nobis obtulit Vaticanae codex* 6187, *addit* idolorum, *Mombritiana legenda* nefandissimi templi Iovis. | Vat πνεύμ. ἁγ. λαβὼν διά τε Πέτρου τοῦ ἀποστόλου καὶ Βαρνάβα καὶ Παύλου τῶν | Vat om ἐν Εἰκονίῳ (Εἰκ. codex constanter habet), sed Papebrochius in notis sic habet: *Alibi quam in Mombritio legit Baronius et nos quoque in ms. Ultraiectino invenimus baptizatum Marcum dici in loco qui dicitur Iconium.*

3. οὖν: Vat δέ | εἶδον: Vat add ἐν ὁράματι et om μοι | Vat τὸ ὄν. σου

Digitized by Google

τὸ ἐν σοὶ σκότος παρῆλθεν ἀπὸ σοῦ, καὶ ἐδόθη σοι σύνεσις πρὸς τὸ γνῶναι τὰ μυστήρια τοῦ θεοῦ.

4 Ὡς δὲ τὸ ὅραμα εἶδον, σύντρομος γενόμενος ἀπῆλθον παρὰ τοὺς πόδας Βαρνάβα καὶ ἀπήγγειλα αὐτῷ ἃ εἶδον καὶ ἤκουσα παρὰ τοῦ ἀνδρὸς ἐκείνου μυστήρια. Παῦλος δὲ ὁ ἀπόστολος οὐκ ἦν ἔγγιστα ἡνίκα ἀνεθέμην τὰ μυστήρια. εἶπεν δέ μοι Βαρνάβας Μηδενὶ ἐξείπῃς τὴν δύναμιν ἣν εἶδες. κἀμοὶ γὰρ τῇ νυκτὶ ταύτῃ παρέστη ὁ κύριος λέγων ὅτι θάρσει· ὡς γὰρ ἔδωκας τὴν ψυχήν σου ὑπὲρ τοῦ ὀνόματός μου εἰς τὸ ἀποθανεῖν καὶ ἀπαλλοτριωθῆναι τοῦ σοῦ ἔθνους, οὕτως καὶ τελειωθήσῃ. πλὴν καὶ τὸν ὄντα μεθ' ὑμῶν ὑπηρέτην καὶ αὐτὸν συλλαβοῦ μεθ' ἑαυτοῦ· ἔχει γάρ τινα μυστήρια. νῦν οὖν, τέκνον, φύλαξον σεαυτῷ τὰ ῥήματα ἃ εἶδες καὶ ἤκουσας· καιρὸς γάρ σε ἀποκαλύψαι μέλλει.

5 Ταῦτα δέ μου κατηχηθέντος παρ' αὐτοῦ, ἐμείναμεν ἐν Εἰκονίῳ ἡμέρας ἱκανάς· ἦν γὰρ ἐκεῖ ὅσιος ἀνὴρ καὶ εὐλαβής, ὅστις ἡμᾶς καὶ ὑπεδέξατο, οὗ καὶ τὸν οἶκον ἡγίασε Παῦλος. ἐκεῖθεν τοίνυν κατηντήσαμεν ἐν Σελευκείᾳ, καὶ προσμείναντες ἡμέρας τρεῖς ἀπεπλεύσαμεν ἐν Κύπρῳ, καὶ ἦμην ἐγὼ διακονῶν αὐτοῖς ἄχρις οὗ περιήλθομεν πᾶσαν τὴν Κύπρον· ἀναχθέντες δὲ ἀπὸ τῆς Κύπρου κατήχθημεν ἐν Πέργῃ τῆς Παμφυλίας. κἀκεῖσε λοιπὸν παρέμεινα ὡσεὶ μῆνας δύο, βουλόμενος ἐπὶ τὰ δυτικὰ μέρη ἀποπλεῦσαι· καὶ οὐκ εἴασέν με τὸ πνεῦμα τὸ ἅγιον. ἐπιστρέψας δὲ πάλιν ἐζήτησα τοὺς ἀποστόλους, καὶ μαθὼν ὅτι ἐν Ἀντιοχείᾳ εἰσίν, ἐπορεύθην πρὸς αὐτούς.

μετονομασθήσῃ | πρὸς τὸ γνῶναι ex Vat; Par προγνῶναι

4. Vat ἴδον | Vat ἀπελθὼν πρὸς τ. π. Βαρν. ἀπήγγειλα | Vat ἀνεθέμην τὰ τοιαῦτα ῥήματα | Vat ἦν ἴδες. γνῶθι γὰρ ὅτι κἀμοὶ τῇ | Vat om ὅτι | Vat τοῦ ἔθνους σου | μεθ': Par με μεθ', Vat ἐγγύς | μυστήρια: Vat add δεῖκά | οὖν: ita Vat, om Par

5. μέλλει. Ταῦτα δέ μου κατηχηθέντος: Vat μέλλει δι' ἐμοῦ. Κατηχηθέντες οὖν | Εἰκονίῳ: Vat Ἱερουσαλήμ | ἦν γὰρ ἐκεῖ usque Παῦλος: Vat pro his habet καὶ ἤλθομεν ἐν Ἀντιοχείᾳ | καὶ προσμείναντες: Vat ἐκεῖ δὲ προσμ. | ἀπεπλεύσ. ἐν Κύπρῳ: sic Vat; Par ἐπλεύσαμεν εἰς Κύπρον | περιήλθ. π. τ. Κύπρον: sic Vat; Par παρήλθομεν τῇ Κύπρῳ | δύο. Notat Papebrochius *Hic omnino videtur excidisse* et discedens ab eis reversus sum Hierosolymam, καὶ ἀποχωρήσας ἀπ' αὐτῶν ὑπέστρεψα ἐν (corrige εἰς) Ἱεροσόλυμα, *ut est Act.* XIII, 13. At codex Par nihil lacunae habet. | ἀποπλεῦσαι: Vat πορεύεσθαι | εἰσίν: Vat ἦσαν.

Digitized by Google

6 Εὗρον δὲ τὸν Παῦλον ἀπὸ τοῦ κόπου τῆς ὁδοιπορίας ἐν Ἀντιοχείᾳ ἐπὶ τῆς κλίνης· ὃς καὶ ἰδών με σφόδρα ἐλυπήθη διὰ τὸ βραδῦναί με ἐν Παμφυλίᾳ. καὶ προσελθὼν ὁ Βαρνάβας παρεκάλεσεν αὐτόν, καὶ ἐγεύσατο ἄρτου· ὀλίγον δὲ ἔλαβεν αὐτοῦ. καὶ εὐηγγελίσαντο τὸν λόγον τοῦ κυρίου, καὶ πολλοὺς τῶν Ἰουδαίων καὶ Ἑλλήνων ἐφώτισαν. ἐγὼ δὲ μόνον προσεῖχον αὐτοῖς, καὶ ἐφοβούμην Παῦλον προσεγγίσαι αὐτῷ καὶ διὰ τὸ ἔχειν με ἱκανὸν χρόνον ἐν Παμφυλίᾳ διάγοντα καὶ πάνυ ταράσσεσθαι αὐτὸν κατ' ἐμοῦ. μετάνοιαν δὲ ἐδίδων ἐπὶ τοῖς γόνασιν εἰς τὴν γῆν Παύλῳ, καὶ οὐκ ἠνείχετο· ὡς δὲ ἐπέμενον ἐπὶ σάββατα τρία τῇ παρακλήσει καὶ τῇ δεήσει γονυπετῶν, οὐκ ἠδυνήθην δυσωπῆσαι αὐτὸν ὑπὲρ ἐμαυτοῦ· ἡ δὲ πολλὴ λύπη αὐτοῦ ἦν πρὸς μὲ διὰ τὸ ἔχειν με τὰς πλείους μεμβράνας ἐν Παμφυλίᾳ.

7 Ὡς δὲ ἐγένετο τοῦ τελέσαι αὐτοὺς διδάσκοντας ἐν Ἀντιοχείᾳ, τῇ μιᾷ τῶν σαββάτων καθεσθέντες ὁμοῦ συνεβουλεύσαντο πορεύεσθαι ἐπὶ τοὺς ἀνατολικοὺς τόπους, καὶ μετὰ ταῦτα ἔρχεσθαι ἐν Κύπρῳ καὶ ἐπισκέψασθαι πάσας τὰς ἐκκλησίας ἐν αἷς ἐλάλησαν τὸν λόγον τοῦ θεοῦ. παρεκάλει δὲ ὁ Βαρνάβας ἐλθεῖν τὸν Παῦλον πρότερον ἐν Κύπρῳ καὶ τοὺς ἰδίους ἐπισκέψασθαι ἐν τῇ κώμῃ αὐτοῦ, καὶ Λούκιος δὲ παρεκάλει ὥστε ἐπίσκεψιν λαβεῖν τὴν πόλιν αὐτοῦ Κυρήνην. ὅραμα δὲ ἦν καθ' ὕπνον ὀφθὲν τῷ Παύλῳ ὥστε σπεῦσαι αὐτὸν ἐπὶ Ἱερουσαλὴμ διὰ τὸ προσδέχεσθαι αὐτὸν τοὺς ἀδελφοὺς ἐκεῖ. Βαρνάβας δὲ παρεκάλει ὥστε ἐλθεῖν αὐτοὺς ἐν Κύπρῳ καὶ ποιῆσαι τὸν χειμῶνα, καὶ τότε ἀπελθεῖν αὐτοὺς εἰς Ἱερουσαλὴμ ἐν τῇ ἑορτῇ. 8 Πολλὴ τοίνυν φιλονεικία*) μεταξὺ αὐτῶν ἐγίνετο. Βαρνάβας δὲ παρεκάλει

6. Vat Ηὗρον | Vat τ. κόπου καὶ τῆς ὁδ. Inde vero ab ἐπὶ τῆς κλίνης (pro quibus ipsis Papebrochius per coniecturam posuit νοσοῦντα, Sirletus *defe-sum*) usque προσδέχεσθαι αὐτὸν τοὺς ἀδελφοὺς ἐκεῖ omnia desiderantur in Vaticano. | ἔλαβεν αὐτοῦ: codex, ut videtur, ἔλαβ. αὐτόν | ἐδίδων: codex ἐδίδουν

7. Κυρήνην: codex κορίνην | Vat ὥστε εἰσελθεῖν αὐτοὺς εἰς Κύπρον | ἐν τῇ: Vat om ἐν

*) Ad hanc vocem in margine litteris uncialibus ipsa manu antiquissima apponuntur haec. Ὅρα μὴ τὴν φιλονεικίαν ταύτην, ἣν καὶ αἱ Πράξεις παροξυσμὸν καλοῦσιν, νομίσῃς παθοκράτειάν τινα καὶ θυμὸν ἀλόγιστον εἶναι, ἀκούων τὸ δοκεῖν καὶ τὴν πρόφασιν εἶναι μεμβράνας. Οὐ γὰρ ὀργή τίς ἐστιν, μὴ γένοιτο, ἵνα διὰ μεμβράνας τὸν Ἰωάννην (τὸν Ἰωάννην: corrige ὁ Ἰωάννης καὶ Παῦλος?),

Digitized by Google

κἀμὲ ἐπακολουθῆσαι αὐτοῖς διὰ τὸ ἐξ ἀρχῆς ὑπηρέτην αὐτῶν εἶναί με καὶ ἐν τῇ Κύπρῳ πάσῃ ὑπηρετῆσαι αὐτοῖς ἄχρις οὗ κατήντησαν ἐν Πέργῃ τῆς Παμφυλίας, κἀκεῖ ἀπέμεινα ἡμέρας ἱκανάς. ὁ δὲ Παῦλος κατέκραζεν τοῦ Βαρνάβα λέγων ὅτι ἀδύνατον τοῦτον ἐλθεῖν μεθ' ἡμῶν. καὶ οἱ ὄντες δὲ μεθ' ἡμῶν ἐκεῖ παρεκάλουν ὥστε κἀμὲ συνακολουθῆσαι αὐτοῖς, διὰ τὸ εὐχήν μοι ὑπάρχειν ἕως τέλους αὐτοῖς ἀκολουθῆσαι· ὥστε λέγειν τὸν Παῦλον τῷ Βαρνάβᾳ ὅτι εἰ βούλει λαβεῖν Ἰωάννην τὸν καὶ Μάρκον μετονομασθέντα μετὰ σεαυτοῦ, πορεύου ἑτέραν ὁδόν· οὐ γὰρ ἔλθῃ μεθ' ἡμῶν. Βαρνάβας δὲ ἐν ἑαυτῷ γενόμενος εἶπεν ὅτι τὸν ἅπαξ δουλεύσαντα τῷ εὐαγγελίῳ καὶ συνοδεύσαντα οὐκ ἀποστρέφεται ἡ χάρις τοῦ θεοῦ. εἰ οὖν καὶ τοῦτο ἡδύ σοί ἐστι, πάτερ Παῦλε, λαβὼν αὐτὸν πορεύομαι. καὶ αὐτὸς ἔφη Πορεύου ἐν τῇ χάριτι τοῦ Χριστοῦ, καὶ ἡμεῖς ἐν τῇ δυνάμει τοῦ πνεύματος.

[9] Κλίναντες τοίνυν τὰ γόνατα προσηύξαντο τῷ θεῷ. καὶ ἀναστενάξας Παῦλος ἔκλαυσεν, ὁμοίως δὲ καὶ Βαρνάβας, λέγοντες πρὸς ἀλλήλους Καλὸν μὲν ἦν ἡμᾶς κοινῶς καθὼς τὴν ἀρχὴν οὕτως καὶ τὸ τέλος ποιήσασθαι τὸ ἐν ἀνθρώποις. ἐπειδὴ δὲ οὕτως σοι ἔδοξε, πάτερ Παῦλε, πρόσευξαι ὑπὲρ ἐμοῦ ἵνα τέλειός

καὶ αὖθις διὰ Ἰωάννην τὸν καὶ Μάρκον Παῦλος καὶ Βαρνάβας διεχωρίσθη· ἀλλὰ τοῦτό ἐστιν τὸ ἐνεργεῖσθαι ἀμφοτέρους ἐκ τοῦ ἁγίου πνεύματος, καὶ μὴ ποιεῖν ἃ συγκρίνειν δοκοῦσιν ἀλλὰ ἃ ἐνεργοῦνται. καὶ ἴδε ὅτι κλαίουσιν καὶ βιασθέντες ἀπαγγέλλουσιν ἀλλήλοις τὰ ἀποκάλυφθέντα, καὶ ὅτι μὴ βιάσῃ Βαρνάβα Παῦλον (καὶ ὅτι μή usque Παῦλον: ita corrupte codex. Nonnihil excidisse videtur.). ἄλλως τε καὶ τὸ εἰρημένον Βαρνάβᾳ περὶ Ἰωάννου τοῦ καὶ Μάρκου μὴ καταλιπὼν αὐτὸν πάλιν οὕτως (an potius οὕτος?) πληροῖ. τοσοῦτον οὖν ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκρατοῦντο ὡς σύγκρισιν ἀνθρωπίνην μὴ καταδέχεσθαι οἱ ἅγιοι ἀπόστολοι, ἀλλὰ τῇ τοῦ ἐπειλημμένου αὐτῶν ἁγίου πνεύματος κινήσει (adde κινεῖσθαι?).

8. Vat ἐγένετο et συνακολουθῆσαι | ὑπηρετῆσαι: sic Vat; Par ὑπηρέτησα | Vat κατηντήσαμεν εἰς Πέργην et ἐπέμεινα | Vat κατέκραζ. τῷ Βαρνάβᾳ | Vat καὶ οἱ ὄντες ἀδελφοὶ ἐκεῖ ἔλεγον ὥστε με [Papebr. supplet δεῖ] σὺν αὐτοῖς ἀκολουθῆσαι | διὰ τὸ εὐχήν usque ἀκολουθῆσαι: haec Vat habet; praetermissa sunt in Par | Vat om τῷ Βαρνάβᾳ | Vat βούλῃ | Vat om μετονομασθέντα et habet εἰς ἑτέραν ὁδόν | Vat ἔλθῃς | Vat τὸν ἅπαξ δουλεύοντα ἡμῖν οὐκ ἀποστρέφ. | ἔφη: ita Vat; om Par | Vat ἐν τῇ χάρ. τοῦ θεοῦ, καὶ ἡμεῖς ἐν τῷ ἁγίῳ πνεύματι

9. Vat καθὼς τ. ψυχὴν καὶ τὸ τέλος | τὸ ἐν: Vat om τό | Vat ἵνα τε-

Digitized by Google

μου ὁ κάματος γένηται εἰς αἴνεσιν· οἶδας γὰρ πῶς σοι ἐδούλευσα καὶ εἰς τὴν χάριν τοῦ Χριστοῦ τὴν δοθεῖσάν σοι. πορεύομαι γὰρ ἐν Κύπρῳ καὶ σπεύδω τελειωθῆναι· οἶδα γὰρ ὅτι οὐκέτι ὄψομαι τὸ πρόσωπόν σου, πάτερ Παῦλε. καὶ πεσὼν ἐπὶ τὴν γῆν εἰς τοὺς πόδας αὐτοῦ ἔκλαυσεν ἱκανῶς. [10] Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτόν Κάμοὶ τῇ νυκτὶ ταύτῃ παρέστη ὁ κύριος λέγων Μὴ βιάσῃ Βαρνάβαν τοῦ μὴ πορευθῆναι εἰς Κύπρον· ἐκεῖ γὰρ αὐτῷ ἡτοίμασται τοῦ φωτίσαι πολλούς· καὶ σὺ δὲ ἐν τῇ δοθείσῃ σοι χάριτι πορεύου εἰς Ἱεροσόλυμα προσκυνῆσαι ἐν τῷ ἁγίῳ τόπῳ, κἀκεῖ σοι δειχθήσεται ποῦ σοι τὸ μαρτύριον ἡτοίμασται. ἠσπασάμεθα δὲ ἀλλήλους, καὶ παρέλαβέν με Βαρνάβας.

[11] Καὶ κατελθόντες εἰς Λαοδίκειαν ἠρωτῶμεν περᾶσαι εἰς Κύπρον, καὶ εὑρόντες πλοῖον ἀπερχόμενον εἰς Κύπρον ἀνήλθομεν· καὶ πλευσάντων ἡμῶν ὁ ἄνεμος ἐναντίος εὑρέθη. ἤλθομεν δὲ ἐν τῷ Κορασίῳ, καὶ κατελθόντων ἡμῶν παρὰ τὸν αἰγιαλόν, ἔνθα πηγὴ ἦν, ἀνεψύξαμεν ἐκεῖ, μηδενὶ ἑαυτοὺς ἐμφανίζοντες διὰ τὸ μὴ γνῶναί τινα ὅτι ἀπεχωρίσθη Βαρνάβας τοῦ Παύλου. ἀναχθέντες δὲ ἀπὸ Κορασίου ἤλθομεν εἰς παλαιὰς τῆς Ἰσαυρίας, κἀκεῖθεν ἤλθομεν ἐν νήσῳ τινὶ Πιτυούσῃ καλουμένῃ, καὶ χειμῶνος γενομένου ἐποιήσαμεν ἐκεῖ ἡμέρας τρεῖς· ὑπεδέξατο δὲ ἡμᾶς ἀνήρ τις εὐλαβὴς ὀνόματι Εὔφημος, ὃν καὶ πολλὰ κατήχησε Βαρνάβας εἰς τὴν πίστιν σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

[12] Ἐκεῖθεν δὲ παρεπλεύσαμεν τὰς Ἀκονησίας καὶ ἤλθομεν ἐν πόλει Ἀνεμουρίῳ, καὶ εἰσελθόντων ἡμῶν ἐν αὐτῇ εὕρομεν δύο Ἕλληνας. ἐλθόντες δὲ πρὸς ἡμᾶς ἐπηρώτων πόθεν καὶ τίνες ἐσμέν. εἶπεν δὲ αὐτοῖς Βαρνάβας Εἰ βούλεσθε γνῶναι πόθεν καὶ τίνες

λείως μοι ὁ κόπος εἰς ἀνάπαυσιν γένηται | καὶ εἰς τήν: ita Vat; Par om καί | δοθεῖσάν σοι: ita Vat; Par δοθ. ἡμῖν | Vat τελειωθῆναι, καὶ σπεύδω· οἶδα | ὅτι: sic Vat; om Par | Vat ἐπὶ τῆς γῆς

10. σύ: Par σοί | Vat κἀκεῖθέν σοι et ἡτοιμάσθη

11. Vat Κατελθόντες δὲ καὶ εὑρόντες πλοῖον ἐν Λαοδικίᾳ ἠρ. περ. εἰς Κύπρον· καὶ ὁ ἄνεμ. ἐναντίως ηὑρέθη, καὶ οὐκ ἠδυνήθημεν. ἤλθομεν δέ | Vat κ. εἰσελθόντων ἡμ. ἐν τῷ αἰγιαλῷ | ἀνεψ. ἐκεῖ: Vat add τὴν ὥραν | Vat ἐμφανίσαντες | ἀναχθ. δὲ ἀπὸ Κορασίου: Vat ἐκεῖθεν δέ | ἤλθομεν εἰς usque κἀκεῖθεν ex Vat sunt; om Par | ἤλθομεν ἐν: Vat ἐλθόντες ἐν | ἐποιήσαμεν ἐκεῖ: Vat παρεβάλωμεν (corrige -λομεν) | Vat καὶ ὑπεδέξ. ἡμ. ἀν. τις Εὔφημος ὀνόματι et om quae sequuntur ὃν καὶ πολλὰ usque οἴκῳ αὐτοῦ

12. Vat ηὕρομεν et καὶ εἰσελθόντες πρός | Vat om καὶ τίνες | περιβαλῶ:

Digitized by Google

ἐσμέν, ἀπορρίψατε ἣν ἔχετε ἐσθῆτα, καὶ περιβαλῶ ὑμᾶς ἐσθῆτα ἥτις οὐδέποτε ῥυπαίνεται, οὐδέ ἐστιν ἐν αὐτῇ ῥυπαρία ἀλλὰ πάντοτε λαμπρά ἐστιν. ξενισθέντες δὲ ἐπὶ τῷ λόγῳ ἠρώτων ἡμᾶς Τί ἐστι τὸ ἔνδυμα ἐκεῖνο ὃ μέλλετε ἡμῖν διδόναι; εἶπεν δὲ αὐτοῖς Βαρνάβας Ἐὰν ἐξομολογήσησθε τὰς ἁμαρτίας ὑμῶν καὶ συντάξησθε τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, λαμβάνετε τὸ ἔνδυμα ἐκεῖνο ὅπερ ἐστὶν ἄφθαρτον εἰς τὸν αἰῶνα. [13] Κατανυχθέντες δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ, παρακαλοῦντες καὶ λέγοντες Ἀξιοῦμέν σε, πάτερ, δὸς ἡμῖν τὸ ἔνδυμα ἐκεῖνο· ἡμεῖς γὰρ πιστεύομεν ᾧ κηρύττεις ζῶντι θεῷ καὶ ἀληθινῷ. καταγαγὼν δὲ αὐτοὺς κάτω εἰς τὴν πηγὴν ἐβάπτισεν αὐτοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· καὶ ἔγνωσαν ἑαυτοὺς ὅτι ἐνεδύσαντο δύναμιν καὶ στολὴν ἁγίαν. λαβὼν δὲ παρ' ἐμοῦ μίαν στολὴν ἐνέδυσεν τὸν ἕνα, καὶ ἐκ τῆς ἰδίας στολῆς ἐνέδυσε τὸν ἕτερον. προσήνεγκαν δὲ χρήματα αὐτῷ, καὶ εὐθέως διέδωκεν αὐτὰ Βαρνάβας τοῖς πτωχοῖς· ἀφ' ὧν καὶ οἱ ναῦται πολλὰ ἠδυνήθησαν κερδᾶναι.

[14] Κατελθόντες δὲ ἐν τῷ αἰγιαλῷ, ἐλάλει αὐτοῖς τὸν λόγον τοῦ θεοῦ· καὶ εὐλογήσας αὐτούς, ἠσπασάμεθα αὐτοὺς καὶ ἀνήχθημεν ἐν τῷ πλοίῳ. ὁ δὲ εἷς αὐτῶν ὁ ἐπικληθεὶς Στέφανος ἐβούλετο συνακολουθῆσαι ἡμῖν· καὶ οὐκ εἴασεν ὁ Βαρνάβας. διαπερασάντων δὲ ἡμῶν κατεπλεύσαμεν ἐν Κύπρῳ διὰ νυκτός, καὶ ἐλθόντες ἐν τῷ λεγομένῳ Κρομμυακίτῃ εὕρομεν Τίμωνα καὶ Ἀρίστωνα τοὺς ἱεροδούλους, πρὸς οὓς καὶ ἐξενίσθημεν.

[15] Τίμων δὲ συνείχετο πυρετῷ πολλῷ· ᾧ καὶ ἐπιθέντες τὰς χεῖρας εὐθέως ἀπεστήσαμεν τὸν πυρετὸν αὐτοῦ, ἐπικαλεσάμενοι τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. ἦν δὲ ὁ Βαρνάβας μαθήματα παρὰ

---

ita Vat; Par περιβάλλω | Vat om οὐδέ ἐστιν ἐν αὐτῇ ῥυπαρ.. | μέλλετε ἡμῖν ex Vat; Par μέλλει | Vat συντάσσεσθε et om ἡμῶν

13. Vat κατανυγέντες | Vat om ἡμεῖς γάρ usque ἀληθινῷ | Vat καὶ καταγαγὼν αὐτοὺς εὐθὺς κάτω | Vat εἰς τὸ ὄνομα τοῦ πατρ. κ. τοῦ υἱ. κ. τοῦ ἁγ. πν. | Vat ἐνεδύσατο τὴν στολ. τὴν ἁγίαν | Vat προσήνεγκ. δὲ αὐτῷ τὰ χρήμ. αὐτῶν | τοῖς πτωχοῖς: Vat om τοῖς

14. Vat Κατελθ. δὲ ἐν τ. αἰγ. ἠσπασάμεθα ἑαυτούς, καὶ ἐλαλήσαμεν τὸν λογ. τοῦ θεοῦ, καὶ ηὐλογήσαμεν αὐτούς. Ὁ δὲ εἷς ἐξ αὐτῶν ὁ κληθεὶς | Vat κατεπλευσάμεθα | Vat om διὰ νυκτός | Vat εἰσελθόντ. ἐν τῷ λεγ. Κρομυακιάτι ηὕρομεν

15. Vat τ. πυρετὸν ἀπ' αὐτοῦ | Vat om κυρίου

Digitized by Google

Ματθαίου εἰληφώς, βίβλον τῆς τοῦ θεοῦ φωνῆς, καὶ θαυμάτων καὶ διδαγμάτων σύγγραμμα· ταύτην ἐπετίθει τοῖς ἀσθενοῦσι Βαρνάβας κατὰ τὴν ἀπαντῶσαν ἡμῖν χώραν, καὶ εὐθέως τῶν παθῶν ἴασιν ἐποίει.

16 Γενομένων δὲ ἡμῶν ἐν Λαπίθῳ, καὶ εἰδωλομανίας ἐπιτελουμένης ἐν τῷ θεάτρῳ, οὐκ εἴασαν ἡμᾶς εἰσελθεῖν ἐν τῇ πόλει, ἀλλὰ πρὸς τῇ πύλῃ ἀνεψύξαμεν μικρόν· Τίμων δὲ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ τῆς νόσου ἦλθεν σὺν ἡμῖν. ἐξελθόντες δὲ τῆς Λαπίθου διὰ τῶν ὀρέων ὡδεύσαμεν, καὶ ἤλθομεν εἰς πόλιν Λαμπαδίστου, ὅθεν ὑπῆρχεν καὶ Τίμων· πρὸς ὃν εὑρόντες καὶ Ἡράκλειον ὄντα ἐκεῖ, ἐξενίσθημεν παρ' αὐτῷ. 17 Οὗτος ἦν ἀπὸ τῆς Ταμασέων, ὃς ἐληλύθει ἐπισκέψασθαι τοὺς οἰκείους αὐτοῦ· πρὸς ὃν ἀτενίσας ὁ Βαρνάβας ἀνεγνώρισεν αὐτόν, πρώην ἐπὶ τῆς Κιτιαίων συντυχίαν πεποιηκὼς μετὰ Παύλου πρὸς αὐτόν· ᾧ καὶ πνεῦμα ἅγιον ἐδόθη ἐπὶ τοῦ βαπτίσματος, μετωνόμασέν τε αὐτὸν Ἡρακλείδην. χειροτονήσαντές τε αὐτὸν ἐπίσκοπον τῇ Κύπρῳ καὶ ἐκκλησίαν ἐπιστηρίξαντες ἐν Ταμάσῳ, κατελείψαμεν αὐτὸν εἰς κατοίκησιν τῶν ἐκεῖσε κατοικούντων ἀδελφῶν.

18 Ἡμῶν δὲ διελθόντων τὸ ὄρος τὸ καλούμενον Χιονῶδες, κατηντήσαμεν ἐν παλαιᾷ Πάφῳ, κἀκεῖ ηὕραμεν Ῥόδωνα ἱερόδουλον, ὃς καὶ αὐτὸς πιστεύσας συνηκολούθησεν ἡμῖν. συνηντήσαμεν δέ τινι Ἰουδαίῳ ὀνόματι Βαριησοῦ ἐρχομένῳ ἀπὸ Πάφου, ὅστις καὶ ἐγνώρισεν Βαρνάβαν ὄντα πρώην μετὰ Παύλου· οὗτος

βίβλον: sic Vat; Par βιβλίον | θαυμ. κ. διδαγμάτων: Vat ποιημάτων | σύγγραμμα: sic Vat; Par συγγράμματα, itemque Sirletus *scripta* | Vat ταύτ. ἐπιτιθεὶς πᾶσι τοῖς ἀσθενοῦσιν ὁ Βαρν. | χώραν: Vat χάριν | καὶ εὐθέως: Vat om καὶ | Vat ἐποιεῖτο

16. Λαπίθῳ: Vat τῇ πόλει Λαπίθων | Vat εἴασεν, sed Sirletus *permiserunt* | Vat ἠλθ. ἅμα ἡμῖν | Vat διοδεύσαντες ἤλθωμεν (corrige -ομεν) | πόλιν: Vat κώμην | Λαμπαδίστου: ita Par; Vat Λαμπαδιστοῦ | Ἡράκλειον: Vat Ἡρακλέονα | Vat παρ' αὐτοῦ

17. Οὗτος, ut Vat; Par add Ἡράκλειος (scriptum est -κλέω, nisi fallor) | Vat Ταμασίων ἐλθὼν ἐπισκ. | Par Κητιαίων | ἐδόθη ἐ. τ. βαπτ., μετ. τε: Vat ἔδωκαν μετονομάσαντες | Vat om τε | Vat ἐπιστηρίσαντες ἐν σπηλαίῳ ἐν Ταμασῷ (Par -μάσῳ), καὶ τοῖς ἐκεῖ οὖσιν ἀδελφοῖς κατηχηθεῖσιν μετ' αὐτοῦ, παρεθέμεθα αὐτῷ τὸν λόγον τοῦ θεοῦ.

18. Par παλαιῷ | ηὕραμεν cum Vat: Par εὑρόντες | Vat Ῥόδωνά τινα ἱερ. ὅστις | συνηντήσαμεν cum Vat: Par συναντήσαντες | Vat Ἰουδ. τινί | Vat ἀπὸ τῆς Πάφου | Vat πρώτην | Vat οὗτος οὐκ εἴασεν ἡμᾶς εἰς τὴν Πάφον

Digitized by Google

οὐκ ἠθέλησεν ἡμᾶς εἰσελθεῖν ἐν Πάφῳ, ἀλλ' ὑποστρέψαντες ἤλθομεν ἐν τῷ Κουρίῳ.

19 Καὶ εὕρομεν δρόμον τινὰ μιερὸν ἐν τῇ ὁδῷ πλησίον τῆς πόλεως ἐπιτελούμενον, ἔνθα γυναικῶν τε καὶ ἀνδρῶν πλῆθος γυμνῶν ἐπετέλουν τὸν δρόμον· καὶ πολλὴ ἀπάτη καὶ πλάνη ἐγίνετο ἐν τῷ τόπῳ ἐκείνῳ. στραφεὶς δὲ ὁ Βαρνάβας τούτῳ ἐπετίμησεν, καὶ ἔπεσεν τὸ ἀπὸ δυσμῶν μέρος, ὥστε πολλοὺς τραυματίας γενέσθαι· πολλοὶ δὲ ἐξ αὐτῶν καὶ ἀπέθανον, οἱ δὲ λοιποὶ ἔφυγον εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τὸ ὂν πλησίον ἐν τῇ καλουμένῃ ἱερᾷ. ἐλθόντων δὲ ἡμῶν ἐγγὺς τοῦ ἱεροῦ, πολὺ πλῆθος Ἰουδαίων ὄντων ἐκεῖ ὑποβληθέντες ὑπὸ τοῦ Βαριησοῦ ἔστησαν ἔξω τῆς πόλεως καὶ οὐκ εἴασαν ἡμᾶς εἰσελθεῖν εἰς τὴν πόλιν, ἀλλ' ὑπὸ δένδρον τὸ ὂν πλησίον τῆς πόλεως ἐποιήσαμεν τὴν ἑσπέραν καὶ ἀνεψύξαμεν ἐκεῖ.

20 Τῇ δὲ ἐπιούσῃ ἤλθομεν ἐν κώμῃ τινί, ἔνθα Ἀριστοκλιανὸς κατέμενεν· οὗτος λεπρὸς ὢν ἐκαθαρίσθη ἐν Ἀντιοχείᾳ, ὃν καὶ ἐσφράγισε Παῦλος καὶ Βαρνάβας εἰς ἐπίσκοπον, καὶ ἀπέστειλαν εἰς τὴν κώμην αὐτοῦ ἐν Κύπρῳ διὰ τὸ πολλοὺς Ἕλληνας ὑπάρχειν ἐκεῖ. ἐξενίσθημεν δὲ ἐν τῷ σπηλαίῳ πρὸς αὐτὸν ἐν τῷ ὄρει, κἀκεῖ ἐμείναμεν ἡμέραν μίαν. ἐκεῖθεν τε ἤλθομεν ἐν Ἀμαθοῦντι, καὶ πολὺ πλῆθος ἦν Ἑλλήνων ἐν τῷ ἱερῷ ἐν τῷ ὄρει ἀσέμνων γυναικῶν τε καὶ ἀνδρῶν σπενδόντων. προλαβὼν δὲ κἀκεῖ ὁ Βαριησοῦς συνεσκεύασεν τὸ ἔθνος τῶν Ἰουδαίων, καὶ οὐκ εἴασεν ἡμᾶς εἰσελθεῖν εἰς τὴν πόλιν, εἰ μὴ γυνή τις χήρα ὡς ἐτῶν ὀγδοήκοντα ἔξω τῆς πόλεως οὖσα, καὶ αὐτὴ τοῖς εἰδώλοις μὴ προσκυνοῦσα, προσχοῦσα ἡμῖν ἐδέξατο ἡμᾶς ἐν τῷ οἴκῳ αὐτῆς μίαν

---

19. Vat ηὕρομεν | δρόμον bis cum Vat: Par bis δρόνον | Vat μιαρὸν ἐν τῷ ὄρει ἐπιτελούμενον πλησ. τ. πόλ. | Vat ἐπετέλει | Vat om καὶ πολλὴ usque ἐκείνῳ, et pergit Τούτῳ ὁ Βαρν. ἐπιστραφεὶς ἐπετίμησεν, καὶ κατέπεσεν | ὥστε et γενέσθαι: Vat καί et ἐποίησεν | Vat ἔφυγον ἐν τῷ ἱερῷ τ. Ἀ. τῷ ὄντι πλησ. | Vat om ἐν τῇ κ. ἱερᾷ | ἐγγ. τ. ἱεροῦ: Vat πλησίον τοῦ Κουρίου | ὄντων: Vat ὄν | Vat ὑποβληθέν et ἔστη et εἴασεν | Vat ὑπὸ τὸ δένδρ. τὸ ὂν ἐν τῷ ὄρει πλησίον | ἑσπέραν cum Vat; Par ἡμέραν

20. Vat ἐκαθερίσθη | Vat ἐσφράγισαν | Vat ἐν τῇ κώμῃ αὐτοῦ | τε: Vat δέ | ἐν τῷ ἱερῷ cum Vat; Par om | Vat σπενδόντων. κἀκεῖ προσελθὼν ὁ Βαριησοῦς | Vat om ἔξω τ. πόλ. οὖσα | προσχοῦσα cum Vat; Par χροέχουσα | Vat om ἡμῖν

Digitized by Google

ὥραν. ἐξερχομένων δὲ ἡμῶν τὸν κονιορτὸν τῶν ποδῶν ἐξετινάξαμεν κατέναντι τοῦ ἱεροῦ ἐκείνου, ἔνθα ἡ σπονδὴ τῶν μιερῶν ἐγίνετο.

21 Ἐκεῖθέν τε ἐξελθόντες ἤλθομεν διὰ τῶν ἐρήμων τόπων· ἠκολούθει δὲ καὶ Τίμων μεθ' ἡμῶν. καὶ ἐλθόντων ἡμῶν εἰς Κιτιεῖς, πολλοῦ θορύβου γενομένου κἀκεῖ ἐν τῷ ἱπποδρομείῳ αὐτῶν, μαθόντες ἐξήλθομεν τὴν πόλιν ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν ἡμῶν ἅπαντες· οὐδεὶς γὰρ ἡμᾶς ἐδέξατο, εἰ μὴ ἐν τῇ πύλῃ μίαν ὥραν ἀνεψύξαμεν πλησίον τοῦ ὑδραγωγίου.

22 Ἀναχθέντων δὲ ἡμῶν ἐν πλοίῳ ἀπὸ τῶν Κιτιέων, ἤλθομεν ἐπὶ Σαλαμίνῃ, καὶ κατήχθημεν ἐν ταῖς λεγομέναις νήσοις, ἔνθα κατειδωλος ὁ τόπος ὑπῆρχεν· κἀκεῖ γὰρ πανηγύρεις καὶ σπονδαὶ ἐγίνοντο. εὑρόντες δὲ κἀκεῖ πάλιν Ἡρακλείδην, ἐδιδάξαμεν αὐτὸν κηρύσσειν τὸ τοῦ θεοῦ εὐαγγέλιον καὶ καθιστάναι ἐκκλησίας καὶ λειτουργοὺς ἐν αὐταῖς. εἰσελθόντων δὲ ἡμῶν ἐν Σαλαμίνῃ, κατηντήσαμεν εἰς τὴν συναγωγὴν τὴν πλησίον τῆς ἐπιλεγομένης Βιβλίας· κἀκεῖ εἰσελθόντων ἡμῶν ἀναπτύξας ὁ Βαρνάβας τὸ εὐαγγέλιον, ὅπερ ἦν λαβὼν παρὰ Ματθαίου τοῦ συνεργοῦ, ἤρξατο διδάσκειν τοὺς Ἰουδαίους.

23 Καταντήσαντος δὲ τοῦ Βαριησοῦ μετὰ δύο ἡμέρας μετὰ τὸ κατηχῆσαι Ἰουδαίους οὐκ ὀλίγους, θυμωθεὶς συνῆξε πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων, καὶ κατασχόντες τὸν Βαρνάβαν ἐζήτησαν παραδοῦναι Ὑπατίῳ τῷ ἡγεμόνι τῆς Σαλαμίνης. καὶ δήσαντες αὐτὸν πρὸς τὸ ἀπαγαγεῖν πρὸς τὸν ἡγεμόνα, εὐσεβοῦς δὲ Ἰεβουσαίου συγγενοῦς Νέρωνος καταντήσαντος ἐν Κύπρῳ, μαθόντες οἱ

ἐξετινάξαμεν: Vat Βαρνάβας ἐξετείναξεν | μιερῶν (Vat μιαρῶν. Vide supra): Par ἱερέων

21. τε: Vat δέ | κ. Τίμ. μεθ' ἡμ. cum Vat; Par ἡμῖν κ. Τίμ. | εἰς Κιτιεῖς cum Vat; Par πρὸς Κιτ. | ἱπποδρομείῳ (-μείῳ Par): Vat δρομίῳ | Vat μαθόντ. παρήλθομεν

22. ἀναχθέντων: Vat ἀνασχέντων (Sirletus *cum vero navigassemus*) | Vat ἀπὸ τῆς Κιτιέων | Σαλαμίνῃ: Vat -μῖνα | Vat καὶ ἐκεῖ γάρ | Vat κἀκεῖ πάλιν εὑρόντες | κηρύσσειν: Par add πῶς, Vat σπουδῇ | Vat τὸ τοῦ Χριστοῦ εὐαγγ. καθιστᾶν τε | ἐν Σαλαμίνῃ: Vat ἐν Σαλαμῖνα | Vat om τοῦ συνεργοῦ

23. Vat κατηχηθῆναι Ἰουδ. οὐκ ὀλ. ὑπὸ Βαρνάβα, θυμωθ. ὁ Βαριησοῦς | Vat τῶν Ἰουδ., καὶ ἐζήτησαν κατασχεῖν τ. Βαρν. καὶ παραδοῦναι | Ὑπατίῳ ex Vat; Par ὑπάτῳ | Vat καὶ ὡς ἔδησαν αὐτόν | ἀπαγαγεῖν cum Vat; Par ἀγαγεῖν | Vat εὐσεβοῦς Ἰεβουσσαίου

Digitized by Google

Ἰουδαῖοι λαβόντες τὸν Βαρνάβαν νυκτὸς ἔδησαν ἐν σχοινίῳ κατὰ τοῦ τραχήλου, καὶ σύραντες ἐπὶ τὸ ἱπποδρομεῖον ἀπὸ τῆς συναγωγῆς καὶ περάσαντες ἔξω τῆς πύλης περιστάντες κατέκαυσαν αὐτὸν πυρί, ὥστε καὶ τὰ ὀστᾶ αὐτοῦ κονίαν γενέσθαι. εὐθέως δὲ αὐτῇ τῇ νυκτὶ λαβόντες τὴν κονίαν αὐτοῦ ἔβαλον ἐν σινδόνι, καὶ ἐν μολίβδῳ ἀσφαλισάμενοι ἐσκέπτοντο κατὰ τοῦ πελάγους ῥίψαι αὐτόν. [24] Ἐγὼ δὲ εὑρὼν καιρὸν τῆς νυκτός, καὶ τοῦτον μετὰ Τίμωνος καὶ Ῥόδωνος βαστάσαι δυνηθείς, ἤλθομεν ἐν τόπῳ τινί, καὶ εὑρόντες σπήλαιον κατηγάγομεν αὐτὸν ἐκεῖ, ἔνθα τὸ ἔθνος τῶν Ἰεβουσαίων τὸ πρὶν κατῴκει. ἀποκεκρυμμένον δὲ τόπον εὑρόντες ἐν αὐτῷ ἀπεθέμεθα σὺν τοῖς μαθήμασιν οἷς παρέλαβεν παρὰ Ματθαίου. ἦν δὲ ὥρα τετάρτη τῆς νυκτὸς δευτέρας σαββάτων.

[25] Ὡς δὲ ἐκρύβημεν ἐν τῷ τόπῳ, ζήτησιν οὐκ ὀλίγην ἐποιήσαντο οἱ Ἰουδαῖοι καθ' ἡμῶν, καὶ μόλις εὑρόντες κατεδίωξαν ἕως τῆς κώμης Λέδρων· καὶ εὑρόντες κἀκεῖ σπήλαιον πλησίον τῆς κώμης κατεφύγομεν ἐν αὐτῷ, καὶ οὕτως διελάθομεν αὐτούς. ἀπεκρύβημεν δὲ ἐν τῷ σπηλαίῳ τρεῖς ἡμέρας, καὶ ἀναχωρησάντων τῶν Ἰουδαίων ἐξελθόντες κατελείψαμεν τὸν τόπον νυκτός. προσλαβόμενοι δὲ Ἀρίστωνα καὶ Ῥόδωνα ἤλθομεν ἐν κώμῃ Λιμνῆτι.

[26] Ἐλθόντες δὲ ἐπὶ τὸν αἰγιαλὸν εὕρομεν πλοῖον Αἰγύπτιον, καὶ ἀνελθόντες εἰς αὐτὸ κατήχθημεν ἐν Ἀλεξανδρείᾳ. κἀκεῖ ἔμεινα ἐγὼ διδάσκων τοὺς ἐρχομένους ἀδελφοὺς τὸν λόγον τοῦ κυ-

---

Vat τ. τραχήλου, σύραντες | ἱπποδρομεῖον: ita rursus Par; Vat ἱπποδρόμιον | Vat om περιστάντες | Vat τῇ αὐτῇ νυκτί | Vat ἐσκέψαντο

24. Vat Εὑρὼν δὲ καιρ. τ. νυκτ. ἐγὼ Ἰωάννης ὁ καὶ μετονομασθεὶς Μάρκος | Vat Ῥώδωνος | Vat τὸ ἔθν. τὸ Ἰεβουσσαίων | σύν: Vat ἅμα | Vat δευτέρα σαββάτων, μηνὶ Παϋνὶ κατ' Αἰγυπτίους ἑπτακαιδεκάτῃ, τῆς δὲ γενεᾶς ἔτους ιβ', κατὰ δὲ Ῥωμαίους μηνὶ Ἰουνίῳ ια'.

25. Vat om τῷ | Vat ἐποίησαν | Vat κατεδίωξαν ἡμᾶς | Λέδρων: ita Par; Vat Λεδρῶν | σπήλαιον: Vat add ἐν τῷ ὄρει | Vat ἀνελθόντες κατεφύγ. ἐν αὐτῷ, κ. οὗτ. διειλήθησαν εἰς ἡμᾶς (Sirletus *itaque a nobis discesserunt.*) | Vat ἡμέρ. τρεῖς | Vat om νυκτός | προσλαβ. δὲ Ἀρ. κ. Ῥόδωνα (Vat Ῥώδονα) ἦλθ. ἐν κ. Λιμν. ex Vat addidi: Par om

26. Ἐλθ. δὲ ἐπὶ τ. αἰγ. εὕρομεν: Vat εὑρόντες δέ, et pergit πλ. Αἰγ. ἀνήλθομεν ἐν αὐτῷ, καὶ πλεύσαντες κατήχθημεν | Vat om ἐγώ | Vat τ. προσφεύ-

Digitized by Google

ρίου, φωτίζων αὐτοὺς καὶ εὐαγγελιζόμενος ἅπερ ἐδιδάχθην παρὰ τῶν ἀποστόλων τοῦ Χριστοῦ, τῶν καὶ βαπτισάντων με εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, τῶν καὶ μετονομασάντων με Μάρκον ἐν τῷ ὕδατι τοῦ βαπτίσματος, ἐν ᾧ καὶ ἐλπίζω προσενέγκαι πολλοὺς εἰς τὴν δόξαν τοῦ θεοῦ διὰ τῆς χάριτος αὐτοῦ· ὅτι αὐτῷ πρέπει τιμὴ καὶ δόξα αἰώνιος, ἀμήν.

Περίοδοι καὶ μαρτύριον τοῦ ἁγίου ἀποστόλου
Βαρνάβα πέπληνται διὰ θεοῦ.

γοντας ἀδ. τὸν λόγ. τ. Θεοῦ | παρά: Vat ὑπό | Vat εἰς τὸ ὄνομα τοῦ πατρ. καὶ τοῦ υἱ. καὶ τοῦ ἁγ. πν. | ἐν ᾧ καί: Vat om καί | Vat πολλ. προσενέγκ. | Vat δόξ. τ. κυρίου | ὅτι etc: Vat αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Subscriptio ex Par addita est; non est in Vaticano.

Digitized by Google

ΕΚ ΤΩΝ ΠΕΡΙΟΔΩΝ ΦΙΛΙΠΠΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ.

ΑΠΟ ΠΡΑΞΕΩΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΗΣ ΜΕΧΡΙ ΤΕΛΟΥΣ, ΕΝ ΑΙΣ ΤΟ ΜΑΡΤΥΡΙΟΝ.

Κατὰ τὸν καιρὸν ἐκεῖνον Τραϊανοῦ τοῦ βασιλέως παρειληφότος τὴν τῶν Ῥωμαίων ἀρχήν, μετὰ τὸ μαρτυρῆσαι ἐν ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ Σίμωνα τὸν τοῦ Κλωπᾶ ἐπίσκοπον ὄντα Ἱεροσολύμων, δεύτερον γενόμενον ἐπίσκοπον μετὰ Ἰάκωβον τὸν χρηματίσαντα ἀδελφὸν τοῦ κυρίου τῆς ἐκεῖσε ἐκκλησίας, Φίλιππος ὁ ἀπόστολος διερχόμενος τὰς τῆς Λυδίας καὶ Ἀσίας πόλεις καὶ χώρας κατήγγελλεν πᾶσιν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

[2] Φθάσας δὲ ἐν πόλει Ὀφιορύμῃ, ἥτις καλεῖται Ἱεράπολις τῆς Ἀσίας, ὑπεδέχθη ὑπό τινος πιστοῦ ὀνόματι Στάχυος. συνῆν δὲ αὐτῷ καὶ Βαρθολομαῖος εἷς τῶν ἑβδομήκοντα μαθητῶν τοῦ κυρίου καὶ ἡ ἀδελφὴ αὐτοῦ Μαριάμμη καὶ οἱ ἀκολουθοῦντες αὐτῷ μαθηταὶ αὐτοῦ. πάντες οὖν καταλιπόντες τὰ ἔργα αὐτῶν οἱ ἄνδρες τῆς πόλεως ἔτρεχον εἰς τὸν οἶκον τοῦ Στάχυος, ἀκούοντες περὶ τῶν ἔργων ὧν ἐποίει ὁ Φίλιππος. συναχθέντων δὲ πολλῶν ἀνδρῶν τε καὶ γυναικῶν ἐν τῇ οἰκίᾳ τοῦ Στάχυος, ἦν ὁ Φίλιππος ἅμα τῷ Βαρθολομαίῳ διδάσκων αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ.

---

*) Ἐκ τῶν etc ex Ven sunt. Par (praemissis Μηνὶ Νοεμβρίῳ, ιδ'): Περίοδοι καὶ μαρτύριον τοῦ ἁγίου Φιλίππου τοῦ ἀποστόλου.

1. Par^b Κατ' ἐκεῖνον τὸν καιρόν | Par^b Σίμωνα τοῦ | χρηματίσαντα cum Ven et Par^b; om Par

2. αὐτῷ καί: Ven om καί | πάντες οὖν usque ὧν ἐποίει ὁ Φίλιππ. ex Par sunt; Ven non habet | τε: om Par

Digitized by Google

[3] Ἡ δὲ ἀδελφὴ τοῦ Φιλίππου Μαριάμμη καθεζομένη ἐν τῇ εἰσόδῳ τῆς οἰκίας τοῦ Στάχυος προσεῖχεν τοῖς προσερχομένοις, πειθοῦσα αὐτοὺς ἐπακροᾶσθαι τῶν ἀποστόλων λεγόντων πρὸς αὐτούς Ἀδελφοὶ ἡμῶν καὶ υἱοὶ τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, ὑμεῖς ἐστὲ τὸ πλοῦτος τὸ καλὸν καὶ ἡ ὕπαρξις τῆς ἄνω πόλεως, ἡ τερπνότης τοῦ κατοικητηρίου οὗ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. [4] Καταπατήσατε τὰς παγίδας τοῦ ἐχθροῦ, τὸν εἱλισσόμενον ὄφιν. στρεβλὴ γάρ ἐστιν ἡ πορία αὐτοῦ, ἐπειδὴ τοῦ πονηροῦ υἱός ἐστιν, καί ἐστιν ἐν αὐτῷ ἰὸς πονηρίας· πατὴρ δὲ αὐτοῦ ἐστὶν ὁ διάβολος ὁ τοῦ θανάτου πρόξενος, μήτηρ δὲ αὐτοῦ ἡ φθορά· ὀργὴ ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ καὶ ὄλεθρος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἡ ὁδὸς αὐτοῦ ᾅδης. διὸ φεύγετε ἀπ' αὐτοῦ τοῦ μὴ ἔχοντος ὑπόστασιν, τοῦ ἀμόρφου τοῦ μὴ ἔχοντος μορφὴν ἐν πάσῃ τῇ κτίσει, εἴτε ἐν τῷ οὐρανῷ εἴτε ἐν τῇ γῇ, εἴτε ἐν τοῖς πετεινοῖς εἴτε ἐν τοῖς κτήνεσιν. πάντα γὰρ ἀποστρέφονται τῆς μορφῆς αὐτοῦ· καὶ γὰρ ἐν τοῖς κτήνεσιν καὶ πετεινοῖς τοῦ οὐρανοῦ ἐστὶν ἡ γνῶσις αὐτοῦ, ὅτι σύρει ὁ ὄφις τὴν κοιλίαν αὐτοῦ καὶ τὸ στῆθος· ἔστιν δὲ τὸ κατοικητήριον αὐτοῦ τάρταρος, καὶ ἐν τῷ σκότει βαδίζει, ἐπειδὴ οὐκ ἔχει παρρησίαν ἐν οὐδενί. φεύγετε οὖν ἀπ' αὐτοῦ, ἵνα μὴ ὁ ἰὸς αὐτοῦ ἐκχυθῇ ἐπὶ τὸ στόμα ὑμῶν. [5] Γίνεσθε δὲ μᾶλλον πιστοί, σεμνοί, ἀγαθοεργοί, μὴ

---

3. Par ἦν καθεζομένη et καὶ προσεῖχεν | Par τοὺς προσερχομένους | Par corrupte πενθοῦσα αὐτ. ἐπακρ. δὲ καὶ τὸν ἀπόστολον | λεγόντ. πρ. αὐτούς: Par ἐδίδασκεν γὰρ αὐτούς | Par om Ἀδελφ. ἡμῶν | μου: ex Par est; Ven om | ἡ ὕπαρξις: Par om ἡ | ἀγαπ. αὐτόν: Ven om αὐτόν

4. Καταπατήσατε usque ὄφιν ex Ven sunt. Par sic: Διὰ τί ἠχμαλωτεύθητε ὑπὸ τοῦ ἐχθροῦ; καταπατήσατε αὐτὸν τὸν εἱλισσόμενον (εἱλισσ. hoc spiritu et Ven et Par) τὸν ὄφιν, ᾧ (codex ὃν) οὐκ ἔδωκεν ὁ θεὸς χεῖρας καὶ πόδας. | ἡ πορία: ita Par; Ven ἡ ὁδός | υἱός ἐστιν usque πρόξενος cum Ven. Pro his omnibus Par nil nisi ἐστὶν ὁ θάνατος | μήτηρ δὲ αὐτοῦ cum Ven; Par ἡ δὲ μήτηρ αὐτοῦ ἐστὶν | ὀφθαλμοῖς cum Ven; Par ἀδελφοῖς | διὸ φεύγετε usque τῇ κτίσει cum Ven; Par sic: μὴ οὖν ἀπατηθῆτε τῇ ἀπωλείᾳ (codex -λία) αὐτοῦ. ὑμεῖς γάρ ἐστε δεδεμένοι ἐν τῇ ἀπιστίᾳ καὶ ἐν τῇ πλάνῃ τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀτάκτου τοῦ μὴ ἔχοντος ὑπόστασιν, τοῦ ἀμόρφου καὶ μὴ ἔχοντος μορφὴν μήτε ὑπόστασιν ἐν πάσῃ τῇ κτίσει | εἴτε ἐν τ. οὐρανῷ usque κτήνεσιν ex Ven; Par sic: οὔτε ἐν τ. οὐρ. οὔτε ἐν τῇ γῇ, οὔτε ἐν τοῖς ἰχθύσιν τοῖς οὖσιν ἐν τοῖς ὕδασι, οὔτε ἐν τοῖς πετεινοῖς οὔτε ἐν τ. κτήν. | πάντα usque μορφῆς αὐτοῦ ex Ven; Par om | Par om τοῦ οὐρανοῦ | ἡ γνῶσις cum Par: Ven ἡ γύμνωσις | φεύγ. οὖν: Par φεύγ. νῦν

Digitized by Google

ἔχοντες δόλον. ἐξάρατε τὸ πονηρὸν σύστημα ἀφ' ἑαυτῶν, τοῦτ' ἔστιν· τὰς κακὰς ἐπιθυμίας, δι' ὧν ἐγέννησεν ὁ ὄφις ὁ πονηρὸς δράκων ὁ ἀρχέκακος νομὴν ἀπωλείας καὶ θανάτου τῇ ψυχῇ, ἐπειδὴ ἡ τῶν κακῶν ἐπιθυμία πᾶσα ἐξ αὐτοῦ προελήλυθεν. καὶ αὕτη ἐστὶν ἡ ῥίζα τῆς ἀνομίας, τὸ σύστημα τῶν κακῶν, ὁ θάνατος τῶν ψυχῶν· ἡ γὰρ ἐπιθυμία τοῦ ἐχθροῦ ὁπλίζεται κατὰ τῶν πιστῶν, ἐξέρχεται δὲ ἀπὸ τοῦ σκότους καὶ πορεύεται ἐν τῷ σκότει, πολεμεῖν ἐπιχειροῦσα τοὺς ἐν τῷ φωτί. αὕτη γάρ ἐστιν ἡ τῆς πλεονεξίας ἀρχή. [6] Διὸ ὑμεῖς οἱ θέλοντες ἐλθεῖν πρὸς ἡμᾶς, μᾶλλον δὲ ὅτι ὁ θεὸς παρεγένετο δι' ἡμῶν πρὸς ὑμᾶς ὡς πατὴρ πρὸς ἴδια τέκνα, θέλων ὑμᾶς ἐλεῆσαι καὶ ῥύσασθαι ὑμᾶς ἀπὸ τῆς πονηρᾶς παγίδος τοῦ ἐχθροῦ, φύγετε τὰς τοῦ ἐχθροῦ κακὰς ἐπιθυμίας καὶ τελείως ἐκβάλετε αὐτὰς ἐκ τοῦ νοὸς ὑμῶν, μισήσαντες φανερῶς τὸν πατέρα τῶν κακῶν, ἀγαπήσαντες δὲ Ἰησοῦν, ὃς ἐστιν φῶς καὶ ζωὴ καὶ ἀλήθεια καὶ σωτὴρ πάντων τῶν αὐτὸν ποθούντων. πρὸς αὐτὸν οὖν προσδραμόντες κρατήσατε αὐτὸν ἐν τῇ ἀγάπῃ, ἵνα ἀναγάγῃ ὑμᾶς ἐκ τοῦ λάκκου τῶν κακῶν, καὶ καθαρίσας στήσῃ ὑμᾶς ἀμώμους ζῶντας ἐν ἀληθείᾳ ἔμπροσθεν τοῦ πατρὸς αὐτοῦ.

[7] Ταῦτα δὲ πάντα ἔλεγεν ὁ Φίλιππος πρὸς τὰ συνελθόντα πλήθη διὰ τὸ ἐκ παλαιῶν τῶν χρόνων σέβειν αὐτοὺς τοὺς ὄφεις καὶ τὴν ἔχιδναν, ὧν καὶ εἰκόνας στήσαντες προσεκύνουν· διὸ καὶ Ὀφιορύμην ἐκάλουν τὴν Ἱεράπολιν. τούτων δὲ λεγομένων ὑπὸ τοῦ Φιλίππου, συνπαρόντων αὐτῷ Βαρθολομαίου καὶ Μαριάμμης καὶ τῶν μαθητῶν αὐτοῦ καὶ τοῦ Στάχυος, ἐπηκροᾶτο πᾶς ὁ λαός, καὶ πολὺ πλῆθος ἐξ αὐτῶν ἀποφυγόντες ἀπὸ τοῦ

---

5. τὰς κακάς: Par τὰς κακίας | ἐγέννησεν: Par ἐγένετο | Par νομὴ ἀπωλείας καὶ θάνατος τῇ ψυχῇ | καὶ αὕτη: Par om καί | ἡ γάρ: Par εἰ γάρ | ἀπὸ τοῦ σκότους: Par ἀπὸ τὸ σκότος

6. Διό: Par Δι' οὗ | Par om ἐλθεῖν | φύγετε τὰς τ. ἐ. κακ. ἐπιθυμίας ex Ven sunt. Pro his Par: καὶ τῆς ἐπιθυμίας | ἐκβάλετε αὐτάς cum Ven: Par ἐκβάλλετε ταύτας | ἀγαπήσαντες δὲ Ἰησ. ὃς: Par ἀγαπήσατε τὸν Ἰησ. ὡς | καὶ σωτήρ: Ven om καί | ἐκ τοῦ λάκκου: Par ἐκ λάκου

7. Par corrupte: διὰ τὸν ἐκ παλεῶν τ. χρ. σβένειν αὐτῶν τοὺς ὄφεις | εἰκόνας: Ven εἰκόνα | προσεκύνουν: Par προσεφώνουν προσκυνοῦντες αὐτούς | τὴν Ἱεράπολιν: Par τὴν ἱερὰν πόλιν | συνπαρόντων: Par συμπαρ. | ἐπηκροᾶτο: Par

ἐχθροῦ ἐπεστρέφοντο ἐπὶ τὸν Ἰησοῦν καὶ προσετέθησαν τῷ Φιλίππῳ καὶ τοῖς περὶ αὐτόν. οἱ δὲ πιστοὶ πλεῖον ἐστηρίχθησαν ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ.

[8] Νικανόρα δὲ ἡ γυνὴ τοῦ ἀνθυπάτου κλινήρης κατακειμένη ὑπὸ διαφόρων νοσημάτων, μάλιστα τῶν ὀφθαλμῶν, ἀκούσασα τὰ περὶ τοῦ ἀποστόλου Φιλίππου καὶ τοῦ κηρύγματος αὐτοῦ, ἐπίστευσεν ἐπὶ τὸν κύριον. ἦν γὰρ καὶ πρόπαλαι ἀκούσασα περὶ αὐτοῦ, καὶ ἐπικαλεσαμένη τὸ ὄνομα αὐτοῦ ἀπηλλάγη τῶν συνεχόντων αὐτὴν πόνων. καὶ ἀναστᾶσα ἐξῆλθεν τῆς οἰκίας αὐτῆς διὰ τῆς πλαγίας θύρας, βασταζομένη ὑπὸ ἰδίων δούλων ἐν φορίῳ ἀργυρέῳ, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ Στάχυος, ὅπου ἦσαν οἱ ἀπόστολοι.

[9] Καὶ ὅτε ἦλθεν ἔμπροσθεν τοῦ πυλῶνος τῆς οἰκίας, ἰδοῦσα αὐτὴν Μαριάμμη ἡ ἀδελφὴ Φιλίππου τοῦ ἀποστόλου, ἐλάλησεν τῇ ἑβραΐδι διαλέκτῳ πρὸς αὐτὴν ἔμπροσθεν τοῦ Φιλίππου καὶ Βαρθολομαίου καὶ παντὸς τοῦ πλήθους τῶν πεπιστευκότων λέγουσα Ἀλημακάν, ἱκασαμέ, μαρμαρή, ναχαμάν, μαστρανάν, ἀχαμάν· ὅ ἐστιν Θυγάτηρ τοῦ πατρός, σὺ εἶ κυρία μου, σὺ ἐδόθης ἐνεχυρίασμα τῷ ὄφει· ἀλλ' ἦλθεν Ἰησοῦς ὁ λυτρωτὴς ἡμῶν ῥύσασθαί σε δι' ἡμῶν, διαρρῆξαι τοὺς δεσμούς σου καὶ τεμεῖν αὐτοὺς καὶ ἐκτεῖλαι ἐκ σοῦ ἀπὸ τῆς ῥίζης αὐτῶν, ὅτι σὺ ἀδελφή μου εἶ, μία μήτηρ ἐγέννησεν ἡμᾶς διδύμους. ἐπελάθου τοῦ πατρός σου, ἐπελάθου τῆς τρίβου τῆς ἀγούσης σε εἰς κατοικητήριον τῆς μητρός σου γεναμένη ἐν πλάνῃ· ἐγκατέλιπες τὸν ναὸν ἐκείνης τῆς ἀπάτης καὶ τῆς προσκαίρου δόξης, καὶ ἦλθες πρὸς ἡμᾶς φυγοῦσα τὸν ἐχθρόν, ὅτι αὐτός ἐστιν τὸ κατοικητή-

---

ἐπικροάτω | ἐπεστρέφοντο: Ven ἐπέστρεψαν | Ἰησοῦν: Par κύριον | πλεῖον: Par πλέον

8. τὰ περὶ: Ven om τά | πρόπαλαι: Ven πάλαι | καὶ ἐπικαλεσαμένη: Par om καί | συνεχόντων αὐτήν: uterque codex συνεχ. αὐτῇ | εἰσῆλθεν εἰς: Ven ἦλθεν εἰς | Par ἀργύρεω; Ven ἀργυραίω

9. Φιλ. τ. ἀποστόλου: Par τοῦ ἀπ. Φιλ. | τῇ ἑβρ. διαλ. cum Par; Ven ἐν φωνῇ ἑβραϊστί | Ἀλημακάν: Ven Ἀληκαμάν | ἱκασαμέ: Par ἡκασαμέ | μαρμαρή: Ven μαρμαρί | ναχαμάν: Ven ἰαχαμάν | ὅ ἐστιν: Par τουτέστιν | Θυγάτηρ: Ven Ὦ θύγατερ | σὺ εἶ: Par σὺ ἡ | σὺ ἐδόθης ἐνεχυρίασμα: Par ἐδόθης ἐνέχυρον | Par διαρρήξας, sed postea καὶ τεμὴν α. κ. ἐκτεῖλε | ἐκ σοῦ: Par αὐτούς | ἀγούσης σε: Ven om σε | γεναμένη: Ven γενομένη | ἀπάτης

Digitized by Google

ριον τοῦ θανάτου. ἰδοὺ δὴ ἦλθεν ὁ λυτρωτής σου, ἵνα σε λυτρώσηται· ἀνέτειλέν σοι ὁ ἥλιος τῆς δικαιοσύνης Χριστός, ἵνα σε φωτίσῃ.

10 Ὡς δὲ ταῦτα ἤκουσεν ἡ Νικανόρα ἑστῶσα πρὸ τῶν θυρῶν, ἐπαρρησιάσατο ἐνώπιον πάντων κράζουσα καὶ λέγουσα ὅτι ἐγὼ Ἑβραία εἰμὶ καὶ θυγάτηρ Ἑβραίων, λάλησον μετ' ἐμοῦ ἐν τῇ διαλέκτῳ τῶν πατέρων μου. ἀκούσασα γὰρ τοῦ κηρύγματος τῶν πατέρων μου ἰάθην εὐθέως ἀπὸ τῆς νόσου καὶ τῶν περιεχουσῶν με ὀδυνῶν. προσκυνῶ οὖν τὴν ἀγαθότητα τοῦ θεοῦ, ὅτι ἐποίησεν ὑμᾶς σκυλῆναι ἄχρι τῆς πόλεως ταύτης διὰ τὸν ἀληθινὸν αὐτοῦ λίθον τὸν ἔντιμον, ἵνα δι' ὑμῶν δεξώμεθα τὴν γνῶσιν αὐτοῦ καὶ ζησώμεθα σὺν ὑμῖν πιστεύσαντες εἰς αὐτόν.

11 Ταῦτα εἰπούσης τῆς Νικανόρας, προσηύξατο περὶ αὐτῆς πρὸς τὸν θεὸν ὁ ἀπόστολος Φίλιππος ἅμα Βαρθολομαίῳ καὶ Μαριάμμῃ καὶ τοῖς σὺν αὐτοῖς λέγων Ὁ ζωοποιῶν τοὺς νεκρούς, Χριστὲ Ἰησοῦ δέσποτα, ὁ ἐλευθερώσας ἡμᾶς διὰ τοῦ βαπτίσματος ἐκ τῆς δουλείας τοῦ θανάτου, ῥῦσαι καὶ ταύτην ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ τελείως, ζωοποίησον αὐτὴν ἐν τῇ ζωῇ σου καὶ τελείωσον αὐτὴν ἐν τῇ τελειότητί σου, ἵνα εὑρεθῇ εἰς τὴν χώραν τῶν πατέρων αὐτῆς ἐν ἐλευθερίᾳ, ἔχουσα κλῆρον ἐν τῇ ἀγαθότητί σου, κύριε Ἰησοῦ.

12 Πάντων δὲ ἀναπεμψάντων τὸ ἀμὴν ἅμα τῷ ἀποστόλῳ Φιλίππῳ, ἰδοὺ ἦλθεν ὁ τύραννος ὁ ἀνὴρ τῆς Νικανόρας, ὡς ἵππος ἀδάμαστος μεμηνώς, καὶ ἐπιλαβόμενος τῶν ἱματίων τῆς γυναικὸς αὐτοῦ ἐβόα λέγων Ὦ Νικανόρα, μὴ οὐκ ἀφῆκά σε ἐπὶ τῆς κλίνης οὖσαν, πῶς τοσαύτην ἔσχες δύναμιν ἐλθεῖν πρὸς τοὺς μάγους τούτους; πῶς δὲ ἀπὸ τῆς φλεγμονῆς τῶν ὀφθαλμῶν σου ἰάθης; νῦν οὖν ἐὰν μή μοι εἴπῃς τίς ἐστιν ὁ ἰατρός σου καὶ τί τὸ ὄνομα αὐτοῦ, τιμωρήσομαί σε διαφόροις τιμωρίαις καὶ οὐ σπλαγ-

καί: Par om καί | δή: Par δέ | λυτρώσηται: Par -σεται | ἀνέτειλέν σοι: Par om σοι

10. πατέρων μου bis: Par bis om μου | ἰάθην: Par ἰάθη | ὑμᾶς (ita Ven; Par ἡμᾶς) σκυλῆναι (Ven σκυλῖναι) | ζησώμεθα: Par ζήσωμεν

11. λέγων: Par λέγοντες | καὶ ταύτην cum Par; Ven αὐτήν | Par om τελείως, ζωοποίησον α. ε. τ. ζ. σου καί | εὑρεθῇ cum Par; Ven πορευθῇ

12. ἔσχες δύναμιν: Par δύν. ἔσχες | ἰάθης: Par post πῶς δέ pon | τιμωρήσομαι: Par τιμωρίσωμαι

Digitized by Google

χνισθήσομαι ἐπὶ σοί. 13 Ἡ δὲ ἀποκριθεῖσα λέγει αὐτῷ Ὦ τύραννε, ἔκβαλε ἀπὸ σοῦ τὴν τυραννίδα σου ταύτην, ἐπιλάθου τῆς πονηρίας σου ταύτης, ἐγκατάλιπε τὸν βίον τοῦτον τὸν πρόσκαιρον, ἀπόθου τὸ θηριῶδες τῆς φαύλης σου γνώμης, φεῦγε τὸν δράκοντα τὸν πονηρὸν καὶ τὰς ἐπιθυμίας αὐτοῦ, ῥῖψον ἀπὸ σοῦ τὰ ἔργα καὶ τὸ βέλος τοῦ ἀνθρωποκτόνου ὄφεως, παραίτησαι τὰς μυσαρὰς καὶ κακὰς θυσίας τῶν εἰδώλων, αἵτινές εἰσιν γεωργία τοῦ ἐχθροῦ, ὁ σκοτεινὸς φραγμός, περιποίησαι δὲ ἑαυτῷ βίον σεμνὸν καὶ ἄρυπον, ἵνα γενάμενος ἐν ἁγιασμῷ δυνηθῇς γνῶναι τὸν ἰατρόν μου καὶ χωρῆσαι τὸ ὄνομα αὐτοῦ. ἐὰν οὖν θέλῃς παρὰ σοί με εἶναι, εὐτρέπισον σεαυτὸν μένειν ἐν ἁγνείᾳ καὶ ἐγκρατείᾳ καὶ ἐν φόβῳ τοῦ ἀληθινοῦ θεοῦ, καὶ συνοικήσω σοι τὸν ἅπαντα χρόνον· μόνον καθάρισον σεαυτὸν ἀπὸ τῶν εἰδώλων καὶ παντὸς ῥύπου αὐτῶν.

14 Ὡς δὲ ἤκουσε τῶν λόγων αὐτῆς τούτων ὁ τυραννογνόφος ὁ ἀνὴρ αὐτῆς, ἐπελάβετο τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς καὶ ἔσυρεν αὐτὴν λακτίζων αὐτὴν καὶ λέγων Καλόν σοι ἔσται ἀναιρεθῆναι ἐν ξίφει ἢ ὁρᾶσθαί σε παρ' ἐμοῦ πορνεύουσαν μετὰ τῶν ξένων τούτων τῶν μάγων. ὁρῶ σε γὰρ ὅτι ἐγένου ἐν τῇ μανίᾳ τούτων τῶν πλάνων· σὲ οὖν πρῶτον τούτων ἀνελῶ κακῶς, καὶ τότε τούτων οὐ φεισάμενος ἐκνευρίσας κακίστως ἀποκτενῶ. καὶ στραφεὶς εἶπεν τοῖς περὶ αὐτόν Ἐξαγάγετέ μοι τοὺς μάγους τοὺς ἐπιθέτας ἐκείνους. εἰσδραμόντες δὲ οἱ δήμιοι εἰς τὴν οἰκίαν τοῦ Στάχυος καὶ κρατήσαντες τὸν ἀπόστολον Φίλιππον καὶ τὸν Βαρθολομαῖον καὶ τὴν Μαριάμμην ἔσυραν ἄγοντες αὐτοὺς ὅπου ἦν ὁ ἀνθύπατος. ἠκολούθησεν δὲ καὶ ὁ πιστότατος Στάχυς καὶ πάντες οἱ πιστοί.

15 Ἰδὼν δὲ αὐτοὺς ὁ ἀνθύπατος ἔβρυξεν τοὺς ὀδόντας αὐτοῦ

---

13. σου ταύτην: Par om σου | Par ἐγκατάλειπε | τὸν πονηρόν: Par τὸν πικρόν | τὰ ἔργα: Par τὸ ἔργον | γεωργία: Par γεωργίαι | γενάμενος: Ven γενόμενος | Ven om μένειν

14. ὁ τυραννογνόφος (cod τυρανογν.): Ven ὁ τύραννος | ἔσυρεν αὐτήν: Par om αὐτήν | ἔσται: Ven ἐστίν | τούτων τῶν μάγων: Par τούτ. καὶ μάγων | πρῶτον τούτων: Par πρῶτον νῦν | οὐ φεισάμενος: Par ὁ φεισάμενος | ἐκνευρ. κακ. ἀποκτενῶ: Ven κακῶς ἐνυβρίσας κακίστ. ἀποκταινῶ | περὶ αὐτόν: Par περὶ αὐτοῦ | ἄγοντες αὐτούς: Ven corrupte λέγοντες αὐτοὺς Ἄρατε τοὺς πλάνους καὶ ἀπαγάγετε αὐτούς

Digitized by Google

λέγων Βασανίσατε τοὺς πλάνους τούτους τοὺς πλανήσαντας πολλὰς γυναῖκας καὶ ἄνδρας νέους τε καὶ νεάνιδας, λέγοντας ἑαυτοὺς θεοσεβεῖς εἶναι, βδέλυγμα ὄντας. καὶ ἐκέλευσεν ἐνεχθῆναι ὠμοὺς ἱμάντας καὶ τύπτεσθαι τόν τε Φίλιππον καὶ τὸν Βαρθολομαῖον καὶ τὴν Μαριάμμην· καὶ μετὰ τὸ μαστιχθῆναι αὐτοὺς τοῖς ἱμᾶσιν ἐκέλευσε δεθῆναι τοὺς πόδας αὐτῶν καὶ σύρεσθαι αὐτοὺς διὰ τῶν πλατειῶν τῆς πόλεως ἕως τῆς πύλης τοῦ ἱεροῦ αὐτῶν. πολύς τε ὄχλος συνήχθησαν, ὡς σχεδὸν μὴ μεῖναί τινα εἰς οἰκίαν, καὶ ἦσαν πάντες θαυμάζοντες αὐτοὺς ἐπὶ τῇ ὑπομονῇ αὐτῶν, βιαίως καὶ ἀπανθρώπως συρομένων αὐτῶν.

16 Ὁ δὲ ἀνθύπατος βασανίσας τοὺς ἁγίους τοὺς ἀμφὶ τὸν ἀπόστολον Φίλιππον ἐκέλευσεν ἐνεχθῆναι αὐτοὺς καὶ ἀσφαλισθῆναι εἰς τὸ ἱερὸν τοῦ εἰδώλου τῆς ἐχίδνης πρὸς τοὺς ἱερεῖς αὐτῆς, ἕως ἂν βουλεύσηται ποίῳ θανάτῳ ἕκαστον αὐτῶν ἀπολέσει. πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν χάριτι τοῦ Χριστοῦ καὶ προσετέθησαν τῷ ἀποστόλῳ Φιλίππῳ καὶ τοῖς σὺν αὐτῷ, ἀποστάντες τοῦ εἰδώλου τῆς ἐχίδνης, καὶ ἐστηρίζοντο ἐν τῇ πίστει μεγαλυνόμενοι ἐν τῇ ὑπομονῇ τῶν ἁγίων, καὶ ὁμοῦ πάντες μετὰ φωνῆς ἐδόξαζον τὸν θεὸν λέγοντες τὸ ἀμήν.

17 Ὅτε δὲ ἐκλείσθησαν ἐν τῷ ἱερῷ τῆς ἐχίδνης ὅ τε Φίλιππος ὁ ἀπόστολος καὶ Βαρθολομαῖος καὶ Μαριάμμη, συνήχθησαν οἱ ἱερεῖς τῆς ἐχίδνης ἐπὶ τὸ αὐτὸ καὶ ὄχλος πολὺς ὡς ἄνδρες ἑπτακισχίλιοι, καὶ δραμόντες πρὸς τὸν ἀνθύπατον κατεβόων λέγοντες Ἐκδίκησον ἡμᾶς ἐκ τῶν ξένων καὶ μάγων καὶ φθορέων καὶ πλανησάντων τοὺς ἀνθρώπους. ἀφ' οὗ γὰρ ἐπεδήμησαν εἰς ἡμᾶς, ἐπλήσθη ἡ πόλις ἡμῶν πάσης κακῆς πράξεως· ἀπέκτειναν δὲ καὶ τοὺς ὄφεις τοὺς υἱοὺς τῆς θεᾶς ἡμῶν· ἔκλεισαν δὲ καὶ τὸ ἱερόν, καὶ ἠρήμωται ὁ βωμός, καὶ οὐχ εὑρήκαμεν προσενηνεγμέ-

15. Βασανίσατε: Ven Βασάνιζε | πλάνους: Ven μάγους | βδέλυγμα: Par βδελυκτοί | ὄντας: sed uterque codex ὄντες | πολύς τε ὄχλος: Ven πολλοὶ δὲ ὄχλοι | μὴ μεῖναι: Ven μὴ εἶναι | τῇ ὑπομ. αὐτῶν: Par om αὐτῶν | βιαίως: Par βαιβέως

16. τοὺς ἁγίους τ. ἀ. τ. ἀπ. Φίλ. cum Ven; Par τόν τε Φίλιππον καὶ Βαρθολομαῖον καὶ Μαριάμμην | τοῦ εἰδώλ. τ. ἐχίδνης: Par τῆς ἐχίδνης τοῦ εἰδωλίου | ἀπολέσει: Par ἀπολέσῃ | χάριτι: Par τῇ χάριτι

17. ἐκ τῶν ξένων: Par ἀπὸ τ. ξ. | πλανησάντων: Par πλανόντων (sic) | ἐπλήσθη: Ven add καί, sed punctis improbatum | Ven om πάσης | ἠρήμω-

νον οἶνον ἵνα πιοῦσα ἡ ἔχιδνα ὑπνώσῃ. εἰ δὲ θέλεις γνῶναι ὅτι ὄντως μάγοι εἰσίν, βλέψον καὶ ἴδε πῶς ἡμᾶς θέλουσιν μαγεῦσαι, λέγοντες Ζήσατε ἐν ἁγνείᾳ καὶ σεμνότητι, πιστεύσαντες τῷ θεῷ· πῶς δὲ καὶ εἰσῆλθον εἰς τὴν πόλιν· πῶς δὲ καὶ οἱ δράκοντες οὐκ ἐτύφλωσαν αὐτοὺς ἢ καὶ ἀνεῖλαν αὐτούς, πῶς δὲ καὶ τὸ αἷμα αὐτῶν οὐκ ἔπιον, ἀλλὰ καὶ αὐτοὶ οἱ τηροῦντες τὴν πόλιν ἡμῶν ἀπὸ παντὸς ξένου ὑπὸ τούτων κατεβλήθησαν.

18 Ἀκούσας δὲ ταῦτα ὁ ἀνθύπατος πλεῖον ἐξεκαύθη τῷ θυμῷ, ὀργῆς τε καὶ ἀπειλῆς ἐπληρώθη, καὶ ἦν ὀργιζόμενος σφόδρα καὶ λέγων πρὸς τοὺς ἱερεῖς Τί ὅτι τὴν ἐμὴν ἐμάγευσαν γυναῖκα; καὶ ἐκεῖθέν μοι ξένα ῥήματα ὁμιλεῖ, καὶ διὰ πάσης τῆς νυκτὸς εὐχομένη ξενοφωνεῖται φωτὶ καταλαμπομένη, καὶ ἀναστενάζουσα λέγει Ἦλθέν μοι τὸ ἀληθινὸν φῶς Ἰησοῦς. κἀγὼ δὲ ἀπὸ τοῦ ἐμοῦ κοιτῶνος ἐξελθὼν ἠθέλησα διὰ τῆς θυρίδος κατοπτεῦσαι καὶ ἰδεῖν ὅνπερ ἔλεγεν φῶς Ἰησοῦν, καὶ ὥσπερ ἀστραπὴ προσαπήντησέν μοι, ὥστε με παρ' ὀλίγον ἀποτυφλωθῆναι· καὶ ἐξ ἐκείνου λοιπὸν τὴν γυναῖκά μου φοβοῦμαι διὰ τὸν φωτεινὸν αὐτῆς Ἰησοῦν. εἴπατέ μοι, ἱερεῖς, τί πράξω. οἱ δὲ εἶπαν αὐτῷ Ἀνθύπατε, τάχα οὐκέτι ἐσμὲν ἱερεῖς· ἀφ' οὗ γὰρ συνέκλεισας αὐτοὺς εὐχομένων αὐτῶν, οὐ μόνον τὸ ἱερὸν ἐκ θεμελίων ἐσαλεύθη, ἀλλὰ τάχα καὶ συμπίπτει.

19 Τότε προσέταξεν ὁ ἀνθύπατος ἐξαγαγεῖν αὐτοὺς ἐκ τοῦ ἱεροῦ τοὺς περὶ τὸν Φίλιππον καὶ ἀναγαγεῖν ἐπὶ τοῦ βήματος, εἰπὼν τοῖς δημίοις Ἀποδύσαντες τὸν Φίλιππον καὶ τὸν Βαρθολομαῖον καὶ τὴν Μαριάμμην διερευνήσατε μή πως εὕρητε αὐτῶν τὰς μαγείας. ἀποδύσαντες οὖν πρῶτον τὸν Φίλιππον, εἶτα τὸν Βαρθολομαῖον, ἦλθον καὶ ἐπὶ τὴν Μαριάμμην, καὶ σύροντες αὐτὴν

ται: Par ἐρήμοται | προσενηνεγμένον: Par προσηνεγμένον | Par om καὶ ἴδε | πῶς δὲ καὶ εἰσῆλθον: Ven om δέ | ἀνεῖλαν: Ven ἀνεῖλον | τ. πόλιν ἡμῶν: Par om ἡμῶν

18. ταῦτα: Ven om | πλεῖον: Par πλέον | Τί ὅτι: Par Τί ὅ | καὶ ἐκεῖθεν: Par κἀκεῖθεν | πάσης τῆς: Ven om τῆς | ξενοφωνεῖται φωτὶ καταλαμπομένη: ita Par; Ven ξένῳ φωτὶ καταλάμπεται | παρ' ὀλίγον: Par ὀλίγον | ἀποτυφλωθῆναι: Par ἀπ' αὐτοῦ φλογισθῆναι | εἶπαν: Ven εἶπον | οὐκέτι: Par οὐκ | ἀλλὰ τάχα καὶ: Par om τάχα

19. Ἀποδύσαντες: Par ἀποδώσαντες | Ven om καὶ τ. Βαρθολ. καὶ τ. Μαριάμμ. | διερευνήσατε: Par ἐρευνήσατε | μή πως εὕρητε: Ven om | Par ἀπέδυσαν (codex ἀπέδωσαν) οὖν πρῶτον Φίλιππον, εἶτα τ. Βαρθολομαῖον· ἦλθον δὲ

ἔλεγον Γυμνώσωμεν αὐτὴν ἵνα πάντες ἴδωσιν αὐτὴν πῶς ἀνδράσιν ἐπακολουθεῖ· αὐτὴ γὰρ μάλιστα ἁπάσας τὰς γυναῖκας ἀπατᾷ. καὶ λέγει ὁ τύραννος πρὸς τοὺς ἱερεῖς Κηρύξατε εἰς ὅλην τὴν πόλιν κύκλῳ ἵνα ἔλθωσιν πάντες ἄνδρες τε καὶ γυναῖκες ὅπως ἴδωσιν τὴν ἀσχημοσύνην αὐτῆς, ὅτι συμπορεύεται μετὰ τῶν μάγων τούτων, καὶ πάντως ὅτι μοιχεύεται ὑπ' αὐτῶν. ἐκέλευσεν δὲ κρεμασθῆναι τὸν Φίλιππον καὶ τὰ σφυρὰ αὐτοῦ διατρηθῆναι, κομίσαι δὲ καὶ κόρακας σιδηροῦς καὶ τὰς πτέρνας αὐτοῦ διαπαρῆναι, καὶ κρεμασθῆναι κατὰ κεφαλῆς ἀπέναντι τοῦ ἱεροῦ ἐπί τινος δένδρου· καὶ τὸν Βαρθολομαῖον ἐκτείνατε ἀπεναντίον τοῦ Φιλίππου ἐμπερονήσαντες τὰς χεῖρας αὐτοῦ ἐν τῷ τοίχῳ τῆς πύλης τοῦ ἱεροῦ.

[20] Ἐμειδίασαν δὲ ἀμφότεροι ὁρῶντες ἀλλήλους ὅ τε Φίλιππος καὶ ὁ Βαρθολομαῖος· ἦσαν γὰρ ὡς οὐ βασανιζόμενοι· αἱ γὰρ κολάσεις αὐτῶν ἦσαν βραβεῖα καὶ στέφανοι. ὅτε δὲ καὶ τὴν Μαριάμμην ἀπέδυσαν, ἰδοὺ εὐθέως ἠλλάγη ἡ ὁμοίωσις τοῦ σώματος αὐτῆς ἐνώπιον πάντων, καὶ εὐθέως ἐγένετο περὶ αὐτὴν νεφέλη πυρὸς ἔμπροσθεν πάντων, καὶ οὐκ ἠδυνήθησαν ἔτι ἐμβλέψαι τὸ σύνολον εἰς τὸν τόπον ἐν ᾧ ἐτύγχανεν ἡ ἁγία Μαριάμμη, ἀλλ' ἔφυγον πάντες ἀπ' αὐτῆς.

[21] Ἐλάλησεν δὲ ὁ Φίλιππος μετὰ Βαρθολομαίου ἐν τῇ ἑβραΐδι διαλέκτῳ λέγων Ποῦ ὁ ἀδελφὸς ἡμῶν Ἰωάννης; ἰδοὺ γὰρ ἐγὼ ἀπολύομαι ἀπὸ τοῦ σώματος· καὶ τίς ὁ εὐξάμενος περὶ ἡμῶν; ὅτι καὶ εἰς τὴν ἀδελφὴν ἡμῶν Μαριάμμην ἐπεχείρησαν παρὰ τὸ καθῆκον· καὶ ἰδοὺ πῦρ ἔρριψαν εἰς τὴν οἰκίαν τοῦ Στάχυος, λέγοντες ὅτι καύσωμεν αὐτήν, ἐπειδὴ ὑπεδέξατο αὐτούς. θέλεις οὖν, Βαρθολομαῖε, πῦρ ἐλθεῖν ἀπ' οὐρανοῦ καὶ κατακαύσωμεν αὐτούς;

καὶ ἐπί | Γυμνώσωμεν: Par γυμνώσομεν | πῶς ἀνδράσιν (Par ἄνδρας) ἐπακολουθεῖ (Par -θῇ): Ven praem ὅτι γυνὴ οὖσα | εἰς ὅλην τ. πόλιν: Ven ἐν τῇ πόλει | τε καί: Par om τε | καὶ κόρακας: Ven om καί | ἐκτείνατε et ἐμπερονήσαντες (codex ἐμπερων.): Ven ἐκτείναντες et ἐπερώνησαν (sic) | Ven ἀπέναντι

20. καὶ ὁ Βαρθολ.: Par om ὁ | ἀπέδυσαν: Par correctum habet ἀπέδωσαν | εἰς τὸν τόπον: Par ἢ τὸν τόπ.

21. ὁ ἀδελφ. ἡμῶν: Ven om ἡμῶν | Par ἀπολύωμαι | πῦρ ἐλθεῖν usque αὐτούς ex Ven; Par εἴπωμεν πῦρ ἐλθ. ἀπὸ τοῦ οὐρ. καὶ κατακαῦσαι αὐτούς | ὁ Φίλιππος: Ven om ὁ

Digitized by Google

22 Ὡς δὲ ταῦτα ἦν λέγων ὁ Φίλιππος, καὶ ἰδοὺ Ἰωάννης εἰσῆλθεν εἰς τὴν πόλιν ὡς συμπολίτης αὐτῶν, καὶ διακινῶν ἐν τῇ πλατείᾳ ἠρώτησεν Τίνες οὗτοι οἱ ἄνθρωποι, καὶ διὰ τί τιμωροῦνται; οἱ δὲ λέγουσιν αὐτῷ Μὴ οὐκ εἶ ἐκ τῆς πόλεως ἡμῶν καὶ ἐρωτᾷς περὶ τῶν ἀνθρώπων τούτων, οἵτινες πολλοὺς ἠδίκησαν; ἔκλεισαν δὲ καὶ τοὺς θεοὺς ἡμῶν, καὶ ἐν τῇ μαγείᾳ αὐτῶν ἀνεῖλον καὶ τοὺς ὄφεις καὶ τοὺς δράκοντας, πολλούς τε καὶ νεκροὺς ἤγειραν, οἵτινες κατέπληξαν ἡμᾶς πολλὰς κολάσεις ἐξηγούμενοι· θέλουσιν δὲ καὶ κρεμάμενοι οὗτοι οἱ ξένοι πῦρ αἰτῆσαι ἐξ οὐρανοῦ καὶ κατακαῦσαι ἡμᾶς καὶ τὴν πόλιν ἡμῶν.

23 Εἶτα λέγει ὁ Ἰωάννης Ἀπέλθωμεν καὶ ὑποδείξατέ μοι αὐτούς. ἦγαγον οὖν τὸν Ἰωάννην ὡς συμπολίτην αὐτῶν ὅπου ὁ Φίλιππος ἦν· καὶ ἦν ἐκεῖ πλῆθος ὄχλου καὶ ὁ ἀνθύπατος καὶ οἱ ἱερεῖς. καὶ ἰδὼν ὁ Φίλιππος τὸν Ἰωάννην εἶπεν τῷ Βαρθολομαίῳ ἑβραϊστί Ἀδελφέ, ὁ Ἰωάννης ἦλθεν ὁ εἰς Βαρέκ, ὅπου ἐστὶν τὸ ὕδωρ τὸ ζῶν. καὶ ὁ Ἰωάννης εἶδεν τὸν Φίλιππον κατὰ κεφαλῆς κρεμάμενον καὶ τῶν σφυρῶν καὶ τῶν πτερνῶν· εἶδεν δὲ καὶ τὸν Βαρθολομαῖον ἐκτεταμένον εἰς τὸν τοῖχον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτοῖς Τὸ μυστήριον τοῦ κρεμασθέντος ἐν μέσῳ τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἔσται μεθ' ὑμῶν.

24 Εἶπεν δὲ καὶ τοῖς ἀνθρώποις τῆς πόλεως ἐκείνης Ἄνθρωποι οἱ τὴν Ὀφιορύμην Ἱεράπολιν κατοικοῦντες, πολλή ἐστιν ἡ ἄγνοια ἡ οὖσα μεθ' ὑμῶν. ἐπλανήθητε ἐν τῇ ὁδῷ τῆς πλάνης· πνέων ἔπνευσεν εἰς ὑμᾶς ὁ δράκων καὶ ἐτύφλωσεν ὑμᾶς κατὰ τρεῖς τρόπους, τοῦτ' ἔστιν, ἐποίησεν ὑμᾶς τυφλοὺς τῷ σώματι καὶ τυφλοὺς τῇ ψυχῇ καὶ τυφλοὺς τῷ πνεύματι, καὶ ἐπλήγητε ὑπὸ τοῦ ὁλοθρευτοῦ. ἐμβλέψατε εἰς πᾶσαν τὴν κτίσιν εἴτε ἐν τῇ γῇ εἴτε ἐν τῷ οὐρανῷ εἴτε ἐν τοῖς ὕδασιν, ὅτι ὁ ὄφις οὐκ ἔχει ὁμοίωμα ἐν οὐδενὶ ἄνω· ἀλλὰ γένους ἐστὶ φθορᾶς καὶ κατηργήθη ὑπὸ τοῦ θεοῦ, καὶ διὰ τοῦτο εἰλικτός ἐστιν καὶ σκολιός, καὶ οὐδε-

22. καὶ ἰδού: Ven om καί | Par ἦλθεν | Par (non constanter) συνπολίτης | Ven πολλοὺς δὲ καί | ἐξηγούμενοι: Par ἐκφυγόμενοι | θέλουσιν δὲ καί: Par om καί

23. συμπολ. (Par συνπολ.) αὐτῶν: Par om αὐτῶν | Ἀδελφέ, ὁ Ἰω.: Ven om ὁ | εἶδεν: Par ἰδών | καὶ τῶν σφυρῶν: Ven om καί | εἶδεν δέ: Par om δέ

24. Εἶπ. δὲ καί: Ven om καί | ἡ ἄγνοια: Par ἡ μαγία | πνέων: Par πλέον | Ven om τυφλ. τῷ σώμ. καί | Par om εἴτε ἐν τῷ οὐρανῷ | ἄνω cum Ven; Par ἄνου i. e. ἀνθρώπου | γένους ἐστί: Par γένος ἔσται | εἰλικτός: hoc

Digitized by Google

μία ζωή ἐστιν ἐν αὐτῷ, καὶ θυμός τε καὶ ὀργὴ καὶ σκότος καὶ πῦρ καὶ καπνὸς ὑπάρχει ἐν πᾶσι τοῖς μέλεσιν αὐτοῦ. καὶ νῦν οὖν διὰ τί τιμωρεῖτε τοὺς ἀνθρώπους τούτους, ὅτι εἰρήκασιν ὑμῖν ὅτι ἐχθρὸς ὑμῶν ἐστιν ὁ ὄφις;

[25] Ὡς δὲ ἤκουσαν τούτους τοὺς λόγους παρὰ τοῦ Ἰωάννου, ἐπῆραν ἐπ' αὐτὸν τὰς χεῖρας λέγοντες Ἐδόξαμεν οὖν συμπολίτην σε εἶναι, νῦν δὲ ἐφανέρωσας σεαυτὸν ὅτι κοινωνὸς αὐτῶν εἶ· ὡς αὐτοὶ οὕτως καὶ σὺ θανατωθήσῃ· οἱ γὰρ ἱερεῖς ἐσκέψαντο στραγγίσαι ὑμῶν τὸ αἷμα καὶ οἴνῳ μίξαντες τῇ ἐχίδνῃ προσαγαγεῖν τοῦτο ποτίσαι αὐτήν. ὡς οὖν ἐπέβαλον οἱ ἱερεῖς τοῦ κρατῆσαι τὸν Ἰωάννην, παρελύθησαν αἱ χεῖρες αὐτῶν. ὁ δὲ Ἰωάννης εἶπεν τῷ Φιλίππῳ Οὐ μὴ ἀποδώσωμεν κακὸν ἀντὶ κακοῦ. ὁ δὲ Φίλιππος εἶπεν πρὸς τὸν Ἰωάννην Ἰδοὺ δὴ ποῦ ἔστιν ὁ κύριός μου Ἰησοῦς ὁ εἰπών μοι τοῦ μὴ ἐκδικῆσαι ἐμαυτόν; ἀλλά γε λοιπὸν οὐκ ἀνέξομαι, τελέσω δὲ ἐπ' αὐτοῖς τὸ ἐμβρίμημά μου καὶ ὅλους αὐτοὺς ἀφανίσω.

[26] Ὁ δὲ Ἰωάννης καὶ Βαρθολομαῖος καὶ Μαριάμμη διεκώλυον αὐτὸν λέγοντες ὅτι ὁ διδάσκαλος ἡμῶν ἐραπίσθη, ἐμαστίχθη, ἐξετάσθη, χολὴν καὶ ὄξος ἐποτίσθη, καὶ ἔλεγεν Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. κἀκεῖνο δὲ ἐδίδαξεν εἰπών Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. καὶ ἡμεῖς οὖν ὑπομείνωμεν. λέγει ὁ Φίλιππος Ἀπόστητε καὶ μὴ πραΰνετέ με, ὅτι οὐκ ἀνέξομαι ἐγὼ ὅτι ἐπικέφαλά με ἐκρέμασαν, σιδήροις ἐπερόνησαν τὰ σφυρά μου καὶ τὰς πτέρνας μου. καὶ σὺ ἀγαπητὲ τοῦ θεοῦ Ἰωάννη, πόσα αὐτοῖς διελέξω καὶ οὐχ ὑπηκούσθης. διὸ συγχωρήσατέ μοι καὶ καταράσομαι αὐτούς, καὶ ἐξολοθρευθήσονται ἐν ἑνί. καὶ ἤρξατο καταρᾶσθαι αὐτοὺς ἐπικαλούμενος καὶ κράζων ἑβραϊστί Ἀβαλώ, ἀρημούν, ἰδουθαήλ,

spiritu codex uterque | καὶ ϑυμός τε: Ven ϑυμὸς δέ | Ven om πᾶσι | καὶ νῦν οὖν: Par om καί | ἐχϑρὸς ὑμῶν: Par om ὑμῶν

25. Par om τούτους | Ἐδόξ. οὖν: Ven om οὖν | Par om σεαυτόν | ϑανατωϑήσῃ: Par ϑανατωϑεὶς | μίξαντες: Par σμίξαντες | Ven om οἱ ἱερεῖς τοῦ κρατῆσαι | ἀποδώσωμεν: Ven ἀποδῶμεν | ἐκδικῆσαι ἐμαυτόν: Par ἐκδ. αἷμα αὐτῶν | δὲ ἐπ' αὐτοῖς: Par δὲ πάντας

26. ἐραπίσϑη: Par a secunda manu ἐρραπ. | ἀνέξομαι ἐγώ: Ven. ἀνέξ. ὑμῶν | ἐπικέφαλα: Ven ἐπὶ κεφαλῆς | Ven ἐκρέμασάν με | ἐπερόνησαν: uterque codex ἐπερών. | Par om καὶ τ. πτέρν. μου | ὑπηκούσϑης: Par ὑπήκουσάν σου | Par καταράσομαι αὐτοῖς | Ἀβαλώ: Ven ἀβαλαῶ | ἀρημούν, ἰδουθαήλ:

Digitized by Google

θαρσελεών, ναχώθ, αἰδουνάφ, τελετελωί, τοῦτ' ἔστιν Ὁ πατὴρ τοῦ Χριστοῦ, ὁ μόνος καὶ παντοκράτωρ θεός, θεὲ ὃν φρίττουσιν πάντες αἰῶνες, ὁ δυνατὸς καὶ ἀπροσωπόληπτος δικαστής, οὗ τὸ ὄνομά ἐστιν ἐν τῇ σῇ δυναστείᾳ Σαβαώθ, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας· σὲ τρέμουσιν ἀρχαὶ καὶ ἐξουσίαι τῶν ἐπουρανίων καὶ τὰ ἐμβριμήματα τῶν χερουβικῶν ζώων τὰ πυρίπνοα· ὁ βασιλεὺς ὁ ἅγιος τῆς μεγαλειότητος, οὗ τὸ ὄνομα ἔφθασεν εἰς τὰ θηρία τῆς ἐρήμου καὶ ἡσύχασαν καὶ αἰσθητικῇ φωνῇ ἤνεσάν σε, ὁ ἐπιβλέπων ἡμῖν καὶ διδοὺς ἑτοίμως τὰ αἰτήματα ἡμῶν, ὁ ἐπιγνοὺς ἡμᾶς πρὸ τοῦ πλασθῆναι, ὁ ἐπίσκοπος πάντων· νῦν δέομαι, ἀνοιξάτω ὁ μέγας ᾅδης τὸ στόμα αὐτοῦ, ἡ ἄβυσσος ἡ μεγάλη καταπιέτω τοὺς ἀθέους τούτους τοὺς μὴ βουληθέντας χωρῆσαι τὸν λόγον τῆς ἀληθείας ἐν τῇ πόλει ταύτῃ· ναὶ Σαβαώθ. [27] Καὶ ἰδοὺ ἐξαίφνης ἠνεῴχθη ἡ ἄβυσσος, καὶ κατεπόθη ὅλος ὁ τόπος ἐν ᾧ ἐκάθητο ὁ ἀνθύπατος καὶ ὅλον τὸ ἱερὸν καὶ ἡ ἔχιδνα ἣν ἐσέβοντο, καὶ ὄχλοι πολλοὶ καὶ οἱ ἱερεῖς τῆς ἐχίδνης, ὡς ἄνδρες ἑπτακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων· πλὴν ὅπου ἦσαν οἱ ἀπόστολοι, ἔμειναν ἀσάλευτοι· καὶ ὁ ἀνθύπατος κατεπόθη εἰς τὴν ἄβυσσον. καὶ ἦσαν αἱ φωναὶ αὐτῶν ἀνερχόμεναι κάτωθεν, μετὰ κλαυθμοῦ λέγοντες Ἐλέησον ἡμᾶς ὁ τῶν ἐνδόξων σου ἀποστόλων θεός, ὅτι ἄρτι ὁρῶμεν τὰς κρίσεις τῶν μὴ ὁμολογησάντων τὸν σταυρωθέντα· ἰδοὺ ὁ σταυρὸς φωτίζει ἡμᾶς. Ἰησοῦ Χριστέ, ἐμφανίσθητι ἡμῖν, ὅτι ζῶντες πάντες κατερχόμεθα εἰς τὸν ᾅδην καὶ μαστιζόμεθα, ὅτι ἀδίκως τοὺς σοὺς ἀποστόλους ἐσταυρώσαμεν. καὶ ἠκούσθη φωνὴ λέγοντος Ἵλεως ἔσομαι ὑμῖν ἐν τῷ φωτεινῷ σταυρῷ.

[28] Ἀπέμειναν δὲ ὅ τε Στάχυς καὶ πᾶς ὁ οἶκος αὐτοῦ, καὶ ἡ τοῦ ἀνθυπάτου γυνὴ καὶ ἄλλαι πεντήκοντα γυναῖκες αἵτινες ἐπίστευσαν σὺν αὐτῇ ἐπὶ τὸν κύριον, καὶ ἄλλο πλῆθος ἀνδρῶν τε

Ven ἀρημοβυεῖ, δουϑαήλ | ϑαρσελεών: Par ϑαρσελεήν | ναχώϑ: Ven ναχαώϑ | αἰδουνάφ: Ven ἰδουνάφ | τελετελωί (Par -λώη): Ven τελετελοεῖν | ὁ μόνος καί: Ven om καί | πάντες αἰῶνες: Ven οἱ πάντες δι' αἰῶνος | Σαβαώϑ: Par cum seqq. coniungit, Ven cum antecedd. | ἐμβριμήματα: Par ὀμβρήματα | Par om τὰ πυρίπνοα | αἰσϑητικῇ: Ven αἰσϑητῇ | ἡ ἄβυσσος: Ven om ἡ | καταπιέτω: Par καὶ καταπ.

27. ὡς ἄνδρες: Par ἄνδρ. ὡς | Par om ἄρτι | Ven ὁμολογούντων | ἐμφανίσϑητι (Par -νίϑητι): Ven φάνηϑι | λέγοντος: Par λέγουσα | Ἵλεως ἔσ. ὑμῖν: Par ἵλεος, et om ὑμῖν

28. ἀνδρῶν τε: Par om τε

Digitized by Google

καὶ γυναικῶν, καὶ παρθένοι ἑκατὸν αἵτινες οὐ κατεποντίσθησαν διὰ τὴν ἁγνείαν αὐτῶν, ἐσφραγισμέναι τῇ σφραγῖδι τοῦ Χριστοῦ.

[29] Τότε ὁ κύριος φανεὶς τῷ Φιλίππῳ εἶπεν Ὦ Φίλιππε, οὐκ ἤκουσας Μὴ ἀποδώσῃς κακὸν ἀντὶ κακοῦ, καὶ διὰ τί τοσοῦτον ἔπληξας ἀφανισμόν; ὦ Φίλιππε, τίς θέμενος τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν αὐτοῦ ἡ αὖλαξ; ἢ τίς παραχωρεῖ τὸν ἑαυτοῦ λύχνον ἑτέρῳ, καὶ αὐτὸς ἐν σκότει καθέζεται; ἢ τίς καταλιμπάνει τὸ ἑαυτοῦ οἰκητήριον, καὶ αὐτὸς οἰκεῖ ἐν κοπρίᾳ; τίς δὲ ἐάσας τὸ ἑαυτοῦ ἔνδυμα ἐν χειμῶνι πορεύεται γυμνός; ἢ τίς χαρήσεται ἐχθρὸς ἐν τῇ χαρᾷ τοῦ μισοῦντος αὐτόν; τίς δὲ στρατιώτης πορεύεται ἐπὶ πόλεμον ἄνευ πανοπλίας; τίς δὲ δοῦλος πληρώσας τὸ τοῦ κυρίου αὐτοῦ πρόσταγμα οὐκ ἐπαινεθήσεται; τίς δὲ ἐν σταδίῳ γενναίως δραμὼν οὐ λαμβάνει τὸ βραβεῖον; τίς δὲ πλύνας τὰ ἱμάτια αὐτοῦ ἡδέως αὐτὰ μολύνει; ἰδοὺ ὁ νυμφών μου ἕτοιμός ἐστιν, ἀλλὰ μακάριός ἐστιν ὁ εὑρεθεὶς ἐν αὐτῷ ἔχων τὸ ἔνδυμα λαμπρόν· αὐτός ἐστιν ὁ λαμβάνων τὸν στέφανον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. ἰδοὺ τὸ δεῖπνον ἕτοιμον, καὶ μακάριος ὁ καλούμενος καὶ ἕτοιμος γενάμενος ἐλθεῖν πρὸς τὸν κεκληκότα αὐτόν. πολύς ἐστιν ὁ θερισμὸς τοῦ ἀγροῦ, μακάριος δέ ἐστιν ὁ ἐργάτης ὁ καλός. ἰδοὺ τὰ κρίνα καὶ πάντα τὰ ἄνθη· ὁ δὲ καλὸς γεωργός ἐστιν ὁ πρῶτος μεταλαμβάνων αὐτῶν. πῶς δὲ σὺ γέγονας, ὦ Φίλιππε, ἄσπλαγχνος, καταρασάμενος τοὺς ἐχθρούς σου ἐν ὀργῇ;

[30] Λέγει ὁ Φίλιππος Τί μοι ὀργίζῃ, κύριε, ὅτι κατηρασάμην τοὺς ἐχθρούς μου; διὰ τί γὰρ οὐ πατάσσεις αὐτούς, ὅτι ἔτι ζῶσιν εἰς τὴν ἄβυσσον; καὶ σὺ ἐπίστασαι, κύριε, ὅτι διὰ σὲ ἦλθον εἰς τὴν πόλιν ταύτην, καὶ ἐν τῷ σῷ ὀνόματι ἐδίωξα πᾶσαν

καὶ παρθ. ἑκατ. αἵτινες οὐ κατεποντ.: Par corrupte καὶ ἄλλαι ἑκατὸν αἷς οὐ καὶ κατεπ. | ἐσφραγισμέναι: Par add γὰρ ἦσαν

29. τοσοῦτον ἔπληξας ἀφανισμόν: Ven τοσοῦτον πλῆθος παρέδωκας ἀφανισμῷ | θέμενος: Par βαλών | αὖλαξ: hoc accentu uterque codex | λύχνον ἑτέρῳ: Par λύχν. ἕτερον | καταλιμπάνει: Par καταλείπει (cod. -λείπη) | χαρήσεται: Par χαρίσεται | τοῦ κυρ. αὐτοῦ: Ven om αὐτοῦ | ἀλλὰ μακάριός ἐστιν: Ven καὶ μακάριος | τὸ ἔνδυμα: Ven om τό | αὐτός ἐστιν: Par αὐτ. γάρ ἐστιν | γενάμενος: Ven γενόμενος

30. καὶ σύ: Ven om καί | ἐν τῷ σῷ: Par om ἐν | πᾶσαν τὴν πλάνην τῶν εἰδώλων: Ven om τὴν et τῶν

Digitized by Google

τὴν πλάνην τῶν εἰδώλων καὶ πάντα τὰ δαιμόνια; οἱ δράκοντες ἐξηράνθησαν καὶ οἱ ὄφεις· ἐπειδὴ δὲ οὗτοι οὐκ ἐδέξαντό σου τὸ φῶς, διὰ τοῦτο κατηρασάμην αὐτοὺς καὶ κατέβησαν εἰς ᾅδου ζῶντες.

[31] Καὶ λέγει ὁ σωτὴρ τῷ Φιλίππῳ Ἀλλ' ἐπειδὴ παρήκουσάς μου, καὶ ἀπέδωκας κακὸν ἀντὶ κακοῦ καὶ οὐκ ἐφύλαξας τὴν ἐντολήν μου, διὰ τοῦτο τελειωθήσῃ μὲν ἐνδόξως καὶ χειραγωγηθήσῃ ὑπὸ τῶν ἁγίων μου ἀγγέλων καὶ ἐλεύσῃ μετ' αὐτῶν ἕως τοῦ παραδείσου τῆς τρυφῆς, καὶ αὐτοὶ μὲν ἐλεύσονται πρὸς μὲ εἰς τὸν παράδεισον, σὲ δὲ κελεύσω ἀποκλεισθῆναι ἔξω τοῦ παραδείσου ἕως ἡμερῶν τεσσαράκοντα, θαμβούμενον ὑπὸ τῆς φλογίνης καὶ στρεφομένης ῥομφαίας, καὶ στενάξεις ὅτι ἐκάκωσας τοὺς κακώσαντάς σε· καὶ μετὰ τεσσαράκοντα ἡμέρας ἀποστελῶ τὸν ἀρχάγγελόν μου Μιχαὴλ καὶ κρατήσας τὴν ῥομφαίαν τὴν φυλάσσουσαν τὸν παράδεισον εἰσάξει σε ἐν αὐτῷ, καὶ ὄψει πάντας τοὺς δικαίους οἵτινες ἐν τῇ ἀκακίᾳ αὐτῶν ἐπορεύθησαν, καὶ τότε προσκυνήσεις τὴν δόξαν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· πλὴν τὸ σημεῖον τῆς ἐξελεύσεώς σου δοξασθήσεται ἐν τῷ σταυρῷ μου. καὶ ὁ Βαρθολομαῖος δὲ ἀπελθὼν ἐν Λυκαονίᾳ καὶ αὐτὸς ἐκεῖ σταυρωθήσεται· ἡ δὲ Μαριάμμη τὸ σῶμα αὐτῆς ἀποτίθεται ἐν τῷ Ἰορδάνῃ ποταμῷ. ἐγὼ δέ, ὦ Φίλιππε, οὐκ ἀνέξομαί σου, ὅτι κατεπόντισας τοὺς ἀνθρώπους εἰς τὴν ἄβυσσον· ἀλλ' ἰδοὺ τὸ πνεῦμά μου ἐν αὐτοῖς, καὶ ἀναγάγω αὐτούς, καὶ οὕτως ἰδόντες σε πιστεύσωσιν ἐν τῇ δόξῃ τοῦ ἀποστείλαντός σε.

[32] Καὶ στραφεὶς ὁ σωτὴρ ἀνέτεινεν τὴν ἑαυτοῦ χεῖρα καὶ ἐχάραξεν σταυρὸν ἐν τῷ ἀέρι καταβαίνοντα ἀπὸ τῶν ἄνω ἕως τῆς ἀβύσσου, καὶ ἦν πλήρης φωτὸς καὶ εἶχεν τὸν τύπον καθ' ὁμοιό-

---

31. Ἀλλ' ἐπειδή: Ven om Ἀλλ' | καὶ αὐτοὶ μέν: Par om μέν | ὑπὸ τῆς φλογίνης καὶ στρεφ. (Ven om καὶ στρεφ.) ῥομφαίας: Par ὑπὸ τὴν φλογίνην κ. στρεφομένην ῥομφαίαν | Par στενάξῃς | καὶ κρατήσας τὴν ῥομφ. τ. φυλ. τ. παρ. εἰσάξει σε ἐν αὐτῷ: Par καὶ κρατήσει (cod. -ση) τ. ῥ. τ. φ. τ. παράδεισον | Par προσκυνήσῃς | τοῦ ἐν οὐρανοῖς: Ven ἐν τοῖς οὐρανοῖς | ἐξελεύσεως: Ven ἐλεύσεως | καὶ ὁ Βαρθ. δέ: Par om δέ | Par Λυκαωνία

32. τ. ἑαυτ. χεῖρα: Par τ. χεῖρ. αὐτοῦ | καταβαίνοντα usque ἕως τ. ἀβύσσου ex Ven; Par nil nisi διαβαῖνον | καὶ ἦν πλήρης φωτός: Ven καὶ ἐπλήσθη ἡ ἄβυσσος φωτός | καὶ εἶχεν usque κλίμακος: Ven καὶ ἦν ὁ σταυρὸς ἐν ὁμοιώματι κλίμακος ἐχούσης βαθμούς, praetereaque Ven h. l. haec add: καὶ ἐφώνη-

τητα κλίμακος· πᾶν δὲ τὸ πλῆθος τὸ ἀπὸ τῆς πόλεως τῶν καταβεβηκότων εἰς τὴν ἄβυσσον ἀνήρχοντο ἐν τῇ κλίμακι τοῦ φωτεινοῦ σταυροῦ· ἔμεινεν δὲ κάτω ὁ ἀνθύπατος καὶ ἡ ἔχιδνα ἣν ἐσέβοντο. ὅτε δὲ ἀνῆλθον οἱ ὄχλοι, ἐμβλέψαντες εἰς τὸν Φίλιππον κατὰ κεφαλῆς κρεμάμενον ἐκόψαντο κοπετὸν μέγαν ἐπὶ τῇ παρανομίᾳ ᾗ ἐποίησαν· εἶδον δὲ καὶ τὸν Βαρθολομαῖον καὶ τὴν Μαριάμμην ἔχουσαν τὸν πρῶτον τύπον. καὶ ἰδοὺ ἀνῆλθεν ὁ κύριος εἰς τοὺς οὐρανοὺς βλεπόντων τοῦ τε Φιλίππου καὶ τοῦ Βαρθολομαίου καὶ τῆς Μαριάμμης καὶ τοῦ Στάχυος καὶ πάντων τῶν ἀπίστων λαῶν, καὶ ἦσαν σιγῇ δοξάζοντες τὸν θεὸν ἐν φόβῳ καὶ τρόμῳ. πάντες δὲ οἱ ὄχλοι ἔκραξαν λέγοντες Εἷς θεὸς ὃν κηρύττουσιν οὗτοι οἱ ἄνθρωποι ἐν ἀληθείᾳ· εἷς θεὸς ὁ ἀποστείλας αὐτοὺς ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ. μετανοοῦμεν νῦν ἀληθῶς ἐπὶ τῇ μεγάλῃ ἡμῶν πλάνῃ, ὅτι οὔπω ἐσμὲν ἄξιοι τῆς αἰωνίου ζωῆς· νῦν πιστεύομεν ὅτι ἐθεασάμεθα μεγάλα θαυμάσια, ὅτι ἀνήγαγεν ἡμᾶς ὁ σωτὴρ ἀπὸ τῆς ἀβύσσου. καὶ ἔπεσαν πάντες ἐπὶ πρόσωπον καὶ προσεκύνησαν τῷ Φιλίππῳ, καὶ παρεκάλουν ἕτοιμοι ὄντες τοῦ φυγεῖν, μὴ ποιήσῃ ἕτερον σημεῖον καὶ πάλιν ἀποπέμψῃ ἡμᾶς εἰς τὴν ἄβυσσον, καὶ ἐδέοντο ἵνα ἄξιοι γένωνται τῆς τοῦ Χριστοῦ παρουσίας.

[33] Ὁ δὲ Φίλιππος ἔτι κρεμάμενος προσεφώνησεν αὐτοῖς καὶ εἶπεν Ἀκούσατε καὶ μάθετε πόσαι εἰσὶν αἱ δυνάμεις τοῦ θεοῦ μου, ἀναμιμνησκόμενοι ἅπερ κάτω ἴδετε, καὶ πῶς ἡ πόλις ὑμῶν κατεστράφη πλὴν τῆς οἰκίας τοῦ εἰσδεξαμένου με· καὶ νῦν ἡ γλυκύτης τοῦ θεοῦ μου ἀνήγαγεν ὑμᾶς ἐκ τῆς ἀβύσσου, κἀγὼ ὀφειλέτης εἰμὶ τεσσαράκοντα ἡμέρας κύκλῳ τοῦ παραδείσου περισκοπεύων δι' ὑμᾶς, ὅτι ὀργίσθην ὑμῖν εἰς ἀνταπόδοσιν· καὶ

σεν φωνῇ ὁ σωτὴρ τοῖς ἐν τῷ ἀβύσσῳ λέγων Ἀνέλθετε πάντες διὰ τοῦ σταυροῦ· ὅτι ὁ ἀπόστολος Φίλιππος νῦν ἐσπλαγχνίσθη ἐφ' ὑμᾶς δι' ἐμέ, ἵνα πάλιν θεάσησθε τὸ φῶς τοῦ θεοῦ. | πᾶν δὲ τό usque κλίμακι τοῦ σταυροῦ: Ven καὶ ἰδοὺ ὅλον τὸ πλῆθος τῶν κατενεχθέντων εἰς τὴν ἄβυσσον ἀνέβησαν | Par κρεμμάμενον et h. l. et alibi | κοπετόν: Ven add καὶ θρῆνον | Par ὁ κύρ. ἀνῆλθ. | τοῦ τε: Ven om τε | πιστεύομεν: Par πιστεύωμεν | ἔπεσαν: Ven ἔπεσον | Ven om καὶ πάλ. ἀποπέμψ. ἡμ. ε. τ. ἄβυσσον | Par γένονται | τ. Χριστ. παρουσίας: Par τ. κυρίου εὐχαριστείας

33. τ. θε. μου usque ἴδετε ex Ven; Par τ. θε. ἡμῶν, ἵνα μνησκόμενοι ὅπερ κάτω ἴδωμεν | Par ἡ πόλις ἡμῶν | ἀνήγαγ. ὑμᾶς: Par ἀν. ἡμᾶς | καὶ ταύ-

ταύτην μόνην τὴν ἐντολὴν οὐκ ἐφύλαξα, ὅτι οὐκ ἔδωκα ὑμῖν ἀντάλλαγμα τοῦ κακοῦ τὸ ἀγαθόν. ἀλλὰ λέγω ὑμῖν, ἀπὸ τοῦ νῦν ἐν τῇ ἀγαθότητι τοῦ θεοῦ ἀποβάλετε τὴν κακίαν, ὅπως ἄξιοι γένησθε τῆς τοῦ κυρίου εὐχαριστίας.

34 Τινὲς δὲ τῶν πιστῶν προσέδραμον ἵνα καθέλωσιν τὸν Φίλιππον καὶ ἀροῦσιν ἀπ' αὐτοῦ τοὺς σιδηροῦς κόρακας καὶ τοὺς ὀγκίνους ἐκ τῶν σφυρῶν. ὁ δὲ Φίλιππος εἶπεν Μὴ τεκνία, μὴ ἐγγίσητέ μοι ἕνεκεν τούτου, ὅτι οὕτως ἔσται ἡ τελείωσίς μου. ἀκούσατέ μου οἱ φωτισθέντες ἐν κυρίῳ, ὅτι ἦλθον εἰς τὴν πόλιν ταύτην οὐκ ἐμπορίαν τινὰ ποιήσασθαι, οὐκ ἄλλην τινὰ πρᾶξιν, ἐκληρώθην δὲ ἐξελθεῖν ἐκ τοῦ σώματός μου εἰς τὴν πόλιν ταύτην ἐν ᾧ ὁρᾶτε με σχήματι. μὴ οὖν λυπηθῆτε ὅτι κρέμαμαι οὕτως· τὸν γὰρ τύπον φέρω τοῦ πρώτου ἀνθρώπου, κατὰ κεφαλῆς ἐνεχθέντος ἐπὶ τῆς γῆς καὶ πάλιν διὰ ξύλου τοῦ σταυροῦ ζωοποιηθέντος ἐκ τοῦ θανάτου τῆς παραβάσεως. καὶ νῦν ἀποπληρῶ τὸ προσταχθέν μοι· εἶπεν γάρ μοι ὁ κύριος Ἐὰν μὴ ποιήσητε ὑμῶν τὰ κάτω εἰς τὰ ἄνω, καὶ τὰ ἀριστερὰ εἰς τὰ δεξιά, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν μου. μὴ οὖν ὁμοιωθῆτε τῷ ἀντιπαρηλλαγμένῳ τύπῳ, ὅτι πᾶς κόσμος ἐνήλλακται, καὶ πᾶσα ψυχὴ ἀναστρεφομένη ἐν σώματι γίνεται ἐν λήθῃ τῶν ἐπουρανίων· ἡμεῖς δὲ ἔχοντες τὴν τῶν ἐπουρανίων δόξαν μὴ ζητήσωμεν τὸ ἐκτός, ὅπερ ἐστὶν τὸ σῶμα καὶ ὁ οἶκος τῆς δουλείας. μὴ γίνεσθε ἄπιστοι ἀλλὰ πιστοί, καὶ ἀφίετε ἀλλήλοις τὰ παραπτώματα. ἰδοὺ κρέμαμαι ἡμέρας ἓξ, ἔχω δὲ μέμψιν παρὰ τοῦ ἀληθινοῦ κριτοῦ, ὅτι ὅλως ἀπέδωκα ὑμῖν κακόν, καὶ ἐπέθηκα πρόσκομμα τῇ εὐθύτητί μου. καὶ νῦν ἀνέρχομαι εἰς ὕψος· μὴ γίνεσθε στυγνοὶ ἀλλὰ μᾶλλον χάρητε ὅτι καταλιμπάνω τὸ κατοικητήριον τοῦτο τὸ

την: Par om καί | Par ἀντάλαγμα | Par ὅπως ἄξιοι γενέσθαι | κυρίου: Par θεοῦ

34. προσέδραμον: Ven ἔδραμον | ἀπ' αὐτοῦ: Par om ἀπ' | ἐγγίσητέ μοι: Par ἐγγίσατέ με | ἔσται: Par ἐστίν | εἰς τ. π. ταύτην: Par ἐν τῇ πόλει ταύτῃ | σχήματι: Par ἐν σχήματι | διὰ ξύλου τοῦ σταυροῦ: Ven διὰ τοῦ σταυροῦ τοῦ ξύλου | ζωοποιηθέντος: Ven ζωοποιήσαντος | καὶ νῦν: Par om καί | Par ἀντιπαρηλαγμένῳ | ἐπουρανίων: Par a prima manu οὐρανίων | Ven om τὰ παραπτώματα | παρὰ τοῦ: Par om παρά | ὑμῖν κακόν: Ven ὑμῖν κακά | ἐπέθηκα: Ven ἔθηκα | χάρητε: Ven χαίρετε | τοῦτο τό: Par om τό

Digitized by Google

σῶμα μου, ἐκφυγὼν τὴν φθορὰν τοῦ δράκοντος τοῦ κολάζοντος ἅπασαν ψυχὴν τὴν ἐν ἁμαρτίαις οὖσαν.

35 Καὶ περιβλεψάμενος ὁ Φίλιππος κύκλῳ τοὺς ὄχλους εἶπεν Ὦ ὑμεῖς οἱ ἀνελθόντες ἐκ νεκρῶν ἀπὸ τοῦ ᾅδου καὶ τῆς καταποντίσεως τῆς ἀβύσσου, καὶ σταυρὸς φωτεινὸς ἀνήγαγεν ὑμᾶς εἰς τὸ ὕψος διὰ τὴν ἀγαθότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. οὗτος θεὸς ὢν ἄνθρωπος ἐγένετο, σαρκωθεὶς ἐκ τῆς παρθένου Μαρίας, ἀθάνατος μένων σαρκί, καὶ ἐν τῷ θανάτῳ γενόμενος ἤγειρεν τοὺς νεκρούς, ἐλεήσας τὸ τῶν ἀνθρώπων γένος, ἀνελὼν τὸ κέντρον τῆς ἁμαρτίας· μέγας ἦν καὶ ἐγένετο μικρὸς δι' ἡμᾶς, ἕως οὗ αὐξήσῃ τοὺς μικροὺς καὶ εἰσενέγκῃ εἰς τὸ μέγεθος αὐτοῦ. καὶ αὐτός ἐστιν ὁ ἔχων τὴν γλυκύτητα, καὶ ἐνέπτυσαν εἰς αὐτὸν ποτίσαντες αὐτὸν χολήν, ἵνα ποιήσῃ τοὺς πικρανθέντας τῆς γλυκύτητος αὐτοῦ γεύσασθαι. προσκολλήθητε οὖν αὐτῷ καὶ μὴ ἐγκαταλείψητε αὐτόν· αὐτὸς γάρ ἐστιν ἡ ζωὴ ἡμῶν εἰς τοὺς αἰῶνας.

36 Ὅτε δὲ ἐπλήρωσεν τὴν ἐπαγγελίαν ταύτην ὁ Φίλιππος, λέγει αὐτοῖς Λύσατε τὸν Βαρθολομαῖον. καὶ προσελθόντες ἔλυσαν αὐτόν. μετὰ δὲ τὸ λῦσαι αὐτὸν λέγει αὐτῷ ὁ Φίλιππος Βαρθολομαῖε ἀδελφέ μου ἐν κυρίῳ, οἶδας ὅτι ὁ κύριος ἀπέσταλκέν σε σὺν ἐμοὶ εἰς τὴν πόλιν ταύτην, καὶ ἐκοινώνησάς μοι εἰς πάντας τοὺς κινδύνους μετὰ τῆς ἀδελφῆς ἡμῶν Μαριάμμης· ἀλλὰ γινώσκω ὅτι ἡ ἔξοδος τοῦ σώματός σου ἐτάγη ἐν τῇ Λυκαονίᾳ, καὶ τῇ Μαριάμμῃ ἐκληρώθη ἐξελθεῖν ἀπὸ τοῦ σώματος εἰς τὸν Ἰορδάνην ποταμόν. νῦν οὖν ἐντέλλομαι ὑμῖν ὅτι ὅταν ἐξέλθω ἀπὸ τοῦ σώματός μου οἰκοδομήσατε εἰς τὸν τόπον τοῦτον ἐκκλησίαν. καὶ τὸν λεόπαρδον καὶ τὸν ἔριφον τῶν αἰγῶν ἐάσατε εἰς τὴν ἐκκλησίαν εἰς σημεῖον τῶν πιστευόντων, καὶ ἡ Νικανόρα δὲ προνοείσθω αὐτῶν ἕως ἂν ἐξέλθωσιν ἀπὸ τοῦ σώματος· καὶ ὅταν

ἅπασαν: Ven πᾶσαν

35. ἀνήγαγεν: Par ἀναγαγόντος (praeterea nihil differt) | τῆς παρθένου: Par om τῆς | ἕως οὗ: Par ἕως ἄν | εἰς αὐτόν: Ven om εἰς | πικρανθέντας: Par πικραθέντας | ἐγκαταλείψητε (codex -λίψητε): Par -λείψετε

36. μετὰ δὲ τὸ λῦσαι αὐτόν: Ven ὅτε οὖν ἔλυσαν αὐτόν | πάντας τούς: Par om τούς | Par rursus Λυκαωνίᾳ | ὅτι ὅταν (Par ὅτε): Ven om ὅτι | τὸν τόπ. τοῦτον: Par τοῦτ. τ. τόπ. | καὶ τὸν λεόπαρδον usque πύλωνα τῆς ἐκκλησίας

Digitized by Google

ἐξέλθωσιν, θάψατε αὐτὰ πρὸς τὸν πυλῶνα τῆς ἐκκλησίας. καὶ τὴν εἰρήνην ὑμῶν θέτε ἐν τῇ οἰκίᾳ τοῦ Στάχυος, ὥσπερ ὁ Χριστὸς ἔθηκεν τὴν ἑαυτοῦ εἰρήνην ἐν τῇ πόλει ταύτῃ. ἔστωσαν δὲ ἐν τῇ οἰκίᾳ ἐκείνῃ πᾶσαι αἱ παρθένοι αἱ πιστεύουσαι καθ' ἑκάστην ἡμέραν ἐπισκοποῦσαι τοὺς νοσοῦντας, βαδίζουσαι ἀνὰ δύο δύο, ἀλλὰ μὴ ὁμιλείτωσαν μετὰ νεανίσκων, ἵνα μὴ πειράσῃ αὐτὰς ὁ σατανᾶς· ὄφις γάρ ἐστιν ἕρπων, καὶ ἐποίησεν διὰ τῆς Εὔας τὸν Ἀδὰμ ὀλισθῆσαι εἰς θάνατον· μὴ οὕτως πάλιν ἔσται ἐν τῷ καιρῷ τούτῳ ὥσπερ ἐπὶ τῆς Εὔας. [37] Σὺ δὲ Βαρθολομαῖε, γενοῦ καλὸς δοκιμαστής, καὶ δώσεις τὰς παραγγελίας ταύτας τῷ Στάχυι καὶ καταστήσεις αὐτὸν ἐπίσκοπον. μὴ ἐμπιστεύσῃς δὲ τὸν τόπον τῆς ἐπισκοπῆς νεωτέρῳ, ἵνα μὴ καταισχυνθῇ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· πᾶς δὲ ὁ διδάσκων ἐχέτω τὰ ἔργα ἴσα τοῖς λόγοις. ἐγὼ δὲ ὑπάγω πρὸς τὸν κύριον, καὶ λάβε τὸ σῶμά μου καὶ ἐνταφίασον αὐτὸ ἐν χάρταις συριακαῖς, καὶ μὴ ἐπιβάλῃς μοι ὀθόνην λινῆν, ὅτι τὸ σῶμα τοῦ κυρίου ἐν σινδόνι εἱλίχθη. καὶ ἐνταφιάσας μου τὸ σῶμα ἐν ταῖς χάρταις σφίγξον αὐτὸ παπύροις, καὶ χῶσον αὐτὸ ἐν τῇ ἐκκλησίᾳ· καὶ γίνεσθε εὐχόμενοι ὑπὲρ ἐμοῦ ἐπὶ ἡμέρας τεσσαράκοντα, ἵνα ἀφῇ μοι ὁ κύριος τὴν παράβασιν ἣν παρέβην ἀποδώσας τοῖς κακοποιήσασίν μοι. ἴδε ὦ Βαρθολομαῖε, ὅπου στάξει τὸ αἷμά μου ἐπὶ τὴν γῆν, φυτὸν ἀνατελεῖ ἀπὸ τοῦ αἵματός μου, καὶ γενήσεται ἄμπελος καὶ ποιήσει καρπὸν σταφυλῆς· καὶ λαβόντες τὸν βότρυν ἀποθλίψατε αὐτὸν εἰς τὸ ποτήριον, καὶ μεταλαβόντες εἰς τὴν τρίτην ἡμέραν ἀναπέμψατε εἰς ὕψος τὸ ἀμήν, ἵνα γένηται τελεία προσφορά.

[38] Καὶ εἰπὼν ταῦτα ὁ Φίλιππος ηὔξατο οὕτως Κύριε Ἰησοῦ Χριστὲ ὁ πατὴρ τῶν αἰώνων, βασιλεῦ τοῦ φωτός, ὁ σοφίσας ἡμᾶς ἐν τῇ σοφίᾳ σου καὶ δοὺς ἡμῖν τὴν σὴν σύνεσιν, ἐχαρίσω

---

ex solo Ven; Par omnia om | ϑέτε: Ven ϑέσϑε | ὁ Χριστός: Ven ὁ κύριος | ἐπισκοποῦσαι: Ven ἐπισκέπτουσαι | πειράσῃ αὐτάς: Ven πειρ. αὐτούς

37. δώσεις et καταστήσεις ex Ven; Par δώσης et καταστήσης | μὴ ἐμπιστεύσῃς usque νεωτέρῳ (codex νεώτερον): haec Ven om | ἐνταφίασον: Par ἐνταφίασαι | λινῆν: Par λινοῦν | εἱλίχϑη: Ven ἐνειλήϑη | καὶ ἐνταφιάσας: Ven ἐνταφίασον, posteaque καὶ σφίγξον | παπύροις: Par a sec. manu παπυρίοις | ὅπου στάξει: Par πῶς στάζη | Par ἐπὶ τῆς γῆς, φοιτὸν δὲ ἀνατελεῖ | ποιήσει: Par ποιήση

δὲ ἡμῖν τὴν βουλὴν τῆς ἀγαθότητός σου, ὁ μηδέποτε χωρισθεὶς ἡμῶν, σὺ εἶ ὁ αἴρων τὴν νόσον τῶν καταφευγόντων εἰς σέ, σὺ εἶ ὁ υἱὸς τοῦ ζῶντος θεοῦ, ὁ δεδωκὼς ἡμῖν τὴν σὴν παρουσίαν τῆς σοφίας, ὁ δεδωκὼς ἡμῖν σημεῖα καὶ τέρατα καὶ ἐπιστρέψας τοὺς πλανηθέντας, ὁ στεφανῶν τοὺς νικῶντας τὸν ἀντίπαλον, ὁ καλὸς ἀγωνοθέτης· ἐλθὲ νῦν Ἰησοῦ καὶ δός μοι τὸν στέφανον τῆς νίκης τὸν αἰώνιον κατὰ πάσης ἐναντίας ἀρχῆς καὶ ἐξουσίας, καὶ μὴ καλυψάτω με ὁ σκοτεινὸς αὐτῶν ἀήρ, ὅπως διαπεράσω τὰ τοῦ πυρὸς ὕδατα καὶ πᾶσαν τὴν ἄβυσσον. κύριέ μου Ἰησοῦ Χριστέ, μὴ σχῇ χώραν ὁ ἐχθρὸς κατηγορῆσαί μου ἐπὶ τοῦ βήματός σου, ἀλλὰ ἔνδυσόν με τὴν ἔνδοξόν σου στολήν, τὴν φωτεινήν σου σφραγῖδα τὴν πάντοτε λάμπουσαν, ἕως οὗ παρέλθω πάντας τοὺς κοσμοκράτορας καὶ τὸν πονηρὸν δράκοντα τὸν ἀντικείμενον ἡμῖν. νῦν οὖν κύριέ μου Ἰησοῦ Χριστὲ ποίησόν μοι ἀπαντῆσαί σοι ἐν τῷ ἀέρι, χαρισάμενός μοι τὴν ἀνταπόδοσιν ἣν ἀνταπέδωκα τοῖς ἐχθροῖς μου, καὶ μεταμόρφωσον τὴν μορφὴν τοῦ σώματός μου ἐν ἀγγελικῇ δόξῃ καὶ ἀνάπαυσόν με ἐν τῇ μακαριότητί σου, καὶ λήψωμαι τὸ παρὰ σοῦ ἐπάγγελμα ὃ ἐπηγγείλω τοῖς ἁγίοις σου εἰς τοὺς αἰῶνας.

[39] Καὶ ταῦτα εἰπὼν ὁ Φίλιππος παρέδωκεν τὸ πνεῦμα, πάντων τῶν ὄχλων βλεπόντων εἰς αὐτὸν καὶ κλαιόντων καὶ λεγόντων Ἐπληρώθη ἐν εἰρήνῃ ὁ βίος τούτου τοῦ πνεύματος, καὶ ἔλεγον τὸ ἀμήν.

[40] Ὁ δὲ Βαρθολομαῖος καὶ ἡ Μαριάμμη καθεῖλαν τὸ σῶμα αὐτοῦ καὶ ἐποίησαν καθ' ἃ ἐνετείλατο αὐτοῖς ὁ Φίλιππος, καὶ ἔθαψαν αὐτὸν ἐν ἐκείνῳ τῷ τόπῳ. φωνὴ δὲ εὐθέως ἐκ τῶν οὐρανῶν ἐγένετο Φίλιππος ὁ ἀπόστολος ἐστεφάνωται τὸν τῆς ἀφθαρσίας στέφανον ὑπὸ τοῦ ἀγωνοθέτου Ἰησοῦ Χριστοῦ. καὶ πάντες ἔκραξαν τὸ ἀμήν.

---

38. χωρισθεὶς ἡμῶν: Par χωρ. ἡμῖν | Ven om ὁ υἱὸς τ. ζῶντ. θεοῦ, ὁ δεδ. usque τῆς σοφίας | ἀντίπαλον: Par ἀντίδικον | δός μοι: Par δὸς ἡμῖν | τὸν αἰώνιον: Ven om τόν | ἀλλά: Ven ἀλλ' | ἔνδυσ. με: Par ἔνδ. μοι | ἕως οὗ: Par ἕως ἄν | νῦν οὖν: Par om οὖν | Par ἀνταπόδωσιν, item supra | λήψωμαι: Ven λήψομαι | αἰῶνας: Ven add ἀμήν

39. καὶ κλαιόντων: Par om καί

40. καθεῖλαν: Ven καθεῖλον | καθ' ἃ ut Par: Ven καθά | ὁ Φίλιππος: Par om ὁ | ἔθαψ. αὐτόν: Par ἔθ. αὐτό | Ven om εὐθέως | Ἰησοῦ Χριστοῦ: Par om Ἰησοῦ

Digitized by Google

41 Μετὰ δὲ τὰς τρεῖς ἡμέρας ἐβλάστησεν τὸ φυτὸν τῆς ἀμπέλου ὅπου ἔσταξε τὸ αἷμα τοῦ ἁγίου Φιλίππου. καὶ ἐποίησαν πάντα τὰ ἐντεταλμένα αὐτοῖς παρ' αὐτοῦ, ἐπὶ ἡμέρας τεσσαράκοντα προσφέροντες προσφοράν, ἀδιαλείπτως προσευχόμενοι. καὶ ᾠκοδόμησαν τὴν ἐκκλησίαν ἐν τῷ τόπῳ ἐκείνῳ, καταστήσαντες τὸν Στάχυν ἐπίσκοπον ἐν τῇ ἐκκλησίᾳ· καὶ ἡ Νικανόρα δὲ καὶ πάντες οἱ πιστοὶ συνήγοντο καὶ οὐ διέλειπον πάντες δοξάζοντες τὸν θεὸν διὰ τὰ θαυμάσια τὰ γεγενημένα ἐπ' αὐτούς. καὶ πᾶσα ἡ πόλις ἐπίστευσεν εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ· ἐνετείλατο δὲ ὁ Βαρθολομαῖος τῷ Στάχυι βαπτίζειν τοὺς πιστεύοντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

42 Μετὰ δὲ τὰς τεσσαράκοντα ἡμέρας φανεὶς ὁ σωτὴρ ἐν μόρφῃ τοῦ Φιλίππου εἶπεν τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμμῃ Ἀδελφοί μου ἠγαπημένοι, θέλετε ἀναπαῆναι ἐν τῇ ἀναπαύσει τοῦ θεοῦ; ἠνοίχθη μοι ὁ παράδεισος καὶ εἰσῆλθον ἐν τῇ δόξῃ τοῦ Ἰησοῦ. ἀπέλθατε εἰς τὸν τόπον τὸν κεκληρωμένον ὑμῖν· τὸ γὰρ φυτὸν τὸ ὁρισμένον καὶ φυτευθὲν ἐν τῇ πόλει ταύτῃ καρποφορεῖ καλῶς. ἀσπασάμενοι οὖν τοὺς ἀδελφοὺς καὶ ἐπευξάμενοι ἑκάστῳ αὐτῶν ἐξῆλθον ἀπὸ τῆς πόλεως Ὀφιορύμης τῆς Ἱεραπόλεως τῆς Ἀσίας, καὶ ὁ Βαρθολομαῖος ἀπῆλθεν εἰς τὴν Λυκαονίαν, ἡ δὲ Μαριάμμη ἐπορεύθη ἐν τῷ Ἰορδάνῃ· ὁ δὲ Στάχυς καὶ οἱ σὺν αὐτῷ ἔμειναν κατέχοντες τὴν ἐκκλησίαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

41. Par om ὅπου ἔστ. usque τ. ἁγ. Φιλίππου | παρ' αὐτοῦ: Par ὑπὸ τοῦ ἁγίου Φιλίππου | Ven προσφέρ. προσφορὰς καὶ ἀδ. | γεγενημένα: Par γενόμενα | ἐπ' αὐτούς: Par ἐπ' αὐτοῖς | πνεύματος: Ven add ἵνα λέγωσιν ἀμήν.

42. τὰς τεσσαράκοντα: Par om τάς | Ven ἐφάνη et καὶ εἶπεν | θέλετε ἀναπαῆναι: Par τὸ λοιπὸν ἀναπαύεσθε (cod. -σθαι) | Ven ἀπέλθετε | δόξῃ τοῦ Ἰησοῦ: Par δ. τ. υἱοῦ (habet ῡῡ pro ιυ) | τῆς Ἱεραπόλεως: Ven om τῆς | ἐν τῷ Ἰορδάνῃ: Ven εἰς τὸν Ἰορδάνην ποταμόν

ΠΡΑΞΕΙΣ ΤΟΥ ΑΓΙΟΥ ΦΙΛΙΠΠΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΟΤΕ ΕΙΣΗΛΘΕΝ ΕΙΣ ΤΗΝ ΕΛΛΑΔΑ ΤΗΝ ΑΝΩ.

1 Ἐγένετο δὲ ἐν ἐκείναις ταῖς ἡμέραις ὅτε εἰσῆλθεν Φίλιππος εἰς τὴν πόλιν τῶν Ἀθηνῶν τὴν καλουμένην Ἑλλάδα, συνήχθησαν παρ' αὐτῷ τριακόσιοι φιλόσοφοι λέγοντες Ἀπελθόντες ἀπέλθωμεν καὶ ἴδωμεν τίς ἡ σοφία αὐτοῦ. λέγουσιν γὰρ περὶ τῶν σοφῶν τῆς Ἀσίας ὅτι μεγάλη αὐτῶν ἐστὶν ἡ σοφία. ἔδοξαν γὰρ τὸν Φίλιππον εἶναι φιλόσοφον, ἐπειδὴ ἦν ὁδεύων σχήματι ἀποταχτικοῦ, καὶ οὐκ ἔγνωσαν ὅτι ἀπόστολός ἐστιν Χριστοῦ. τὸ γὰρ ἔνδυμα ὅπερ ἔδωκεν τοῖς ἀποστόλοις ὁ Ἰησοῦς ἐπενδύτης μόνον ἦν καὶ λέντιον· οὕτως οὖν περιοδεύων ἦν ὁ Φίλιππος. διὰ τοῦτο οὖν ὅτε ἐθεάσαντο αὐτὸν οἱ φιλόσοφοι τῆς Ἑλλάδος ἐφοβήθησαν· συνήχθησαν οὖν εἰς ἕνα τόπον καὶ ἐλάλησαν εἰς ἑαυτούς Δεῦτε ἐπισκεψώμεθα τὰς βίβλους ἡμῶν, μή πως νικήσῃ ἡμᾶς ὁ ξένος οὗτος καὶ αἰσχύνῃ ἡμᾶς.

2 Καὶ οὕτως ποιήσαντες συνῆλθον ἐπὶ τὸ αὐτὸ καὶ λέγουσι τῷ Φιλίππῳ ὅτι ἡμεῖς ἔχομεν μαθήματα τῶν πατέρων ἡμῶν, ἐν οἷς ἀρκούμεθα φιλοσοφοῦντες· εἰ δέ τι καινότερον ἔχεις, ὦ ξένε, ἐπίδειξον ἡμῖν ἀφθόνως μετὰ παρρησίας· οὐδενὸς γὰρ ἄλλου χρείαν ἔχομεν ἢ μόνον ἀκούειν τι καινότερον.

3 Ἀποκριθεὶς δὲ ὁ Φίλιππος εἶπεν αὐτοῖς Ὦ ἄνδρες φιλόσοφοι τῆς Ἑλλάδος, εἰ βούλεσθε καινοτέρου πράγματος ἀκοῦσαι

---

* Codex ΠΡΑΞΙΣ, item ΕΛΑΔΑ

1. Codex Ἑλάδαν. Alterum λ om plerumque. | Ἀπελθόντες. Nescio an praestet Συνελθόντες. | ἔδοξαν: codex ἔδοξεν

2. ἐπὶ τὸ αὐτό: codex ἐπὶ τῷ αὐτῷ

Digitized by Google

καὶ ἔστε ποθοῦντές τι καινότερον, ὀφείλετε ἀπορρῖψαι ἀφ' ἑαυτῶν τὸν νοῦν τοῦ παλαιοῦ ἀνθρώπου· ὡς εἶπεν ὁ κύριός μου ὅτι οὐ δυνατόν ἐστιν βάλλειν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, ἐπεὶ ῥήγνυται ὁ ἀσκὸς καὶ ἐκχύνεται ὁ οἶνος, καὶ ὁ ἀσκὸς ἀπολεῖται· ἀλλ' οἶνον νέον βάλλουσιν εἰς ἀσκοὺς καινούς, ἵνα ἀμφότερα φυλαχθῶσιν. ταῦτα δὲ εἶπεν ὁ κύριος ἐν παραβολαῖς διδάσκων ἡμᾶς ἐν τῇ ἁγίᾳ αὐτοῦ σοφίᾳ ὅτι πολλοὶ ἀγαπήσουσιν τὸν νέον οἶνον, μὴ ἔχοντες ἀσκὸν καινὸν καὶ νέον. ὑμᾶς μὲν ἀγαπῶ, ὦ ἄνδρες τῆς Ἑλλάδος, καὶ μακαρίζω ὑμᾶς εἰρηκότας ὅτι ἀγαπῶμέν τι καινότερον. καὶ γὰρ παιδείαν ὄντως νέαν καὶ καινὴν ἤνεγκεν ὁ κύριός μου εἰς τὸν κόσμον, ἵνα πᾶσαν ἐξαλείψῃ κοσμικὴν παίδευσιν.

4 Λέγουσιν οἱ φιλόσοφοι Τίς ἐστιν ὃν λέγεις κύριός σου; λέγει ὁ Φίλιππος ὅτι ὁ κύριός μού ἐστιν Ἰησοῦς ἐν οὐρανοῖς. οἱ δὲ εἶπον αὐτῷ Δεῖξον ἡμῖν αὐτὸν ἐν συνέσει χωρὶς φθόνου, ἵνα καὶ ἡμεῖς πιστεύσωμεν. ὁ δὲ Φίλιππος εἶπεν ὅτι ὃν μέλλω γνωρίζειν ὑμῖν κύριον ὑπεράνω ἐστὶν παντὸς ὀνόματος· ὅπερ οὐκ ἐστὶν ἄλλο. τοῦτο δὲ μόνον λέγω ὅτι, καθὼς εἰρήκατε Μὴ φθονήσῃς ἡμῖν, μὴ γένοιτό μοι φθονῆσαι ὑμῖν· ἀλλὰ μᾶλλον ἐν μεγάλῃ ἀγαλλιάσει καὶ ἐν μεγάλῃ χαρᾷ ἀποκαλύψαι ὑμῖν ἔχω τὸ ὄνομα ἐκεῖνο· ἄλλο γὰρ ἔργον οὐκ ἔχω ἐν τούτῳ τῷ κόσμῳ εἰ μὴ τὸ τοιοῦτον κήρυγμα. ὅτε γὰρ ἦλθεν ὁ κύριός μου εἰς τοῦτον τὸν κόσμον, ἐξελέξατο ἡμᾶς ὄντας τὸν ἀριθμὸν δώδεκα, πληρώσας ἡμᾶς πνεύματος ἁγίου· ἀπὸ τοῦ φωτὸς αὐτοῦ ἐποίησεν ἡμᾶς γνωρίζειν αὐτὸν τίς ἐστιν, καὶ ἐνετείλατο ἡμῖν εὐαγγελίζεσθαι πᾶσαν τὴν παρ' αὐτοῦ σωτηρίαν, ὅτι οὐκ ἔστιν ἕτερον ὄνομα ὀνομασθὲν ἐξ οὐρανοῦ εἰ μὴ τοῦτο. διὰ τοῦτο ἦλθον ἐγὼ πρὸς ὑμᾶς πληροφορῆσαι ὑμᾶς, οὐκ ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν ἀποδείξει θαυμασίων ἔργων ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

5 Ταῦτα δὲ ὅτε ἤκουσαν οἱ φιλόσοφοι, λέγουσιν τῷ Φιλίππῳ ὅτι τοῦτο τὸ ὄνομα τὸ ἀκουσθὲν ἐν ἡμῖν παρὰ σοῦ οὐδέποτε εὕραμεν ἐν ταῖς βίβλοις τῶν πατέρων ἡμῶν· νῦν οὖν πῶς δυνάμεθα γνῶναι περὶ τῶν ῥημάτων σου; ἔτι δὲ προσθέντες λέγουσιν

---

3. ἀπορρῖψαι: codex ἀπορρίψατε | βάλλειν et βάλλουσιν: codex βάλειν et βάλουσιν | ἐν παραβολαῖς: codex ἐμ παραβ. | παιδείαν: codex παιδίαν

4. ἄλλο: codex ἄλλος.

Digitized by Google

αὐτῷ ὅτι ἔασον ἡμᾶς τρεῖς ἡμέρας, ἵνα συμβουλευσόμεθα μετ' ἀλλήλων περὶ τοῦ ὀνόματος τούτου· οὐ γὰρ μικρῶς εἰς τοῦτο κείμεθα, ἀποστῆναι ἀπὸ τῆς πατρικῆς ἡμῶν δεισιδαιμονίας. λέγει οὖν αὐτοῖς ὁ Φίλιππος Βουλεύσασθε ὡς θέλετε· οὐ γὰρ δόλιον πρᾶγμά ἐστιν.

[6] Οἱ δὲ φιλόσοφοι ἀλλήλους συναθροίσαντες οἱ τριακόσιοι ἐλάλησαν μετ' ἀλλήλων λέγοντες Οἴδατε ὅτι ὁ ἀνὴρ οὗτος ξένην φιλοσοφίαν ἤγαγεν, καὶ οἱ λόγοι οἱ παρ' αὐτοῦ εἰρημένοι εἰς ἔκστασιν ἡμᾶς φέρουσιν· τί οὖν ποιήσωμεν περὶ αὐτοῦ ἢ περὶ τοῦ ὀνόματος τοῦ λεγομένου Ἰησοῦ τοῦ βασιλέως τῶν αἰώνων ὃν λέγει; καὶ ἔτι εἰς ἀλλήλους φασὶν ὅτι τάχα ἡμεῖς οὐ δυνάμεθα πρὸς αὐτὸν διαλέγεσθαι, εἰ μὴ ὁ ἀρχιερεὺς τῶν Ἰουδαίων. εἰ οὖν δοκεῖ, ἀποστείλωμεν πρὸς αὐτὸν ὅπως αὐτὸς ἐπιστῇ τῷ ξένῳ τούτῳ, καὶ ἀκριβῶς μάθωμεν τὸ εὐαγγελιζόμενον ὄνομα.

[7] Ἔγραψαν οὖν εἰς Ἱερουσαλὴμ τὸν τρόπον τοῦτον. Οἱ φιλόσοφοι τῆς Ἑλλάδος Ἀνανίᾳ τῷ μεγάλῳ ἀρχιερεῖ τῶν Ἰουδαίων τῷ ἐν Ἱερουσαλήμ. Μεγάλης οὔσης μετὰ σοῦ τε καὶ ἡμῶν ἐν πάντι τῷ καιρῷ .... ὡς ὅτι ἡμεῖς οἱ φιλοσοφούμενοι οἱ Ἀθηναῖοι γινώσκεις. ἦλθέν τις ἀνὴρ ξένος κατὰ τὴν Ἑλλάδα, Φίλιππος ὀνόματι, καὶ ἁπλῶς ἐτάραξεν ἡμᾶς σφόδρα ἔν τε λόγοις καὶ δυνάμεσιν ἐξαίσιος, καὶ εἰσφέρει ὄνομα ἐπίδοξον Ἰησοῦν, μαθητὴν ἐκείνου ἑαυτὸν ὁμολογῶν. ποιεῖ δὲ καὶ θαυμάσια ἅπερ γράφομέν σοι, ὅτι ἐξέβαλεν δαίμονας ἐγκεχρονικότας ἐν τοῖς ἀνθρώποις, καὶ κωφοὺς ποιεῖ ἀκούειν, τυφλοὺς βλέπειν· καὶ τὸ θαυμαστότερον, ὅπερ ἔδει καὶ πρῶτον σημᾶναι, ὅτι ἀνθρώπους ἴσως πεπληρωκότας τὸν ἀριθμὸν τοῦ βίου ἀποθανόντας ἀνέστησεν. ἡ δὲ φήμη αὐτοῦ διῆλθεν εἰς πᾶσαν τὴν Ἑλλάδα καὶ Μακεδονίαν, καὶ πολλοί εἰσιν οἱ ἐρχόμενοι πρὸς αὐτὸν ἀπὸ τῶν κύκλῳ πόλεων φέροντες τοὺς κακουμένους ποικίλαις νόσοις, καὶ πάντας ἰᾶται διὰ τοῦ ὀνόματος τοῦ Ἰησοῦ. διὰ τοῦτο τοίνυν ἄνευ πάσης φειδοῦς ἐλθὲ πρὸς ἡμᾶς, ἵνα αὐτὸς ἡμῖν ἀπαγγείλῃς τὸ τί βούλεται

---

6. φασίν: codex φησίν | ἀποστείλωμεν: codex ἀποστήλομεν

7. τῷ ἐν: codex τῶν ἐν | Inter καιρῷ et ὡς nonnihil excidisse apparet. | γινώσκεις: codex -σκης | ἐξέβαλεν: codex ἔβαλεν | Ἑλλάδα: codex Ἑλλάδαν | ἀπὸ τῶν κύκλῳ: codex ἀπὸ κύκλῳ τῶν

Digitized by Google

εἶναι τὸ ὄνομα τοῦτο ὃ διδάσκει, τὸν Ἰησοῦν. διὰ τοῦτο γὰρ καὶ ἀπεστείλαμέν σοι τήνδε τὴν ἐπιστολήν, ὦ ἀρχιερεῦ.

[8] Καὶ ὡς ἀνέγνω, ὀργῆς μεγάλης ἐπλήσθη, καὶ τὰ ἱμάτια αὐτοῦ διέρρηξεν καὶ φησίν Ἆρα ὅτι ὁ πλάνος ἐκεῖνος καὶ ἐν Ἀθήναις ἐν τοῖς φιλοσόφοις ἐχώρησεν ἀπατῆσαι αὐτούς; ὁ δὲ μανσημάτ, τοῦτ' ἔστιν ὁ σατανᾶς, ὑπεισῆλθεν εἰς τὸν Ἀνανίαν καὶ ἐπλήρωσεν αὐτὸν θυμοῦ καὶ ὀργῆς, καὶ εἶπεν ὅτι ἐὰν ἐάσω αὐτόν τε ἐκεῖνον τὸν Φίλιππον καὶ τοὺς μετ' αὐτοῦ ζῆσαι, πάντως ὁ νόμος λυθήσεται, καὶ ἡ διδασκαλία αὐτῶν ἴσως πληρώσει τὴν γῆν ὅλην. καὶ εἰσίει ὁ ἀρχιερεὺς εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ καὶ οἱ νομοδιδάσκαλοι καὶ οἱ Φαρισαῖοι, καὶ ἐνεβουλεύσαντο μετ' ἀλλήλων λέγοντες Τί ποιήσωμεν περὶ τούτων; καὶ λέγουσιν τῷ ἀρχιερεῖ Ἀνανίᾳ Ἀναστὰς ὅπλισον σεαυτὸν καὶ ἐκ τοῦ λαοῦ πεντακοσίους δυνατοὺς ἄνδρας καὶ ἄπελθε εἰς τὰς Ἀθήνας, καὶ πάντως ἀνάλισκε τὸν Φίλιππον, καὶ τὴν διδαχὴν αὐτοῦ οὕτως ἀνατρέψεις.

[9] Καὶ ἐνδυσάμενος τὸ ἔνδυμα τὸ ἀρχιερατικὸν παρεγένετο εἰς τὴν Ἑλλάδα ἐν μεγάλῃ φαντασίᾳ μετὰ τῶν πεντακοσίων ἀνδρῶν. ὁ δὲ Φίλιππος ἦν ἐν οἰκίᾳ πρώτου τινὸς τῆς πόλεως μετὰ τῶν πεπιστευκότων ἀδελφῶν. ὁ δὲ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ καὶ οἱ τριακόσιοι φιλόσοφοι ἀνῆλθον εἰς τὸ προπυλαῖον τῆς οἰκίας ἔνθα ἦν ὁ Φίλιππος. καὶ ἐμηνύθη τῷ Φιλίππῳ ἑστάναι αὐτοὺς ἔξω· καὶ ἀναστὰς ἐξῆλθεν. καὶ ὡς εἶδεν αὐτὸν ὁ ἀρχιερεύς, λέγει πρὸς αὐτόν Ὦ Φίλιππε φαρμακὲ καὶ μάγε· γνωρίζω γάρ σε ὅτι εἰς Ἱερουσαλὴμ ὁ κύριός σου ὁ πλάνος ὀνόμασέν σε υἱὸν βροντῆς· οὐκ ἤρκεσεν ὑμῖν πᾶσα ἡ Ἰουδαία, ἀλλὰ καὶ ὧδε ἦλθατε πλανῆσαι ἄνδρας φιλοσόφους; καὶ ὁ Φίλιππος εἶπεν Εἶθε, ὦ Ἀνανία, ἀφῄρητο τὸ κάλυμμά σου τῆς ἀπιστίας ἀπὸ τῆς καρδίας σου, ἵνα γνῷς τοὺς λόγους μου, καὶ ἀπ' αὐτῶν μαθήσῃ ἆρα πλάνος ἐγὼ ἢ σύ.

[10] Ταῦτα ἀκούσας ὁ Ἀνανίας εἶπεν τῷ Φιλίππῳ Ἀποκρι-

τὸ ὄνομα τοῦτο ὅ: codex το ονοματι τω

8. εἰσίει: codex ησειη | ἀνατρέψεις: codex ἀνατρέψης

9. πρώτου: codex πρός | ἀφῄρητο. Id ipsum ferendum videtur. Tamen per itacismum pro ἀφαιροῖτο possit scriptum putari | λόγους μου: codex λόγσον | ἐγὼ ἢ σύ: codex ἐγὼ ἢ ἐσοί

θήσομαι τοῖς πᾶσιν. καὶ εἶπεν ὁ Φίλιππος Λάλησον. λέγει ὁ ἀρχιερεύς Ὦ ἄνδρες τῆς Ἑλλάδος, οὗτος ὁ Φίλιππος πιστεύει εἰς ἄνθρωπον καλούμενον Ἰησοῦν, ὃς ἐγεννήθη ἐν ἡμῖν, ὃς καὶ ἐδίδαξεν τὴν αἵρεσιν ταύτην καὶ τὸν νόμον καὶ τὸν ναὸν κατέλυσεν, καὶ τὸν καθαρισμὸν τὸν διὰ Μωσέως κατήργησεν καὶ τὰς νεομηνίας, ὅτι φησίν Οὐκ εἰσὶν ὑπὸ θεοῦ τεταγμέναι. καὶ ὡς ἴδομεν ὅτι νόμον οὕτω καταλύει, ἐπαναστάντες ἐσταυρώσαμεν αὐτόν, ἵνα μὴ πληθυνθῇ ἡ διδαχὴ αὐτοῦ· ἐστράτευσεν γὰρ.... πάθη πολλὰ καὶ ἔδωκεν μαρτυρίαν οὐ καλήν, ἐσθίει τε πάντα ἁπλῶς καὶ συμμίγνυσιν αἵματα τῶν ἐθνῶν. καὶ τοῦτον παραδόντες ἐφονεύσαμεν καὶ κατεθάψαμεν αὐτὸν ἐν μνημείῳ· οὗτοι δὲ οἱ μαθηταὶ αὐτοῦ κλέψαντες αὐτὸν διεκήρυξαν πανταχοῦ ὅτι ἠγέρθη ἐκ τῶν νεκρῶν, καὶ ἐπλάνησαν πολὺ πλῆθος ὁμολογήσαντες αὐτὸν εἶναι ἐκ δεξιῶν τοῦ θεοῦ ἐν οὐρανοῖς. ἀλλὰ δὴ καὶ αὐτοὶ οὗτοι τὴν περιτομὴν ἔχοντες ὡς καὶ ἡμεῖς οὐκ ἐδίωξαν, ἐπειδὴ πολλὰς δυνάμεις ἤρξαντο ποιεῖν ἐν Ἱερουσαλὴμ διὰ τοῦ ὀνόματος τοῦ Ἰησοῦ· καὶ ἐκβληθέντες ἐξ Ἱερουσαλὴμ περιέρχονται τὴν οἰκουμένην καὶ πάντας ἀπατῶσιν ἐν τῇ μαγείᾳ ἐκείνου τοῦ Ἰησοῦ, ὡς καὶ νῦν οὗτος ὁ Φίλιππος ἦλθεν πρὸς ὑμᾶς τῇ αὐτῇ τέχνῃ ἀπατῆσαι ὑμᾶς. ἀλλ' ἐγὼ τοῦτον μεθ' ἑαυτοῦ ἀποφέρω εἰς Ἱερουσαλήμ, ὅτι καὶ ζητεῖ αὐτὸν ὁ Ἀρχέλαος ὁ βασιλεὺς τοῦ ἀποκτεῖναι αὐτόν.

11 Ὡς δὲ ἤκουσαν ταῦτα τὸ περιεστὸς πλῆθος, οἱ μὲν ὑπὸ τῆς πίστεως ἐστηριγμένοι οὐκ ἐκινήθησαν οὐδὲ ἐδιψύχησαν· ἤδεισαν γὰρ ὅτι Φίλιππος νικήσει ἐν τῇ δόξῃ τοῦ Ἰησοῦ. ὁ οὖν Φίλιππος ἀπελογήσατο ἐν τῇ δυνάμει τοῦ Χριστοῦ μετὰ μεγάλης παρρησίας ἀγαλλιῶν καὶ λέγων Ἐγώ, ἄνδρες Ἀθηναῖοι καὶ οἱ ἐν ὑμῖν φιλόσοφοι, ἦλθον πρὸς ὑμᾶς οὐ λόγοις διδάξαι ἀλλ' ἐν ἀποδείξει θαυμασίων, καὶ ἀπὸ μέρους τάχα ἐθεάσασθε τῶν δι' ἐμοῦ γεγενημένων ἐν ἐκείνῳ τῷ ὀνόματι ᾧ οὗτος ὁ ἀρχιερεὺς ἀποβάλ-

10. νεομηνίας: codex νεουμηνίας | γὰρ.... Sequitur in codice ὑπ' αὐτῶν. An conieceris ἀπατῶν? | πάντα ἁπλῶς: codex πάντα τὰ ἁπλῶς | συμμίγνυσιν (?): codex συμμιγήσιν. Locus inde ab ἐστράτευσεν usque ἐθνῶν omnino corruptus est. | ἀλλὰ δή: codex ἀλλὰ δέ | οὐκ ἐδίωξαν: codex οὐκ ἐδιώξαμεν. Videntur inter οὐκ et ἐδιώξαμεν verba aliqua excidisse.

11. περιεστός: codex περιεστώς

Digitized by Google

λεται. ἰδοὺ οὖν βοήσω πρὸς τὸν θεόν μου καὶ διδάξω ὑμᾶς, καὶ ὑμεῖς δοκιμάσατε τοὺς τῶν ἀμφοτέρων λόγους.

12 Ταῦτα ἀκούσας ὁ ἀρχιερεὺς ἔδραμεν ἐπὶ τὸν Φίλιππον μαστίξαι θέλων αὐτόν, καὶ αὐτῇ τῇ ὥρᾳ ὅλη ἡ χεὶρ αὐτοῦ ἐξηράνθη καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐτυφλώθησαν· ὁμοίως δὲ καὶ οἱ πεντακόσιοι οἱ μετ' αὐτοῦ ἐτυφλώθησαν καὶ αὐτοί. καὶ ἐνύβριζον καὶ κατεθεμάτιζον τὸν ἀρχιερέα λέγοντες ὅτι ἐξερχόμενοι τῆς Ἱερουσαλὴμ ἐλέγομέν σοι Κατάστειλον· ἄνθρωποι γὰρ ὄντες θεῷ μάχεσθαι οὐ δυνάμεθα. ἀλλὰ δεόμεθά σου, ἀπόστολε τοῦ θεοῦ τοῦ Ἰησοῦ Φίλιππε, δὸς ἡμῖν τὸ δι' αὐτοῦ φῶς, ἵνα καὶ ἡμεῖς ἀληθῶς αὐτοῦ ἐσόμεθα δοῦλοι.

13 Ὁ δὲ Φίλιππος ἰδὼν τὸ γενόμενον ἔλεγεν Ὦ ἀσθενὴς φύσις, ἥτις ἀπέρριψεν ἑαυτὴν ἐφ' ἡμᾶς, εὐθέως δὲ εἰς ἑαυτὴν καταταπεινουμένη· ὡ ἡ πικρὰ θάλασσα, τὰ ἑαυτῆς κύματα εἰς ἡμᾶς ταράσσουσα καὶ ἐκβάλλειν νομίζουσα, ἀλλὰ παρ' ἑαυτῇ τὰ κύματα κοιμίζουσα. νῦν οὖν, ὁ ἡμέτερος καλὸς οἰκονόμος, Ἰησοῦ, τὸ ἅγιον φῶς, οὐ παριδὲς ἡμᾶς τὸ σύνολον κράζοντας ἄνω πρὸς σὲ ἐν πᾶσι τοῖς καλοῖς ἔργοις, ἀλλ' ἦλθες τελέσαι αὐτὰ δι' ἡμῶν. νῦν οὖν ἐλθέ, Ἰησοῦ κύριε, ἔλεγξον τὴν ἀπόνοιαν τούτων.

14 Λέγει ὁ ἀρχιερεὺς τῷ Φιλίππῳ Ἆρα μὴν νομίζεις ἀποστρέψαι ἡμᾶς ἀπὸ τῶν παραδόσεων τῶν πατέρων ἡμῶν καὶ τοῦ θεοῦ τῆς ἐρήμου καὶ Μωσέως, καὶ προσδοκᾷς ἐξακολουθῆσαι ἡμᾶς τῷ Ναζωραίῳ τῷ Ἰησοῦ; εἶτα λέγει αὐτῷ ὁ Φίλιππος Ἰδοὺ δεηθήσομαι τοῦ θεοῦ μου ἵνα ἔλθῃ καὶ φανερώσῃ ἑαυτὸν ἔμπροσθεν σοῦ καὶ τῶν πεντακοσίων καὶ ἐνώπιον τῶν ὧδε πάντων· ἴσως γὰρ πιστεύσεις μετανοήσας. ἐὰν δὲ μέχρι τέλους ἐπιμείνῃς τῇ ἀπιστίᾳ, ἔρχεται ἐπὶ σοὶ παράδοξον πρᾶγμα, ὅπερ λαληθήσεται εἰς γενεὰς γενεῶν, ὥστε καὶ κατέλθῃς ζῶν κάτω εἰς τὸν ᾅδην ἐνώπιον πάντων τῶν ὁρώντων σε, ὅτι ἔτι διαμένεις ἐν τῇ ἀπιστίᾳ, ὅτι καὶ ζητεῖς ἀποστρέψαι τὸ πλῆθος τοῦτο ἀπὸ τῆς ἀληθινῆς ζωῆς. καὶ ὁ Φίλιππος προσηύξατο λέγων Ὦ πάτερ ἅγιε τοῦ

---

13. ἀπέρριψεν: codex ἄπέρρι μέν, sic | ἐκβάλλειν: sed codex ἐκβοᾶειν. An potius ἐκβιάζειν, ἐκβλύζειν, simile aliud legendum est?

14. μὴν νομίζεις: codex μὴ νομίζεις | ἐρήμου: post hanc vocem in codice additur τὸ μάννα

Digitized by Google

ἁγίου υἱοῦ Ἰησοῦ Χριστοῦ, ὁ χαρισάμενός μοι τὸ εἰς αὐτὸν πιστεύειν, πέμψον σου τὸν ἀγαπητὸν υἱὸν Ἰησοῦν Χριστὸν ἐλέγξαι τὸν ἄπιστον ἀρχιερέα, ἵνα τὸ σὸν ὄνομα ἐν τῷ ἀγαπητῷ Χριστῷ δοξασθῇ.

15 Ἔτι δὲ ταῦτα βοῶντος τοῦ Φιλίππου, ἐξαίφνης ἠνεῴχθησαν οἱ οὐρανοί, καὶ ἐφάνη ὁ Ἰησοῦς κατελθὼν ἐν τιμιωτάτῃ δόξῃ καὶ ἀστραπῇ, καὶ τὸ πρόσωπον αὐτοῦ ἑπταπλάσιον λάμπον ὑπὲρ τὸν ἥλιον, καὶ τὰ ἱμάτια αὐτοῦ λευκότερα χιόνος, ὡς καὶ πάντα τὰ εἴδωλα τῶν Ἀθηνῶν πεσεῖν ἐξαίφνης ἐπὶ τὴν γῆν. καὶ ὁ λαὸς συντριβεὶς ἔφυγον, καὶ οἱ ἐν αὐτοῖς δαίμονες οἰκοῦντες ἐβόων Ἰδοὺ καὶ ἡμεῖς φεύγομεν διὰ τὸν ἐπιφανέντα τῇ πόλει Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ. εἶτα λέγει ὁ Φίλιππος τῷ ἀρχιερεῖ Ἀκούεις τῶν δαιμόνων ἐκβοώντων διὰ τὸν ὀφθέντα, καὶ ἀπιστεῖς πρὸς τὸν παρόντα ὅτι αὐτὸς κύριος τῶν πάντων; λέγει ὁ ἀρχιερεύς Ἐγὼ οὐκ ἔχω ἄλλον θεὸν ἢ τὸν ἐν τῇ ἐρήμῳ.

16 Ἀνερχομένου δὲ τοῦ Ἰησοῦ εἰς τὸν οὐρανὸν ἐγένετο σεισμὸς μέγας σφόδρα, ὥστε σχισθῆναι τὸν τόπον ἐφ' ὃν εἱστήκασιν· καὶ δραμόντες οἱ ὄχλοι ἔκειντο πρὸς τοὺς πόδας τοῦ ἀποστόλου κράζοντες Ἐλέησον ἡμᾶς, ὦ θεοῦ ἄνθρωπε. ὁμοίως καὶ οἱ πεντακόσιοι ἄνδρες ἔκραξαν καὶ αὐτοὶ πάλιν Ἐλέησον ἡμᾶς, ὦ Φίλιππε, ἵνα σε ἴδωμεν καὶ διὰ σοῦ τὸν φωστῆρα τῆς ζωῆς Ἰησοῦν· ὅτι ἐλέγομεν τούτῳ τῷ ἀπίστῳ ἀρχιερεῖ ὅτι ἄνθρωποι ἁμαρτωλοὶ ὄντες θεῷ μάχεσθαι οὐ δυνάμεθα.

17 Τότε λέγει ὁ Φίλιππος Οὐκ ἔστιν φθόνος ἐν ἡμῖν, ἀλλ' ἡ τοῦ Χριστοῦ χάρις ἀναβλέψαι ὑμᾶς ποιήσει· πρότερον δὲ ὑμῶν τὸν ἀρχιερέα ἀναβλέψαι ποιήσω, ὅπως ἐπὶ τούτῳ πλέον ὑμεῖς πιστεύσητε. καὶ φωνὴ ἐξ οὐρανοῦ ἠνέχθη τῷ Φιλίππῳ Φίλιππε, υἱὲ ποτὲ βροντῆς νῦν δὲ πραότητος, εἴ τι ἂν αἰτήσῃ τὸν πατέρα μου, ποιήσει σοι. καὶ πᾶς ὁ ὄχλος ἔκθαμβος ἦν ἐπὶ τῇ φωνῇ· τὸ γὰρ ἦχος αὐτῆς μεῖζον βροντῆς ἐγένετο. τότε λέγει ὁ Φίλιππος τῷ ἀρχιερεῖ Ἐν τῷ ὀνόματι τῆς δυνάμεως τῆς φωνῆς τοῦ κυρίου μου ἀνάβλεψον, Ἀνανία. καὶ εὐθέως ἀνέβλεψεν, καὶ περιβλεψάμενος Ὦ, φησίν, τί ἐστιν τὸ τῆς μαγίας τοῦ Ἰησοῦ, ὅτι

15. λάμπον: codex λάμπων
17. πιστεύεις εἰς: codex om εἰς

οὗτος ὁ Φίλιππος ἐν ὀλίγῳ με ἐτύφλωσεν, καὶ πάλιν ἐν ὀλίγῳ ἀναβλέψαι με ἐποίησεν. Τί οὖν, ἔφη ὁ Φίλιππος, πιστεύεις εἰς τὸν Ἰησοῦν; λέγει ὁ ἀρχιερεύς Μὴ γὰρ δύνασαί με μαγεῦσαι καὶ πεῖσαι; οἱ δὲ πεντακόσιοι οἱ μετ' αὐτοῦ, ἀκούσαντες ὅτι ὁ ἀρχιερεὺς αὐτῶν ἀναβλέψας ἔτι ἀπιστεῖ, ἔλεγον τοῖς παρεστῶσιν δεηθῆναι τοῦ Φιλίππου ὅπως αὐτοὺς ἀναβλέψαι ποιήσῃ, ἵνα τὸν ἄπιστον ἀρχιερέα τοῦτον ἀνέλωμεν.

18 Εἶπεν δὲ ὁ Φίλιππος Μὴ κακοῖς ἀμύνεσθε. καὶ λέγει τῷ ἀρχιερεῖ Σημεῖον ἐπὶ σοὶ ἔσται τι μέγα. λέγει πρὸς τὸν Φίλιππον Οἶδα ὅτι φαρμακὸς εἶ καὶ τοῦ Ἰησοῦ μαθητής· οὐ μαγεύεις με. ὁ δὲ ἀπόστολος εἶπεν πρὸς τὸν Ἰησοῦν Σαβαρθάν, σαβαθάβτ, βραμανούχ, ταχὺ ἐλθέ. καὶ εὐθὺς ἡ γῆ ἐσχίσθη κατὰ τὸ μέρος τοῦ Ἀνανίου καὶ κατέπιεν αὐτὸν μέχρι γονάτων. καὶ ἔκραξεν Ἀνανίας Ὦ μεγάλη δύναμις τῆς ἀληθοῦς μαγγανίας, ὅτι τὴν γῆν ἔσχισεν, ἀπειλήσαντος αὐτῇ ἑβραϊστί τε ἐνορκισαμένου τοῦ Φιλίππου, καὶ συνέχει με μέχρι γονάτων, καὶ ἐκ τῶν πτερνῶν εἰς τὰ κάτω τινὲς ὥσπερ ὄγκινοι καθέλκουσίν με, ἵνα πιστεύσω τῷ Φιλίππῳ, ἀλλ' οὐ δύναταί με πεῖσαι· ἀπὸ γὰρ τῆς Ἱερουσαλὴμ ἐγὼ ἐπίσταμαι τὰς μαγίας αὐτοῦ.

19 Ὀργισθεὶς δὲ ὁ Φίλιππος εἶπεν Ὦ γῆ, σύσφιξον αὐτὸν μέχρι τοῦ ὀμφαλοῦ. καὶ εὐθὺς κατεσύρει. καὶ ἔλεγεν Ὁ μὲν εἷς μου ποὺς κάτωθεν κρυσταλλοῦται, ὁ δὲ ἕτερος δεινῶς ἐκθερμαίνεται· ἀλλ' ὑπὸ τῆς μαγίας σου, Φίλιππε, οὐ νικηθήσομαι πλὴν οὖν ὅτι κακῶς κάτωθεν βασανίζομαι, ὅλως δὲ οὐ πιστεύω. οἱ δὲ ὄχλοι ἠθέλησαν αὐτὸν λιθάσαι. ὁ δὲ Φίλιππος Μὴ οὕτως, φησίν. τοῦτο γὰρ τέως γέγονεν, καταποθῆναι αὐτὸν μέχρι τοῦ ὀμφαλοῦ, ἵνα σωτηρία γένηται τῶν ψυχῶν ὑμῶν, ὅτι παρ' ὀλίγον ἔμελλεν ἕλκειν ὑμᾶς ἐν τοῖς κακοῖς αὐτοῦ λόγοις πρὸς ἀπιστίαν. ἀλλ' εἰ καὶ αὐτὸς μετενόησεν, ἀναγάγω αὐτὸν ἐκ τῆς γῆς πρὸς σωτηρίαν τῆς ψυχῆς αὐτοῦ· ἀλλὰ τάχα οὐκ ἔστιν ἄξιος σωτηρίας. ἐὰν οὖν ἐπιμείνῃ τῇ ἀπιστίᾳ, βλέψετε αὐτὸν

---

18. κακοῖς: an potius κακῶς legendum est? | οὐ μαγεύεις: codex οὐ μαγεύης | μέχρι γονάτων: codex μ. γονάτου | δύναμις: hoc de coniectura addidi | αὐτῇ: codex αὐτήν | τε ἐνορκισαμένου: codex om τε et habet ἐνορκασαμένου | ὥσπερ ὄγκινοι: codex ὡς πρὸς ὀγκίνους

Digitized by Google

βυθισθέντα κάτω εἰς τὴν ἄβυσσον, εἰ μὴ κύριος μέλλει τοὺς ἐν τῷ ᾅδῃ ἐγείρειν ἵνα ὁμολογήσωσιν ὅτι κύριος Ἰησοῦς. ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς, καὶ ὅτι μία δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ σὺν τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας.

[20] Καὶ εἰπὼν ταῦτα ὁ Φίλιππος διεπέτασεν τὴν δεξιὰν αὐτοῦ χεῖρα σκεπάσας δι' ἀέρος ἐπάνω τῶν πεντακοσίων ἀνδρῶν ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ. καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ὕμνησαν τὸν θεὸν πάντες ἐν ἑνὶ στόματι λέγοντες Εὐλογοῦμέν σε, Χριστὲ Ἰησοῦ, τὸν θεὸν τοῦ Φιλίππου, ὅτι ἐδίωξας ἀφ' ἡμῶν τὴν πήρωσιν καὶ ἔδωκας ἡμῖν τὸ σὸν φῶς τὸ εὐαγγέλιον. ὁ δὲ Φίλιππος κατ' ὀλίγον ἦν ἀγαλλιώμενος τοῖς ῥήμασιν αὐτῶν, ὅτι οὕτως ἐστηρίζοντο τῇ πίστει. μετὰ δὲ ταῦτα στραφεὶς ὁ Φίλιππος πρὸς τὸν ἀρχιερέα εἶπεν Ὁμολόγησον καὶ σὺ ἐν καθαρᾷ καρδίᾳ ὅτι κύριος Ἰησοῦς ἐστίν, ἵνα σωθῇς ὡς οὗτοι οἱ μετὰ σοῦ. ὁ δὲ ἀρχιερεὺς ἦν καταγελῶν τοῦ Φιλίππου καὶ ἐπιμένων τῇ ἀπιστίᾳ.

[21] Ἰδὼν οὖν ὁ Φίλιππος ὅτι ἐπιμένει τῇ ἀπιστίᾳ, βλέψας εἰς αὐτὸν λέγει τῇ γῇ Ἄνοιξόν σου τὸ στόμα καὶ κατάπιε αὐτὸν μέχρι τοῦ τραχήλου αὐτοῦ ἐνώπιον τῶν πιστευσάντων εἰς τὸν Χριστὸν Ἰησοῦν. καὶ ἐν αὐτῇ τῇ ὥρᾳ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς ἐδέξατο αὐτὸν ἕως τραχήλου· οἱ δὲ ὄχλοι ἦσαν ὁμιλοῦντες ἀλλήλοις διὰ τὰ γεγονότα θαυμάσια.

[22] Ἦλθέν τις πρῶτος τῆς πόλεως βοῶν καὶ λέγων Ὦ μακάριε ἀπόστολε, τῷ υἱῷ μου δαίμων τις ἐπέστη καὶ ἔκραξεν λέγων πρὸς μέ Ἐπειδὴ ἀφῆκας ξένον ἄνθρωπον εἰσελθεῖν εἰς τὴν πόλιν ὑμῶν, σὺ ὢν πρῶτος ὃς κατέλυσεν τὰς λατρείας ἡμῶν καὶ τὰς θυσίας ἡμῶν, τί σοι ποιήσω εἰ μὴ τοῦτον ἀνελῶ τὸν μονογενῆ σου υἱόν; καὶ μετὰ τὸ εἰπεῖν αὐτὸν ταῦτα ἀπέπνιξεν τὸν υἱόν μου. νῦν οὖν παρακαλῶ σε, ἀπόστολε τοῦ Χριστοῦ, μὴ ἐάσῃς τὴν χαράν μου στραφῆναι εἰς πένθος, ὅτι κἀγὼ ἐπίστευσα τοῖς σοῖς λόγοις.

[23] Ἀκούσας δὲ ὁ ἀπόστολος ταῦτα εἶπεν Θαυμάζω τὴν

---

21. ὁμιλοῦντες ἀλλήλοις: codex ὁμιλοῦντες ἀλλήλους
22. ὑμῶν: sic scribendum videbatur pro ἡμῶν, quod codex habet.

Digitized by Google

ἐνέργειαν τῶν δαιμόνων, ὅτι ἐνεργεῖ ἐν παντὶ τόπῳ, τολμᾷ δὲ εἰς οὓς οὐκ ἐδυνάμην ἐπιβαίνειν, ὡς νῦν ἐπείρασαν ὑμᾶς θέλοντες σκανδαλίσαι. καὶ λέγει τῷ ἀνθρώπῳ Ἔνεγκέ μοι τὸν υἱόν σου, κἀγὼ αὐτὸν δώσω ζῶντα διὰ τὸν Χριστόν μου. καὶ ἔδραμεν χαίρων τοῦ ἐνέγκαι τὸν υἱὸν αὐτοῦ. καὶ ὡς ἤγγισεν τῇ οἰκίᾳ αὐτοῦ, ἔκραξεν λέγων Υἱέ μου, ἦλθον ἐπὶ σὲ ἀπενέγκαι σε πρὸς τὸν ἀπόστολον ὥστε σε ζῶντα παρέξει μοι. καὶ ἐκέλευσεν τοῖς ἑαυτοῦ δούλοις βαστάξαι τὴν κλίνην· ἦν δὲ ὁ παῖς ἐτῶν κγ'. ὅτε δὲ εἶδεν αὐτὸν ὁ Φίλιππος, συνεχύθη, καὶ στραφεὶς πρὸς τὸν ἀρχιερέα λέγει αὐτῷ Τοῦτο γέγονέν τις ἀφορμή· ἐὰν οὖν ἀναστήσω αὐτόν, πιστεύσεις λοιπόν; ὁ δὲ λέγει Οἶδα τὰς μαγίας ὑμῶν, ὅτι ἀναστήσεις αὐτόν· ἐγὼ δὲ οὐ πιστεύσω σοι. ὀργισθεὶς δὲ ὁ Φίλιππος εἶπεν Κατάθεμα· ἄπελθε λοιπὸν κάτω ὅλος εἰς τὴν ἄβυσσον ἐνώπιον τούτων ἁπάντων. καὶ ἐν αὐτῇ τῇ ὥρᾳ κατῆλθεν εἰς τὸν ᾅδην ζῶν· πλὴν τὸ ἀρχιερατικὸν ἔνδυμα ἐξεπετάσθη ἀπ' αὐτοῦ, καὶ διὰ τοῦτο ἀπὸ τῆς ἡμέρας ἐκείνης οὐδεὶς ἔγνω τί ἐγένετο τὸ ἔνδυμα τὸ ἱερατικόν. καὶ ἐπιστραφεὶς ὁ ἀπόστολος ἐπηύξατο τὸ παιδίον, καὶ ἀπελάσας ἀπ' αὐτοῦ τὸν δαίμονα ἀνέστησεν αὐτὸν καὶ παρέστησεν αὐτὸν τῷ πατρὶ ζῶντα.

[24] Οἱ δὲ ὄχλοι ταῦτα θεασάμενοι ἔκραξαν Εἷς θεὸς ὁ Φιλίππου ὁ ἐλέγξας τὴν ἀπιστίαν τοῦ ἀρχιερέως καὶ τὸν δαίμονα τοῦ νεανίσκου ἀπελάσας καὶ ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. οἱ δὲ πεντακόσιοι ἰδόντες τὸν ἀρχιερέα βυθισθέντα εἰς τὴν ἄβυσσον καὶ τὰ ἄλλα θαυμάσια, ἐδεήθησαν τοῦ Φιλίππου, καὶ ἔδωκεν αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα. ἐπέμεινεν δὲ ὁ Φίλιππος εἰς τὰς Ἀθήνας ἔτη δύο, καὶ κατασκευάσας ἐκκλησίαν κατέστησεν ἐπίσκοπον καὶ πρεσβύτερον, καὶ οὕτως ἀπῆλθεν κατὰ τὴν Παρθίαν εὐαγγελιζόμενος τὸν Χριστόν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

---

23. οὐκ ἐδυνάμην: an lectio sana est? | Υἱέ μου: in codice sequitur βλέπης, quod non aptum videtur.

Digitized by Google

ΠΡΑΞΕΙΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΑΝΔΡΕΟΥ.

Ἅπερ τοῖς ὀφθαλμοῖς ἡμῶν ἐθεασάμεθα πάντες οἵ τε πρεσβύτεροι καὶ διάκονοι τῶν ἐκκλησιῶν τῆς Ἀχαΐας, γεγραφήκαμεν πάσαις ταῖς ἐκκλησίαις ταῖς ἐν τῷ τοῦ Χριστοῦ ὀνόματι καθισταμέναις ἔν τε τῇ ἀνατολῇ καὶ δύσει, ἄρκτῳ καὶ μεσημβρίᾳ. εἰρήνη ὑμῖν καὶ πᾶσιν τοῖς πιστεύουσιν εἰς ἕνα θεόν, τριάδα τελείαν, ἀληθινὸν πατέρα ἀγέννητον, ἀληθινὸν υἱὸν μονογενῆ, ἀληθινὸν πνεῦμα ἅγιον τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον καὶ ἐν τῷ υἱῷ διαμένον, ὅπως δειχθῇ ἓν πνεῦμα ἅγιον τὸ ἐν τῷ πατρὶ καὶ υἱῷ ὑπάρχον ἐν θεότητι τιμίᾳ. ταύτην τὴν πίστιν μεμαθήκαμεν παρὰ τοῦ μακαρίου Ἀνδρέου τοῦ ἀποστόλου τοῦ κυρίου ἡμῶν

---

* Ita A; B: Περίωδοι (sic) καὶ τελείωσις τοῦ ἁγίου ἀποστόλου καὶ πρωτοκλήτου Ἀνδρέου. C: Μαρτύριον τοῦ ἁγίου ἀποστόλου Ἀνδρείου. D: *Passio S. Andreae apostoli, per presbyteros et diaconos ecclesiarum Achaiae scripta.*

1. Ἅπερ cum AB; C Ἃ | ἐθεασάμεθα cum AB (item Leone Allatio); C ἴδωμεν | οἵ τε cum B; A εἵ τε; C οἱ | τῆς: BC om | γεγραφήκαμεν cum AB, sed B add καὶ ἀποστέλλωμεν. C γεγράφαμεν | B ἁπάσαις | ἐκκλησ. ταῖς: B add οὔσαις | ἐν τῷ τοῦ Χρ. ὀν. καθισταμέναις: h. l. cum A; BD (*in Christi nomine constitutis*) post μεσημβρίᾳ. C post μεσημβρ. habet ἐν ὀνόματι Χριστοῦ διακειμέναις | ἔν τε: BC om τε | ἄρκτῳ: C ἄρκτρῳ, A ἄχτρῳ, B ἀρίκτῳ. Praeterea C praem καί, B καὶ τῇ | καὶ πᾶσιν cum BCD; A om καί | τριάδα (B εἰς τρ.) τελ. cum AB. CD τέλειον ἐν τριάδι, *in trinitate perfectum* | ἀληθινόν ter: C bis ἀληθῆ, tertio loco ἀληθές | ἀγέννητον (D *ingenitum*): C γεννήτορα | B μονογεννῆ | τὸ ἐκ usque διαμένον (AC -νων): C ἐκπορευόμενον ἐκ πατρὸς καὶ ἐν υἱῷ διαμ. | B ὅπως δειχθείη, C ἵνα γνωσθῇ | τὸ (B ἔσεσθαι, C εἶναι) ἐν τῷ (C om) πατρ. καὶ (B add τῷ) υἱῷ | ὑπάρχον (codex -ρχων) ἐν θε. τιμ. cum A. BCD καὶ τοῦτον (C τοσοῦτον, D *hoc*) εἶναι τὸν (B om) μονογενῆ (B -γεννῆ) υἱὸν ὅπερ ἐστὶν ἐκεῖνος ὁ γεννήσας (D *quod est et ille qui genuit*; C ὅσον ὁ γεννήσας οἶδεν [Woog emendat εἴη]) | μακαρίου: CD ἁγίου | B παρὰ τῷ μακα-

Digitized by Google

Ἰησοῦ Χριστοῦ, οὕτινος καὶ τὴν πάθησιν κατενώπιον ἡμῶν προκειμένην ἑωρακότες καθ' ὅσον δυνάμεως ἔχομεν ἀναγράψασθαι οὐκ ὠκνήσαμεν.

2 Ὁ ἀνθύπατος τοίνυν Αἰγεάτης εἰς Πάτρας τὴν πόλιν εἰσελήλυθὼς ἤρξατο συνωθεῖν τοὺς πιστεύοντας τῷ Χριστῷ εἰς τὴν τῶν εἰδώλων θρησκίαν. ᾧτινι ὁ μακάριος Ἀνδρέας προσδραμὼν εἶπεν Ἔδει σε κριτὴν ὄντα ἀνθρώπων τὸν κριτὴν σοῦ ἐπιγνῶναι τὸν ὑπάρχοντα ἐν τῷ οὐρανῷ καὶ ἐπιγνόντα σεβασθῆναι, σεβόμενον δὲ αὐτὸν θεὸν ὄντα ἀληθινὸν ἀπὸ τούτων τῶν μὴ τυγχανόντων ἀληθινῶν θεῶν τὸν λογισμόν σου ἀναστεῖλαι.

Πρὸς ὃν ὁ Αἰγεάτης εἶπεν Σὺ εἶ Ἀνδρέας ὁ καταλύων τοὺς ναοὺς τῶν θεῶν καὶ ἀναπείθων τοὺς ἀνθρώπους περὶ τὴν θρησκίαν ἣνπερ ἔναγχος φανεῖσαν οἱ Ῥωμαίων βασιλεῖς ἐξαφανίσαι ἐκέλευσαν;

ρίῳ Ἀνδρέᾳ τῷ ἀποστόλῳ τοῦ | οὕτινος: C οὗ. BCD om καί sequens | πάθησιν cum ABD (*passionem*): C μαρτυρίαν | κατενώπ. usque ἑωρακότες cum A: B ἥνπερ κατεν. ἡμ. προκειμένων ἑωράκαμεν: C παρόντες ἴδωμεν: D *quam coram positi vidimus* | καθ' ὅσον usque ὠκνήσαμεν: B καθ' ὅσον δυνησώμεθα ἐκπληρώσωμεν: C ἔνοι (Woog vertit *in annuam commemorationem*) καὶ ἀφηγούμεθα: D *prout possumus* (Woog ἔνον his expressum putat) *explicamus.*

2. Ὁ ἀνθ. τοίν. Αἰγεάτης usque εἰσελήλυθώς cum AB; C Αἰγαίας (sed alibi semper Αἰγέας) οὖν ὁ ὕπατος τῇ τῶν Πατρῶν πόλει εἰσελθών. D *Proconsul itaque Aegeas Patras civitatem ingressus* | B ἤρξαντο | συνωθεῖν: C κρατεῖν καὶ συνωθ. | C τοὺς τῷ Χρ. πιστ. | τὴν τ. εἰδώλ. θρησκίαν cum A: B τὰς τ. εἰδ. θρησκείας: C τὰς θυσίας τ. εἰδ.: D *sacrificia idolorum* | μακάριος: CD ἅγιος | προσδραμών: B εἰσδραμών, D *occurrens*, uterque post ᾧτινι: C om | κριτὴν ὄντα ἀνθρώπων cum CD: B ὡς ἄρχοντα τῶν ἀνθρώπων ἕνα (corrige ὄντα) καὶ δικαστήν: A ἄρχοντα ὄντα | τὸν κρ. σοῦ ἐπιγν. usque οὐρανῷ cum A: B τὸν κρ. σοῦ τὸν ὄντα ἐν τῷ οὐρ. ἐπιγινώσκειν: C τὸν ἐπουράνιον κρ. σοῦ ἐπιγν. | ἐπιγνόντα (codex -γνῶντα) cum A; B ἐπιγνούς; C ἐγνωκότα | C σέβεσθαι | σεβόμενον δέ cum A; BC καὶ σεβόμενον (B -νος) | αὐτόν: C om | θεὸν ὄντα ἀληθ. cum A; B ὡς (corrige ὅς) ἐστιν θεὸς ἀληθινός; C τὸν ἀληθιν. θεόν | ἀπὸ τούτων usque θεῶν cum AB; C ἐκ τῶν μὴ ὄντων ἀληθινῶν | τὸν λογ. σ. ἀναστεῖλαι (B ἀνανεῶσαι) cum ABD (*animum revocares*): C ἐπιστρέψαι

Πρὸς ὃν (B ᾧτινι, D *cui*) ὁ Αἰγ. (A *Aegeas*) εἶπ. cum ABD: C Αἰγέας εἶπεν | B ὁ Ἀνδρέας | καταλύων: C καταστρέφων | τοὺς να. τ. θε. cum CD (*templa deorum*): AB τὰ ἱερὰ τῶν εἰδώλων | ἀναπείθων: C πλανῶν | περὶ τ. θρ. cum A; C πρὸς ἀναιδῆ θρησκείαν; D *superstitiosam illam sectam*: B καταλιπεῖν τὴν θρησκ. | ἔναγχος (A -γχῶς) cum AB; C ἀρτίως | φανεῖσαν cum AD (*detectam*): B θρησκεύειν: C om | C οἱ τῶν Ῥωμ. ἄρχοντες | ἐξαφανίσαι (C ἐξαλειφθῆναι) ἐκέλ. cum ABCD; sed B praem προσέταξαν, τὴν δὲ σήν

Digitized by Google

Ὁ μακάριος Ἀνδρέας εἶπεν Οἱ Ῥωμαίων βασιλεῖς οὐδέποτε ἐπέγνωσαν τὴν ἀλήθειαν. καὶ τοῦτο σαφῶς διδάσκει ὁ υἱὸς τοῦ θεοῦ ὁ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων ἐλθών, ταῦτα τὰ εἴδωλα οὐ μόνον μὴ εἶναι θεούς, ἀλλὰ καὶ δαιμόνια αἴσχιστα καὶ τῷ ἀνθρωπίνῳ γένει ἐχθραίνοντα, διδάσκοντα τοὺς ἀνθρώπους προσκρούειν τῷ θεῷ, ὡς ἐν τῷ προσκρούεσθαι αὐτὸν ἀποστρέφεσθαι καὶ μὴ εἰσακούειν· ἐν τῷ οὖν ἀποστρέφεσθαι καὶ μὴ εἰσακούειν ἐχέσθωσαν αὐτοὶ τῷ διαβόλῳ αἰχμάλωτοι, καὶ ἐπὶ τοσοῦτον αὐτοὺς διαπαίξοιεν ὥστε ἐξερχομένων τοῦ σώματος εὑρεθῆναι ἐρήμους καὶ γυμνούς, μηδὲν μεθ' ἑαυτῶν πλὴν τῶν ἁμαρτιῶν βαστάζοντας.

3 Ὁ Αἰγεάτης εἶπεν Ταῦτα περιττὰ καὶ μάταια ῥήματα τυγχάνουσιν. ὁ γὰρ ὑμέτερος Ἰησοῦς ἐν τῷ ταῦτα κηρύττειν τοῖς Ἰουδαίοις, τῷ τοῦ σταυροῦ ξύλῳ αὐτὸν προσήλωσαν.

Ὁ μακάριος Ἀνδρέας ἀποκριθεὶς εἶπεν Ὦ εἰ βούλει ἐπιγνῶ-

μακάριος: C ἅγιος; D om | C Οἱ τῶν Ῥωμ. ἄρχοντες οὔπω (B οὐδέπω) ἔγνωσαν | καὶ τοῦτο usque ἐλθών cum A: B καὶ τοῦτο ὅπερ διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀνῆλθεν ὁ τοῦ θεοῦ υἱὸς διδάσκων: C καὶ ὅτι ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων ἐλθὼν ὁ τοῦ θεοῦ υἱὸς ἐδίδαξεν, item D sed om τὴν ἀλήθειαν καί | C οὐχὶ μόνον | C θεοὺς μὴ εἶναι, B μὴ εἶναι αὐτὰ θεούς | ἀλλὰ καί: BC om καί | C δαιμόνια ὀλέθρια, ἐχθραίνοντα (A ἐκθραίν.) τῷ ἀνθρ. γέν. | διδάσκοντα τ. ἀνθρ. cum A: C οἳ τοιαῦτα διδάσκουσιν τ. ἀνθρ.: B ὅπερ τοῦτω διδάξωσιν (corrige ὑφ' ὧν τοῦτο διδαχθῶσιν?) οἱ ἄνθρωποι | προσκρούειν τῷ θεῷ cum A: B ὅθεν προσκρούεται θεός: C ὅπως τῷ θεῷ προσκρούσωσι | ὡς (uterque codex ὃς) usque εἰσακούειν cum AB: C ἵνα ἐν τῷ προσκροῦσαι αὐτοὺς αὐτῷ ἀποστραφῇ καὶ μὴ εἰσακούσῃ | ἐν τῷ οὖν usque εἰσακούειν cum A (B per incuriam om): C καὶ ἀποστραφέντος αὐτοῦ καὶ μὴ εἰσακούοντος | ἐχέσθωσαν αὐτοὶ τῷ διαβ. (B τῷ διαβ. αὐτοὶ) αἰχμ. cum AB: C καταχεσθῶσιν (Woog emendat κατασχεθ.) ὑπὸ τοῦ διαβόλου αἰχμ. | διαπαίξοιεν (A -ξυεν) cum AB: C ἐμπαίξι (Woog emendat -ξῃ) | ὥστε usque γυμνούς cum A: BC ἐφ' ὅσον (C ἕως οὗ) ἐκ τοῦ σώματος ἐξέλθωσιν ἔνοχοι (C κατακεκριμένοι) καὶ γυμνοί, iidem postea βαστάζοντες. D sic: *ista idola non solum deos non esse sed esse daemonia pessima et inimica humano generi: quae hoc docent homines unde offendatur deus, ut dum offensus fuerit avertatur et non exaudiat; et cum aversus fuerit et non exaudierit, habeantur a diabolo ipsi captivi, et tandiu eos deludat quandiu de corpore exeant rei et nudi* etc.

3. Ὁ Αἰγεάτης: CD Αἰγέας | B περιττ. κ. μάτ. εἰσιν ῥήματα, C ὑπέρογκα ῥήμ. καὶ μάτ. εἰσιν | ὁ γὰρ (B ἐπεὶ ὁ) ὑμέτ. Ἰησοῦς (A θεός) cum AB(D); C ὁ γὰρ ὁ Χριστὸς ὑμῶν | C κηρύσσειν | C(D) οἱ Ἰουδαῖοι αὐτὸν ἐν τῷ σταυρῷ προσήλ.

μακάριος: C ἅγιος, D om | ἀποκριθεὶς (C om) εἶπεν: B ἀπεκρίνατο | Ὦ cum AD; B add Αἰγεάτα, C ἄνθρωπε | εἰ βούλει ἐπιγν. cum AB: C εἰ ἤθελες

ναι τὸ μυστήριον τοῦ σταυροῦ, ποίᾳ εὐλόγῳ ἀγάπῃ ὁ ἀρχηγὸς τῆς ζωῆς τοῦ ἀνθρωπίνου γένους ὑπὲρ τῆς ἀνακλήσεως ἡμῶν τοῦτο τὸ ξύλον τοῦ σταυροῦ οὐχὶ ἀκουσίως ἀλλ' ἑκουσίως ὑπεδέξατο;

Ὁ Αἰγεάτης εἶπεν Ὁπόταν παρὰ τοῦ ἑαυτοῦ μαθητοῦ προδοθεὶς καὶ ὑπὸ τῶν Ἰουδαίων συσχεθεὶς τῷ ἡγεμόνι προσήχθη καὶ πρὸς τὴν αἴτησιν αὐτῶν ὑπὸ τῶν τοῦ ἡγεμόνος στρατιωτῶν προσηλώθη, ποίῳ τρόπῳ σὺ λέγεις ἑκουσίως αὐτὸν τοῦ σταυροῦ τὸ ξύλον ὑποδέξασθαι;

Ὁ ἅγιος Ἀνδρέας εἶπεν Διὰ τοῦτο ἐγὼ λέγω ἑκουσίως ἐπειδὴ σὺν αὐτῷ ἤμην ἐν τῷ παραδίδοσθαι αὐτὸν παρὰ τοῦ αὐτοῦ μαθητοῦ. πρὶν γὰρ παραδοθῇ εἶπεν ἡμῖν ὡς οἷα παραδοθήσεται καὶ σταυρωθήσεται ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστησόμενον ἔσεσθαι προεἰρηκεν. πρὸς ὃν ὁ ἐμὸς ἀδελφὸς Πέτρος λέλεχεν Ἵλεός σοι ἔσται, κύριε· οὐ μὴ γένηται τοῦτο. καὶ ἀγανακτήσας οὕτως ἔφη τῷ Πέτρῳ Ὕπαγε ὀπίσω μου σα-

---

εἰδέναι | ποίᾳ (B ὁποίᾳ) εὐλόγῳ (D *quam rationabili*) cum ABD; C ὃν [τρόπον ut videtur] ἐπιθυμητῇ | ὁ ἀρχηγ. τῆς ζωῆς (B om τ. ζω.) cum AB; C ὁ κτιστής, D *author* | C τοῦ γένους τῶν ἀνθρώπων | ὑπὲρ τῆς ἀνακλήσ. (B ἀνανεώσεως) ἡμῶν cum AB: C ὑπὲρ συστάσεως ἡμετέρας: D *pro restauratione nostra* | B τούτῳ τοῦ σταυροῦ ξύλῳ, C τοῦτον τὸν σταυρόν | C οὐκ ἄκων (in margine ἴσως ἀκούσιος) ἀλλ' ἑκών | ὑπεδέξατο (cum A; C ἐδέξατο; B προσηλώθη): B add ἐγώ σοι ἐρῶ, C ἐπίστευσας ἂν αὐτῷ: sed AD nil add

Ὁ Αἰγεάτης: CD Αἰγέας | Ὁπόταν παρά usque προσηλώθη ex A: B Ἐν τῷ παραδίδοσθαι αὐτὸν ὑπὸ τοῦ ἰδίου μαθητοῦ καὶ ὑπὸ τῶν Ἰουδαίων συσχεθῆναι καὶ τῷ ἡγεμόνι προσαχθῆναι καὶ πρὸς τὴν αἴτησιν τῶν Ἰουδαίων παρὰ τῶν τοῦ ἡγεμόνος στρατιωτῶν σταυρωθῆναι: C Τοῦ παραδοθῆναι αὐτὸν παρὰ τοῦ μαθητοῦ αὐτοῦ καὶ ὑπὸ Ἰουδαίων κρατηθῆναι καὶ τῷ ἡγεμόνι προσενεχθῆναι καὶ τῇ αἰτίᾳ τῶν Ἰουδαίων παρὰ τῶν στρατιωτῶν τοῦ ἡγεμόνος σταυρωθῆναι κελεύσαντος: D *Cum traditus asseratur a suo discipulo* etc. | ποίῳ (B ὁποίῳ): C πῶς | B ἑκουσίως τῷ τοῦ σταυροῦ αὐτὸν ὑποκεῖσθαι ξύλῳ: C αὐτὸν προσθέσει (codex προσθέσει) ὑπομεῖναι σταυρόν

Ὁ ἅγ. Ἀνδρ. εἶπεν (B ἀπεκρίνατο): C nil nisi Ἀνδρέας | ἐγώ cum BCD; A om | ἑκουσίως: C αὐτὸν προσθέσει | ἐπειδὴ σὺν (B ἅμα) α. ἤμην: C ὅτι μετ' αὐτοῦ ἤμην | ἐν τῷ παραδίδοσθ. (B -διδῶναι, corrige -δοθῆναι) α. π. τοῦ (B τῷ) αὐτοῦ μαθητοῦ (B -τῇ). πρὶν γὰρ (sic B; A πρινὴ τοιγαροῦν. D *et antequam*) παραδ. εἶπεν ἡμῖν: C καὶ μέλλων παραδίδοσθαι (codex -διδῶσθαι) ὑπὸ τοῦ ἰδίου μαθητοῦ καὶ σταυροῦσθαι, προεῖπεν ἡμῖν | C om ὡς οἷα παραδ. καὶ σταυρ. ὑπὲρ τ. τ. ἀ. σωτηρίας, καί | τῇ τρ. ἡμ. ἀναστ. ἔσεσθ. προεἰρηκεν cum B(D): A ὅτι τῇ τρ. ἡμ. ἀναστήσεται. ταῦτα πάντα προεἰρηκεν ἡμῖν: C ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι | πρὸς ὃν: B ᾧτινι | B om Πέτρος | λέλεχεν cum B; A ἔλεχεν (sic) | B om ἔσται | B οὐ μὴ ἔσται σοι τοῦτο | C post ἐγείρομαι

Digitized by Google

τανᾶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ. καὶ ἵνα πληρέστατα ἐξαρτίσει ὅτι ἑκουσίως τὸ πάθος ἀνεδέξατο, ἔλεγεν ἡμῖν Ἐξουσίαν ἔχω θῆναι τὴν ψυχήν μου καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ἔσχατον δὲ ἐν τῷ δειπνῆσαι αὐτὸν μεθ' ἡμῶν εἶπεν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. πρὸς ταύτην οὖν τὴν φωνὴν πάντων περιλύπων γεγονότων, ἵνα ἡ ὑποψία ἀναμφίβολος γένηται, ἀπεφήνατο εἰπών Ὠιτινι ἐπιδώσω τὸ κλάσμα τοῦ ἄρτου ἐκ τῆς χειρός μου, αὐτός ἐστιν ὁ παραδιδούς με. ἐν τῷ οὖν ἐπιδοῦναι ἑνὶ τῶν συμμαθητῶν ἡμῶν καὶ τὰ μέλλοντα ὡς ἤδη παροχηκότα διηγησαμένου ἐδίδαξεν ἑκουσίως ἑαυτὸν παραδοθησόμενον· οὐδὲ γὰρ τὸν προδότην ἀποδράσας ἐγκατέλειπεν, ἀλλ' ἐν τῷ τόπῳ ἐν ᾧ αὐτὸν ἐγίνωσκεν εἶναι παραγενόμενος διέμεινεν.

4 Ὁ Αἰγεάτης εἶπεν Θαυμάζω σε, ἄνδρα φρόνιμον ὄντα, τοῦτον ἐθέλειν σε ἐρείσασθαι τῷ οἱῳδήποτε συμφώνῳ· εἴτε γὰρ ἑκουσίως εἴτε ἀκουσίως, ὅμως καθομολογεῖς αὐτὸν τῷ σταυρῷ προσπαγέντα.

---

sic pergit: ὅϑεν (codex ὅτεν) τῷ ἀδελφῷ μου Πέτρῳ εἰπόντι Ἵλεώς σοι κύριε, οὐ μὴ ἔσται σοι τοῦτο, ἀγαναχτῶν εἶπεν Ὀπίσω μου | ὅτι: B διότι | τὰ τοῦ ϑεοῦ cum BCD: A add ἀλλὰ τὰ τῶν ἀνϑρώπων | ἵνα πληρέστ. (B add μὴ) ἐξαρτίσει (A add μοι) cum A; B ἵνα πλ. μὴ ἐξαρτ.; D *ut plenius nos instrueret;* C πῶς τελείως ἡμᾶς ὑπεστήριξεν | ὅτι (B διότι) ἑκουσίως: C εἰ ἄκων | ἔλεγεν ἡμῖν cum ABD: C praem οὐκ ἄν | ϑῆναι: ita ABC | λαβεῖν: C ἆραι | ἔσχατον (B praem εἰς) δέ, D *ad ultimum:* C τέλος οὖν | ἐν τῷ δ. αὐτόν: C ἐν ὅσῳ ἐδείπνει | εἶπεν: B καὶ λέγει | BC om ὅτι | B καὶ πρὸς ταύτ. τ. φωνὴν πάντες συμπερίλυποι γεγονότες: C καὶ ταύτῃ τῇ φωνῇ ϑλιβῆναι πάντας ἐποίησεν | ἵνα ἡ ὑπ. ἀναμφ. γεν. cum A; B ἵνα παμφίλος (sic corrupte) γέν. ἡ ὑπ.; D *ne suspensos cogitatio trucidaret:* C om | ἀπεφήν. εἰπών cum A; B ἀποτεμὼν ἔφη; C καὶ εἴρηκεν πάλιν | ὥτινι usque ἐκ τῆς χειρός (B ἐπὶ τῶν χειρῶν) μου: C ὅτι μεϑ' οὗ ἐγὼ βάψω ἐν τῷ τρυβλίῳ τὴν χεῖρά μου | B om ὁ παραδιδ. με | ἐν τῷ οὖν (B καὶ ἐν τῷ) ἐπιδ. ἑνὶ (B add ἐκ) τῶν συμμ. ἡμῶν: C om | ὡς ἤδη παροχηκ. διηγησ. cum A; B ὡσεὶ παρεσχηκότα ἤδη διηγεῖσϑαι; C καϑάπερ παρελϑόντα εἰπών | ἐδίδαξεν (C ἔδειξεν) cum BCD; A praem σαφῶς | ἑκουσ. αὐτ. (B α. ἐκ.): C ἑαυτὸν προϑέσει | παραδοϑησόμενον cum A; B ἔσεσϑαι παραδιδόμενον; C παραδοϑέντα | B ὁπόταν οὐδὲ τὸν προδ. ἀποδιδράσκων ἐνεγκατέλοπεν (sic); C οὔτε γὰρ τὸν προδ. ἔφυγεν | C ἀλλ' εἰς τὸν τόπον ὅπου | B αὐτ. ἐγνώκει εἶναι παραγενόμενον, C ἐγίνωσκ. αὐτὸν ἐληλυϑέναι | C ἐπέμεινεν

4. Ὁ Αἰγεάτης: CD Αἰγέας. Ita ubique. | σε ἄνδρα (A ἀνδρέα) φρ. ὄντα cum (A)BD: C τὸν φρόνιμον ἄνδρα | τοῦτ. ἐϑ. σε (B σε ϑέλειν) ἐρεισασϑ. (sic B; A ορησασϑαι) cum AB; D *istum velle sectari:* C τοῦτον ὃν λέγεις | C ἐν οἱῳ δήποτε | εἴτε γὰρ (B om) ἑκ. εἴτε ἀκ.: C ἢ ἑκόντα ἢ καὶ μὴ ἑκόντα | B ὅμως τῷ στ. καϑομ. αὐτ. προσπαγ.; C ὅμως δὲ τῷ στ. ὁμολογεῖς προσηλῶσϑαι

Digitized by Google

Ὁ μακάριος Ἀνδρέας εἶπεν Τοῦτό ἐστιν ὅπερ λέλεχα, εἰ ἤδη κατέχεις, ὅτι μέγα ἐστὶν τὸ μυστήριον τοῦ σταυροῦ· ὅπερ εἰ θέλεις ὡς εἰκὸς ἀκοῦσαι, ἐπανάλαβέ μοι.

Ὁ Αἰγεάτης εἶπεν Μυστήριον οὐ δύναται λέγεσθαι ἀλλὰ κόλασις.

Ὁ μακάριος Ἀνδρέας εἶπεν Αὐτὴ ἡ κόλασις μυστήριόν ἐστιν τῆς ἀνθρωπίνης ἀνακτήσεως· εἰ σοφωτέρως ἀκούσῃ, συνδοκιμάσεις.

Ὁ Αἰγεάτης εἶπεν Ἐγὼ μὲν μακροθύμως ἀκούσωμαι· σὺ δὲ εἰ μὴ ἐμοὶ πειθαρχῶν ὑπακούσῃς, αὐτὸ τὸ τοῦ σταυροῦ μυστήριον ἐν σεαυτῷ ἀναδέξει.

Ὁ μακάριος Ἀνδρέας ἀπεκρίνατο Ἐγὼ εἰ τὸ ξύλον τοῦ σταυροῦ ἐδεδοίκειν, τὴν δόξαν τοῦ σταυροῦ οὐκ ἂν ἐκήρυττον.

Ὁ Αἰγεάτης εἶπεν Μανιώδης ὁ λόγος σου, ὅτι κηρύττεις τὸν σταυρὸν μὴ εἶναι κόλασιν καὶ διὰ τῆς θρασύτητός σου τὴν τιμωρίαν οὐ δέδοικας τοῦ θανάτου.

Ὁ ἅγιος Ἀνδρέας εἶπεν Οὐχὶ διὰ τῆς θρασύτητος ἀλλὰ διὰ

CD om Ὁ μακάριος | εἶπεν: BD ἀπεκρίνατο | Τοῦτό ἐστ. usque κατέχεις cum A; BD T. ἐστ. ὅπερ κἀμὲ λελεχέναι ἤδη κατέχεις (*Hoc est quod etiam me dixisse iam retines*); C Τοῦτό ἐστιν ὃ προεῖπον | BC(D) om ὅτι | C μέγα μυστ. τὸ τοῦ σταυροῦ | ὅπερ usque μοι cum AB (D *quod si forte volueris audire, relexam*): C ὃ ἐὰν ϑελήσι (ϑελήσει; Woog ϑελήσῃ) ἀκοῦσαι, λέξω

κόλασις: C τιμωρία

Ὁ μακάριος: C Ὁ ἅγιος: D om | Αὐτὴ (uterque codex αὕτη) ἡ κόλασις (*Ipsum supplicium*) cum ABD: C Αὐτὴν τὴν τιμωρίαν | μυστήριον usque σοφωτέρως (B -ώτερος) ἀκούσῃ (B -σαι, A -σας) συνδοκ. (A οὖν δοκ.) cum AB: C μυστήριον οὖσαν καὶ ἀνάπλασιν τῆς ἀνϑρωπότητος, ἐπιγινώσκωμεν ἐὰν νῦν ἐχῶς ἀκούσας (Woog emendat ἐπιγνωσόμεϑα, ἐὰν νουνεχῶς ἀκούσῃς). D *mysterium restaurationis humanae, si patienter audias, comprobabis.*

B om Ἐγὼ μέν | μακροϑύμως: C νουνεχῶς (codex νῦν ἐχῶς) | σὺ δέ: B ἀλλὰ σύ | C ἐὰν μὴ συγκαιρίως (ita Woog; codex συνκεραστικῶς) ἀκούσῃς | B ἐπακοῦσιας (sic) | A αὐτὸ τοῦ στ. τὸ μυστ. | ἀναδέξει cum AB; C -ξῃ

Ὁ μακάριος: C Ὁ ἅγιος: D om | ἀπεκρίν.: C εἶπεν | Ἐγὼ εἰ: C ἐγώ, Woog emendat εἰ (scribe ἐγὼ εἰ) | C τὸν σταυρόν | ἐδεδοίκειν (B -δείκειν): C ἐδειλίουν | οὐκ ἂν h. l. cum BC; A ante τὴν δόξαν

C Ἀσαφής σου λόγος | ὅτι κηρύττεις usque δέδ. τ. ϑαν. cum A (sed ponit τ. ϑαν. δέδ.): B ἐστὶν ὃν κηρύττεις, καὶ τὸν σταυρὸν μὴ εἶναι κόλασιν, ὅτι διὰ τῆς ϑρασύτ. σου τὴν τιμωρ. οὐ δέδεικας τοῦ ϑανάτου: C κηρύττει σοι σταυρὸν κολάσεως, ὅτι διὰ κακοτεχνίας κόλασιν οὐ φοβεῖσαι ϑανάτου: D *praedicat gloriam supplicii, qui per audaciam poenam non times mortis.*

Ὁ ἅγιος: CD om | Οὐχί: A Οὐ | C διὰ κακοτεχνίας ἀλλὰ διὰ πίστεως

Digitized by Google

τῆς πίστεως οὐ δέδοικα τοῦ θανάτου τὴν τιμωρίαν· ὁ γὰρ τῶν ἁμαρτιῶν θάνατός ἐστιν πονηρός. καὶ διὰ τοῦτο ἀκοῦσαί σε βούλομαι τὸ τοῦ σταυροῦ μυστήριον, ἵν' ἴσως ἐπιγινώσκων πιστεύσῃς, πιστεύων δὲ εἰς ἀνανέωσιν τῆς σῆς ψυχῆς οἱῳδηποτοῦν τρόπῳ καταντήσῃς.

Ὁ Αἰγεάτης εἶπεν Εἰς ἀνανέωσιν τοῦτο ὅπερ ἀπόλλυσθαι διδάσκεται. μήτιγε ἡ ψυχή μου ἀπόλλυται ἵνα πρὸς τὴν αὐτῆς με ἀνανέωσιν ποιεῖς ἐλθεῖν διὰ τῆς οὐκ οἶδα ποίας πίστεως ἧς σὺ ἔφης;

5 Ὁ μακάριος Ἀνδρέας ἀπεκρίνατο Τοῦτό ἐστιν ὅπερ σε μαθεῖν ἐπεθύμουν, ὃ καὶ διδάξας φανερώσω ὅτι ἐν τῷ ἀπολέσθαι τὰς ψυχὰς τῶν ἀνθρώπων διὰ τὸ μυστήριον τοῦ σταυροῦ ἀνακαινισθήσονται. ὁ γὰρ πρῶτος ἄνθρωπος διὰ τῆς τοῦ ξύλου παραβάσεως τὸν θάνατον ἐπήγαγεν· καὶ χρεία ἦν τοῦτο τῷ ἀνθρωπίνῳ γένει ἵνα διὰ τῆς τοῦ ξύλου παθήσεως ὁ θάνατος ἐξωσθῇ ὁ εἰς τὸν κόσμον εἰσεληλυθώς· καὶ ἐπειδὴ ἐκ τῆς ἀμωμήτου γῆς ἐγε-

---

οὐ φοβοῦμαι κόλασιν θανάτου | ὁ γάρ usque πονηρός cum A: BC ὁ γὰρ θάν. τῶν ἁμαρτωλῶν πονηρός (B add ἐστίν): D *Mors enim iustorum preciosa est, mors vero peccatorum pessima.* | C om καί | B ἀκουστόν σοι θέλω ποιῆσαι | B βούλωμαι et τὸ μυστ. τοῦ σταυρ. | ἵν': A om (sed postea habet et πιστεύσῃς et καταντήσῃς); C ὅπως | B ἐπιγνοὺς ἴσως πιστ., καὶ πιστεύων εἰς ἀνακεφαλαίωσιν τ. σ. ψ. οἱῳδήποτε συμφώνῳ καταντ.: C διορθωσάμενός σε (Woog τε) καὶ πιστεύσας πρὸς οἰκοδομὴν τῆς σ. ψ. οἵῳ δήποτε τρόπῳ καταλάβῃς τοῦτο

C om Εἰς ἀναν. τ. ὅπ. ἀπόλλυσθαι (B ἀπολεῖσθαι) διδ.: D *Restauratur hoc quod periisse docetur* | C μὴ γὰρ ἡ ψ. μ. ἀπώλετο ἵνα πρὸς οἰκοδομὴν αὐτῆς ἐλθεῖν πειρασθῶ διὰ πίστεως ἧς λέγεις; | αὐτῆς: AB αὐτοῦ | B om ποιεῖς, et post ἐλθεῖν pergit corrupte τίς οὐκ οἶδα ποίας πίστεως παρασκεύασεν ἣ σὺ ἔφης (A νφης corrupte) | D *periit ut ad eius me restaurationem venire per fidem nescio quam tu asseras?*

5. Ὁ μακάριος: CD om | ἀπεκρ.: C εἶπεν | C ὃ εἰρηκέναι σε (Woog σοι): D *quod te discere* | ὃ καὶ διδάξας usque ἀνακαινισθήσονται cum A: B ὥστε ἀπολεῖσθαι τὰς ψυχὰς πάντων ἀνθρώπων διδάξω, καὶ τὸν ἀνακαινίσαι αὐτὰς μέλλοντα διὰ τοῦ μαρτυρίου τοῦ σταυροῦ φανερώσω: C ἵνα ἐν τῷ ἀπολωλεκυίας (ita vel -κέναι Woog, codex ἀπολελοκῦας) τὰς πάντων ἀνθρώπων ψυχὰς διδάξω δικαίαν τὴν οἰκοδομὴν αὐτῶν καὶ διὰ τοῦ μυστηρίου τοῦ σταυροῦ ἐφαπλώσω ταύτην: D *ut dum perditas animas hominum docuero, istam restaurationem earum per crucis mysterium pandam* | C διὰ τοῦ ξύλου τῆς παραβ., D *per lignum praevaricationis* | τὸν θάνατον: C om τόν | ἐπήγαγεν cum BC; A εἰσήγαγεν; D *induxit* | C καὶ ἀναγκαῖον ἦν ἵνα διὰ τοῦ ξύλου τοῦ πάθους, D *et necessarium hoc erat generi humano ut per lignum passionis* | B ὁ θάνατος εἰσεληλυθὼς ἐξωσθείη (codex -σθήει): C ὁ εἰσελθὼν θάνατος ἐκβληθῇ: D *mors quae ingressa fuerat pelleretur* | καὶ ἐπειδὴ ἐκ – – – ὁ (B ὃς) διὰ τῆς – – τὸν θάν. εἰς τ. κόσμ. (B τῷ κόσμῳ τὸν θάν.)

γόνει ὁ πρῶτος ἄνθρωπος ὁ διὰ τῆς τοῦ ξύλου παραβάσεως τὸν θάνατον εἰς τὸν κόσμον εἰσαγαγών, ἀναγκαῖον ὑπῆρχεν ἵνα ἐκ τῆς ἀμωμήτου παρθένου ὁ τοῦ θεοῦ υἱὸς τέλειος ἄνθρωπος γεννηθῇ, ζωὴν αἰώνιον ἥνπερ ἀπολωλέκεισαν οἱ ἄνθρωποι διὰ τοῦ Ἀδὰμ αὐτὸς ἀνακαινουργήσῃ καὶ διὰ τοῦ ξύλου τοῦ σταυροῦ τὸ ξύλον τῆς ἐπιθυμίας ἀποκλείσῃ· κρεμάμενος ἐπὶ τοῦ σταυροῦ τὰς ἀμωμήτους χεῖρας ἐξέτεινεν ὑπὲρ τῶν χειρῶν τῶν ἀκράτως ἐκταθεισῶν, ὑπὲρ τῆς ἡδυτάτης βρώσεως τοῦ κωλυτικοῦ δένδρου χολὴν εἰς βρῶσιν ἐδέξατο, καὶ τὸ θνητὸν τὸ ἡμέτερον εἰς ἑαυτὸν ἀναδεξάμενος τὴν αὐτοῦ ἀθανασίαν ἡμῖν ἐδωρήσατο.

[6] Ὁ Αἰγεάτης εἶπεν Ταῦτα τὰ ῥήματα ἐκείνοις ἀφηγεῖσθαι δυνήσει οἵτινές σοι πιστεύσουσιν· ἐμοὶ δὲ εἰ μὴ τοῦτο συναινέσαι ἔλθῃς ὅπως τοῖς παντοδυνάμοις θεοῖς τὰς θυσίας προσενέγκῃς, ἐν αὐτῷ τῷ σταυρῷ ὅπερ ἐπαινεῖς μαστιχθέντα σε προσπαγῆναι προστάξω.

Ὁ μακάριος Ἀνδρέας εἶπεν Ἐγὼ τῷ παντοκράτορι θεῷ τῷ μόνῳ ἀληθινῷ ὑπάρχοντι καθ' ἑκάστην ἡμέραν θυσίαν προσκο-

---

εἰσαγαγών (B εἰσήγαγεν), ἀναγκ. ὑπ. ἵνα ἐκ usque γεννηθῇ (B ἀναγκαίως διὰ τῆς ἀμωμ. παρθ. γεννηθεὶς τέλειος ἄνθρωπος ὁ τοῦ θε. υἱὸς ὁ τὸν πρῶτον ἄνθρωπον πεποιηκώς) cum A(B): C καὶ ὅτι ἐξ ἀμώμου γῆς γέγονεν ὁ πρῶτος ἄνθρωπος, ἀναγκαῖον ἦν ἐξ ἀμώμου παρθένου κυηθῆναι τὸν τέλειον ἄνθρωπον, ἵνα ὁ τοῦ θεοῦ υἱὸς ὁ πρώην ποιήσας τὸν ἄνθρωπον: D *et quomodo de immaculata terra factus fuerat homo primus, qui per lignum praevaricationis mundo mortem intulerat, necessarium fuit ut de immaculata virgine natus Christus perfectus homo, qui est dei filius, qui primum hominem fecerat* | BC ζω. τὴν αἰώνιον | C ἣν ἀπώλεσαν | B ἀπὸ τοῦ Ἀδὰμ οἱ ἄνθρ. | B ἀνακαινουργεῖσαι, C ἑτοιμάσει, D *repararet* | καὶ διὰ (B ἀπὸ) τοῦ: C εἶθ' οὕτως διὰ τοῦ | C ἀποκλείσει, B ἐναποκλεῖσαι | B κρεμάμμενος (sic) ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ τὰς ἀμ. χεῖρας ὑπὸ τῶν χειρῶν τῶν ἀκράτως ἐκταθεισῶν: C ἐκτείνει ἐν τῷ σταυρῷ τὰς ἀχράντους χεῖρας ὑπὲρ χειρῶν ἑκουσίως ἐκτεταμένων | ὑπὲρ τῆς -- κωλυτ. δένδρου (B ξύλου) -- ἐδέξατο (B δέξασθαι) cum AB: C ἀντὶ ἡδυτάτης τροφῆς τροφὴν χολῆς ἔλαβε | B καὶ εἰς ἑαυτὸν δεξάμενος τὸ θανατηφόρον ἡμῶν: C καὶ ἐν ἑαυτῷ δεξάμενος τὸ θνητὸν ἡμῶν | ἐδωρήσατο cum A: B προσκομίσει: C ἐχαρίσατο | D *repararet -- excluderet -- panderet -- acciperet -- offerret.*

6. ἐκείνοις usque πιστεύσουσιν: C τοῖς πιστεύουσί σοι δυνήσει λαλεῖν | εἰ μὴ τοῦτο (codex το τουτω) συναινέσαι ἔλθῃς ὅπως cum B; D *nisi hoc consentias ut:* A εἰ μὴ πειθαρχῶν. C εἰ μὴ πείθῃ (codex πιθεις) ὅπως et pergit θυσίαν τοῖς παντοκράτορσι θεοῖς προσενέγκῃς | C ᾧ ἐπαινεῖς ῥαβδισθέντα σε προσηλώσω

Ὁ μακάριος: C Ὁ ἅγιος: D om | B Τῷ παντοκρ. θεῷ ὃς μόνος ἀληθινὸς θεὸς ὑπάρχει ἐγὼ καθ' ἑκ. ἡμ. θ. πρ.: C Τῷ παντοκρ. θ. ἐγὼ πᾶσαν ἡμέραν

μίζω, οὐ λιβάνου καπνὸν οὐδὲ μυκωμένων ταύρων τὰς σάρκας οὐδὲ αἷμα τράγων, ἀλλ' ἄμωμον ἀμνὸν καθ' ἑκάστην ἡμέραν ἐν τῷ θυσιαστηρίῳ τοῦ σταυροῦ ἱερουργῶν· οὗτινος τὸ σῶμα πᾶς ὁ τῶν πιστῶν λαὸς μεταλαμβάνων καὶ τὸ αἷμα αὐτοῦ πίνων, ὁ ἱερουργηθεὶς ἀμνὸς μετὰ τοῦτο ὁλόκληρος διαμένει καὶ ζῶν. ἀληθῶς οὖν ἱερουργεῖται, καὶ ἀληθῶς τὸ σῶμα αὐτοῦ παρὰ τοῦ λαοῦ βιβρώσκεται, καὶ τὸ αἷμα αὐτοῦ ὁμοίως πίνεται, ὅμως καθὼς ἔφην ὁλόκληρος διαμένει καὶ ἀμώμητος καὶ ζῶν.

Ὁ Αἰγεάτης εἶπεν Ποίῳ τρόπῳ τοῦτο δύναται γενέσθαι;

Ὁ μακάριος Ἀνδρέας εἶπεν Εἰ βούλει γνῶναι, ἀνάλαβε μορφὴν μαθητοῦ ὅπως δυνήσει μαθεῖν ὅπερ ἐπεζήτεις.

Ὁ Αἰγεάτης εἶπεν Ἐγώ σε διὰ βασάνων ἀπαιτήσω χάριν τῆς τοιαύτης γνώσεως.

Ὁ μακάριος Ἀνδρέας ἀπεφήνατο Θαυμάζω σε ἄνδρα φρόνιμον ὄντα εἰς τοσαύτην μωρίαν προσκυλινδούμενον ἵνα δυνηθῇς με διὰ τῶν βασάνων σου πεῖσαι τὰ θεῖά σοι ἐκφάναι ἱερουργή-

---

θυσίαν ζῶσαν ἀναφέρω | οὐ λιβ. καπνόν (A καρπόν) etc: C οὐχὶ θυμιάματος καπνὸν οὐδὲ ταύρ. μυκ. σάρκας οὔτε τράγων αἷμα | B ἀλλ' ἀμώμητον | καθ' ἑκάστ. (C om) ἡμ. cum BCD: A om | C ἐν θυσιαστηρίῳ | A τοῦ σταυρ. αὐτοῦ | ἱερουργῶν: C θεῷ ἀναφέρω | οὗτινος τὸ σῶμα usque διαμένει καὶ ζῶν cum A: B corrupte οὗτινος τὰς σάρκας ὡς μετὰ τὸ ἅπας ὁ λαὸς τῶν πιστευόντων φάγει καὶ ποιεῖ αὐτοῦ τὸ αἷμα, ὁ ἀμνὸς ὁ ἱερουργ. ζῶν καὶ ὁλόκλ. διαμένει: C οὗ τὰς σάρκας μετὰ τὸν πιστὸν λαὸν φαγεῖν καὶ τὸ αἷμα αὐτοῦ πιεῖν, ὁ θυθεὶς (codex τυθεὶς) ἀμνὸς ἀκαίρεος διαμένει καὶ ζῶν: D *cuius carnes posteaquam omnis populus credentium manducaverit et eius sanguinem biberit, agnus qui sacrificatus est integer perseverat et vivus* | ἀληθῶς οὖν usque ἀμώμητος καὶ ζῶν (*et cum vere sacrificatus sit et vere carnes eius manducatae sint a populo et vere sanguis eius sit haustus, tamen ut dixi integer permanet et immaculatus et vivus*) cum AD: BC om

Ποίῳ τρόπ.: C Πῶς | C δύν. τοῦτο, B δυνήσεται τοῦτο

Ὁ μακάριος: C Ὁ ἅγιος: D om | εἶπεν: BD ἀπεκρίνατο | βούλει cum B; A βούλῃ; C θέλεις | γνῶναι cum A: BC εἰδέναι | μορφήν cum B; D *formam*; A τάξιν; C πρόσωπον | ὅπ. δυνήσει (A -ση) μαθ. cum AB; C ἵνα διδαχθῇς | ὅπερ (A ὃ) ἐπεζήτεις (A -ζήτησας) cum BA; CD ὅπερ ζητεῖς

σε: C παρά σου | διὰ βασάνων cum A; B βασανισμοῖς; C βασάνους (Woog -νοις); D *tormentis* | ἀπ. χάριν τ. τ. γν. cum B; C τοῦτο (Woog τούτου) χάριν ἀπ.; A ἀπ. τῆς τοι. γν. τὴν φανέρωσιν; D *exigam huius rei notitiam*

Ὁ μακάριος: C Ὁ ἅγιος: D om | ἀπεφήν. cum A; B ἀπεκρίνατο; C εἶπεν | C ἄνθρωπον ὄντα συνετόν | εἰς: B πρός | μωρίαν (A τιμωρίαν) προσκ.: C ἀσυνεσίαν ἐξοχείλαντα (codex ἐξωκήλ.) | ἵνα δυν. usque ἱερουργ. cum B; A ἵνα δυν. διὰ βασάνων με ἐκφάναι σοι τὰ θ. ἱερουργ.; C τοῦ νομίζειν σε διὰ βασάνων ἐφαπλῶσαι τὰς θείας θυσίας; D *Ergo tu tormentis putas me divina tibi pan-*

ματα. ἀκήκοας τὸ μυστήριον τοῦ σταυροῦ, ἀκήκοας τὸ μυστήριον τῆς ἱερουργίας. εἰ πιστεύεις εἰς Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν σταυρωθέντα, ἐκφανῶ σοι πάντως ὁποίᾳ τάξει σφαγιασθεὶς ζήσει ὁ ἀμνὸς ὁ μετὰ τὸ ἱερουργηθῆναι καὶ βρωθῆναι αὐτὸν ὁλόκληρος καὶ ἀμώμητος ἐν τῇ αὐτοῦ βασιλείᾳ διαμένων.

Ὁ Λίγεάτης εἶπεν Καὶ ποίῳ τρόπῳ ὁ ἀμνὸς ἐν τῇ αὐτοῦ βασιλείᾳ διαμένει ἐν τῷ σφαγιασθῆναι αὐτὸν καὶ ὑπὸ παντὸς τοῦ λαοῦ ὡς σὺ ἔφης βρωθῆναι;

Ὁ μακάριος Ἀνδρέας εἶπεν Εἰ πιστεύεις ἐξ ὅλης σου τῆς καρδίας, μαθεῖν δυνήσει· εἰ δὲ μὴ πιστεύεις, οὐδέποτε σὺ πρὸς τὴν εἰκόνα τῆς τοιαύτης καταντήσεις ἀληθείας.

7 Τότε ὀργισθεὶς ὁ Λίγεάτης ἐκέλευσεν αὐτὸν ἐν φυλακῇ καθειρχθῆναι· ἔνθα ὄντος αὐτοῦ κατακλείστου συνῆλθεν πλῆθος λαοῦ πρὸς αὐτὸν σχεδὸν ἀπὸ πάσης τῆς ἐπαρχίας, ὥστε τὸν Αἰ-

---

dere mysteria? | ἀκήκ. τὸ μ. τοῦ σταυροῦ cum AD: BC om | C ἤκουσας τὸ μυστ. τῆς θυσίας | εἰ (B praem λειπων, corrige λοιπόν?) πιστ. εἰς Χριστ. (A om) τὸν -- σταυρωθέντα cum AB; C ἐὰν πιστεύσῃς τὸν Χρ. υἱὸν τοῦ θεοῦ εἶναι τὸν σταυρωθέντα | σταυρωθέντα: BCD add ὑπὸ (C add τῶν) Ἰουδαίων ἀληθινὸν (C -θῆ) θεὸν εἶναι | ἐκφανῶ σοι πάντως cum B; C ἐφαπλώσω σοι; D *pandam tibi:* A (corrupte) nil habet | ὁποίᾳ τάξει (A corrupte ὅπως τάξῃ): C οἵῳ τρόπῳ | A ὁ ἀμνὸς σφαγιαζόμενος ὃς μετὰ τὸ ἱερουργηθῆναι καὶ βρωθῆναι αὐτὸν ὁλόκλ. καὶ ἀμώμ. διαμένει τῇ αὐτοῦ βασιλείᾳ, B σφαγιασθεὶς ζήσει (addit τό?) ὁ ἀμνὸς ὁ μετὰ τὸ ἱερουργ. ὁλόκλ. καὶ ἀμώμ. ἐν τῇ αὐτοῦ βασ. διαμένων, C ζῇ ὁ ἀμνὸς ὃς (codex ὁ) μετὰ τὸ τυθῆναι (Woog θυθῆναι) καὶ βρωθῆναι ὡς ἀκαίρεος καὶ ἄμωμος ἐν τῇ αὐτ. βασ. διαμένη (Woog -νει). D *vivat agnus, qui cum sacrificatus fuerit et comestus, integer tamen et immaculatus in suo regno permanet.*

C Καὶ πῶς ἀμνὸς ἐν βασιλείᾳ διαμενεῖ | σφαγ. αὐτόν usque βρωθῆναι cum B; A εἶναι αὐτὸν σφαγιασθέντα -- καθὼς σὺ -- καταβρωθέντα; C σφαγῆναι καὶ παρὰ παντ. τ. λα. καθὼς λέγεις βρωθῆναι

Ὁ μακάριος: C Ὁ ἅγιος: D om | Εἰ etc cum B: C Ἐὰν πιστεύσεις ἐξ ὅλης καρδίας, δυνήσῃ μαθεῖν: A Εἰ π. ἐξ ὅλ. τ. κ. σου, δύνασαι μαθῆναι | πιστεύεις cum A: BC πιστεύσεις (B -σῃς) | οὐδέποτε cum AC; B praem τὸ καθόλου; D *penitus nunquam* | πρὸς -- καταντ. ἀληθ. (B ἀλ. κατ.): C δυνήσῃ καταλαβεῖν πρὸς τελείωσιν τῆς ἀληθείας: D *tu ad indaginem* (AB *imaginem*, εἰκόνα) *huius veritatis attinges*

7. C ἐν φυλακῇ φρουρηθῆναι, B πρὸς εἱρκτὴν καθειρχθέντα | B ἔνθα ὡς εἶναι αὐτὸν κατάκλειστον ἐληλυθέναι πρὸς αὐτὸν πλῆθος πολὺ σχενδὸν (ita) ἀπὸ π. τ. ἐπ.: C ἐν ᾗ κατακλείστου (inepte editum est κατακλεις, τοῦ) αὐτοῦ ὄντος ἦλθε πρ. αὐτ. τὸ πλῆθος πάσης τῆς χώρας: D *ubi cum esset clausus, venit ad eum multitudo bene totius provinciae* | ὥστε τὸν (B add μὲν) Αἰγ. βουλεύσασθαι (B -εύεσθαι) ἀποκτ. (B φονεύειν), τὸν δὲ -- τῶν θυρ. τῆς φ. συνθλ. (B θλασθέντων τῶν θυρῶν) λυτρ. cum AB, item D (*ita ut Aegeam vellent occidere, et An-*

Digitized by Google

γεάτην βουλεύσασθαι ἀποκτεῖναι, τὸν δὲ μακάριον Ἀνδρέαν τὸν ἀπόστολον τῶν θυρῶν τῆς φυλακῆς συνθλασθέντων λυτρώσασθαι.

Οὗς ὁ μακάριος Ἀνδρέας τοιούτοις ῥήμασιν ἐνουθέτησεν λέγων Μὴ θελήσητε τὴν ἡσυχίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς στασιώδη καὶ διαβολικὴν ταραχὴν ἐξεγεῖραι. ὁ γὰρ κύριός μου παραδοθεὶς μετὰ πάσης μακροθυμίας ἤνεγκεν· οὐκ ἐφιλονείκησεν, οὐκ ἐκραύγασεν, οὐδὲ ἐν ταῖς πλατείαις τις αὐτοῦ κραυγάζοντος ἀκήκοεν. ἔχετε οὖν καὶ ὑμεῖς σιωπὴν ἡσυχίαν καὶ εἰρήνην, καὶ μὴ τὸ ἐμὸν μαρτύριον ἐμποδίσητε, μᾶλλον δὲ καὶ ὑμᾶς ἑαυτοὺς ὡς ἀθλητὰς τῷ κυρίῳ προετοιμάσατε, ὅπως τὰς ἀπειλὰς ἀδειλάνδρῳ τῇ ψυχῇ νικήσητε, τοὺς δὲ αἰκισμοὺς διὰ τῆς ὑπομονῆς τοῦ σώματος ὑπερβάλητε. ἡ γὰρ πρόσκαιρος αὕτη πτῶσις φοβητέα οὐ τυγχάνει· ἐκείνην χρὴ φοβηθῆναι τὴν τέλος μὴ ἔχουσαν. ὁ τῶν ἀνθρώπων οὖν φόβος ἐοικώς τινι καπνῷ, ὅστις ἐν ὅσῳ ἀθρόον διεγείρεται, ἀφανίζεται. καὶ ὀδύνας ἐκείνας

---

dream apost. fractis ianuis carceris liberare): C ὥστε θελῆσαι τὸν Αἰγέαν ἀποκτ. καὶ Ἀνδρ. τὸν ἀπ. τῶν θυρῶν κεκλεισμένων (emenda κεκλασμ. ut iam Woogio videbatur) διασῶσαι

μακάριος: CD ἅγιος | τοιούτοις: BD τούτοις τοῖς | ῥήμασιν: C λόγοις | B ἐνουθέτει, C παρεκάλει | εἰς στασ. καὶ (B om) διαβ. ταρ. (B om) cum A(B); C εἰς ἀνασοβὴν (Woog: „forte ἀνασόβησιν") διαβολικήν; D *in sedilionem diabolicam* | C διεγεῖραι | C καὶ γὰρ ὁ κύριος παραδοθείς, B ἐπεὶ οὖν παραδοθεὶς ὁ μακάριός (corrige κύριός) μου | B πᾶσαν μακροθυμίαν παρέσχεν, C πᾶσ. ὑπομονὴν ἐνεδείξατο | C οὐκ ἔκραξεν | οὐδὲ (A add τις) ἐν τ. πλ. τις (A om) cum (A)BCD | αὐτοῦ κραυγάζ. ἀκήκ. (C ἤκουσεν κράξαντος) cum BCD: A τὴν φωνὴν αὐτοῦ ἤκουσεν | ἔχετε: C ἐσχῆτε | CD om καὶ ὑμεῖς | C σιωπ. καὶ εἰρ. καὶ ἡσυχ. | B καὶ μὴ μόνον | A ἐνποδήσηται | μᾶλλον δέ: C ἀλλά, B ἀλλὰ γάρ | ὑμᾶς (A ὑμεῖς, C om) ἑαυτοὺς (B om) ὡς (C καθάπερ) ἀθλητὰς (A -ται) τῷ (B αὐτοὺς τῷ) κυρ. προετοιμ. (C ἑτοιμ.) | BC ὅπως νικήσ. τὰς (C om) ἀπ. ἀδ. τῇ ψυχ. (C ἐν ἀφοβίᾳ ψυχῆς) | τοὺς δὲ -- ὑπερβάλητε (ita B; A -βάλλητε) cum AB; C τὰς δὲ πληγὰς διὰ τῆς ῥώσεως τοῦ σώμ. ὑπενέγκητε | ἡ γὰρ πρόσκ. (B om) αὕτη (B τοιαύτη) πτ. φοβ. οὐ (AB om; supplevi) τυγχ. (B ἐστιν)· ἐκείνην -- ἔχουσαν (B ἐκεῖνος οὖν, ἔφη, φοβητέος ὁ θάνατος ὁ τέλος μὴ ἔχων) cum A(B); C εἰ γὰρ ὁ φόβος ἐκφοβεῖ, ἐκεῖνος ὁ τέλος μὴ ἔχων; D *si enim terror timendus est, ille est utique timendus qui finem non habet* | ὁ τῶν ἀνθρ. οὖν φόβ. cum A: BC ἐπεὶ ὁ ἀνθρώπινος φόβ. | B ἐοικώς ἐστιν κάπνῳ, ὅστις -- αὖθις ἀφανίζεται: C καπνοῦ ὅμοιός ἐστιν, καὶ αἰφνὶς (Woog αἴφνης) διεγερθεὶς καταπραΰνεται | καὶ ὀδύνας (κ. ὀδ. supplevi) ἐκείνας -- ἐχούσας cum A; B καὶ αἱ ὀδύναι φοβητέαι εἰσὶν αἱ οὕτως ὑπάρχονται, αἵτινες οὐδέποτε περατοῦνται; C καὶ ἐάν εἰσι πόνοι, ἐκεῖνοί εἰσιν οἱ οὕτως ἀρχόμενοι ὡς μηδέποτε τέλος ἔχειν; D *et si dolores timendi sunt, illi sunt formidandi qui sic incipiunt ut nunquam finiantur.*

Digitized by Google

χρὴ φοβηθῆναι τὰς μηδέποτε τέλος ἐχούσας. αὗται γὰρ αἱ ὀδύναι αἱ μὲν κουφότεραι τύχωσιν εἶναι καὶ ὑπενέγκαι τις αὐτὰς δύναται· εἰ δὲ βαρεῖαί εἰσιν, ταχέως τὴν ψυχὴν ἐκβάλλουσιν. ἐκεῖναι δὲ αἱ ὀδύναι αἰώνιοι τυγχάνουσιν, ἔνθα καθημερινοὶ κλαυθμοὶ καὶ οἰμωγαὶ καὶ ὀλολυγμοὶ καὶ ἀτελεύτητος βάσανος, πρὸς ἃς ὁ ἀνθύπατος Αἰγεάτης ἀπιέναι οὐ δέδοικεν. γίνεσθε οὖν μᾶλλον ἕτοιμοι πρὸς τοῦτο, ὅπως διὰ τῶν ἐπικαίρων θλίψεων πρὸς τὰς αἰωνίους ἀναπαύσεις καταντήσητε ἀεί τε ἐπανθήσητε καὶ Χριστῷ συμβασιλεύσητε.

[8] Ταῦτα καὶ τὰ τούτοις ὅμοια τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου δι' ὅλης τῆς νυκτὸς τὸν λαὸν νουθετοῦντος, ἐν τῷ τὸ φῶς τῆς ἡμέρας διαυγάζειν μεταπεμψάμενος ὁ Αἰγεάτης ἀχθῆναι πρὸς αὐτὸν τὸν μακάριον Ἀνδρέαν προσέταξεν, καὶ καθίσας ἐπὶ τοῦ βήματος εἶπεν Ἐλογισάμην σε διὰ τῆς νυκτερινῆς μερίμνης ἐπιστρέψαι τὸν λογισμόν σου ἀπὸ τῆς μωρίας καὶ ἀπὸ τοῦ ἐπαίνου τοῦ Χριστοῦ σου ἐνδοῦναι, ὅπως δυνήσῃ μεθ' ἡμῶν εἶναι καὶ μὴ

αὗται γὰρ -- ἐκβάλλουσιν cum A. B corruptissime sic: αὗται δὲ αἱ ὠδύναι ἢ κουφώτεραί ἠσιν καὶ ὑπομαίνεσθαι δύνανται· εἰται βαρίαι ἠσίν καὶ ταχέως τὴν ψυχὴν ἐκβαλοῦσαι. C οὗτοι γὰρ οἱ πόνοι ἐλαφροί εἰσι καὶ ὑπομονητικοί· εἰ δὲ βαροί, καὶ τάχιον τὰς ψυχὰς ἐκφέρουσιν. D *isti enim dolores aut leves sunt et tolerantur, aut graves sunt et cito animam eiiciunt.* | ἐκεῖναι δὲ αἱ ὀδ. αἰώνιοι (B -νιαι) τυγχ. (B εἰσιν) ἔνθα (B add ἐστὶν) καθημ. (B ἡμερούσιος) κλαυθμοὶ (-μὸς B) κ. οἰμωγαὶ (B οἰμογεί, i. e. οἰμωγή) κ. ὀλολυγμοὶ (B -σμὸς) κ. ἀτ. βάσ. cum A(B): C ἐκεῖνοι δὲ αἰώνιοί εἰσιν, ὅπου καθημερινὸς ὀδυρμὸς καὶ αἰμωγαὶ (Woog αἱμωδιά) καὶ ὀλολυγμὸς καὶ ἀτελ. κρίσις: D *illi autem dolores aeterni sunt, ubi est quotidianus fletus et mugitus et luctus et sine fine cruciatus.* | B πρὸς ὃν Αἰγ. ὁ ἀνθ. ἀπ. οὐ δέδεικεν: C ἔνθα ὁ Αἰγέας ὁ ὕπατος πορευθῆναι οὐ πτοῆται | C ἕτοιμοι μᾶλλον | ὅπως -- ἀναπαύσεις (B χαράς, D *gaudia*) κατ. cum ABD: C ἵνα δ. τ. προσκαίρων θλ. εἰς τὴν αἰώνιον χαρὰν φθάσητε | ἀεί τε ἐπανθήσητε (codex corrupte πενθήσηται) -- συμβασ. cum A. B ἔνθα διὰ παντὸς εὐφρανθῆτε ἀεί τε ἐπανθήσητε, ἅμα σὺν Χρ. βασιλεύσητε. C ἔνθα πάντοτε εὐφρανθῆτε, πάντοτε ἐξανθήσητε, ἀεὶ σὺν Χρ. βασιλεύσητε. D *ubi semper laetemini, semper florealis semperque cum Christo regnetis.*

8. Ταῦτα -- ἀποστ. Ἀνδρέου (B Ἀνδρ. τοῦ ἀποστ.) -- ἐν τῷ τὸ φῶς τῆς ἡμέρας (ita B; A τὴν ἡμέραν τὸ φῶς; D *dum lux diei in matutino prorumperet*) διαυγ. cum AB(D): C Ταῦτα τοῦ ἁγίου Ἀνδρέου δι' ὅλης τ. ν. τῷ λαῷ παραινοῦντος, ἐν τῷ αὐγάζειν πρωὶ ἡμέραν | μεταπεμψάμενος -- εἶπεν cum AB; CD ἀπέστειλεν ὁ Αἰγέας καὶ ἤγαγεν πρὸς ἑαυτὸν τὸν ἅγιον Ἀνδρ. καὶ καθίσας etc. | Ἐλογισάμην -- μωρίας (A add ἐκείνης) -- ἐνδοῦναι cum AB. C Δοκῶ διὰ τῆς νυκτὸς ἐσκέψω (Woog ἐπισκέψεως) ἀποστρέψαι τὸν λογισμόν σου ἐκ τῆς ἀπαιδευσίας σου καὶ τῆς τοῦ Χρ. σου αἰνέσεως παύσασθαι. D *Existimavi te nocturna cogitatione revocare animum tuum a stultitia et a Christi tui laude cessare* | ὅπως

ἀποβάλλεσθαι τὰ τοῦ βίου χαρίεντα· μωρία γάρ ἐστιν προθέσει τινὰ πρὸς τὸ τοῦ σταυροῦ πάθημα ἔλθεῖν καὶ ποιναῖς καὶ φλογαῖς αἰσχίσταις ἑαυτὸν παραπέμψαι.

Ὁ ἅγιος Ἀνδρέας ἀπεκρίθη Τὴν χαρὰν μετὰ σοῦ σχεῖν δυνήσομαι ἐὰν πιστεύσῃς τῷ Χριστῷ καὶ ἀποβάλῃς τὴν τῶν εἰδώλων θρησκίαν. ἀπέστειλεν γάρ με ὁ Χριστὸς εἰς ταύτην τὴν ἐπαρχίαν, εἰς ἣν οὐκ ἐλάχιστον δῆμον τῷ Χριστῷ περιεποιησάμην.

Ὁ Αἰγεάτης εἶπεν Διὰ γὰρ τοῦτο σπεῖσαί σε συνωθῶ, ὅπως οὗτοι οἱ ὑπὸ σοῦ ἀπατηθέντες λαοὶ ἐγκαταλείψουσιν τὴν ματαιότητα τῆς σῆς διδασκαλίας καὶ αὐτοὶ προσκομίσωσιν τοῖς θεοῖς χαρίεντας σπονδάς· οὐδὲ γὰρ μία πόλις ἀπέμεινεν ἐν τῇ Ἀχαΐᾳ ἐν ᾗ τὰ ἱερὰ αὐτῶν οὐκ ἐγκατελείφθησαν καὶ ἠρήμωνται. καὶ νῦν διὰ σοῦ πάλιν ἀνανεωθῶσιν τῇ τῶν εἰδώλων θρησκίᾳ, ὅπως

δυνήσῃ (B δυνηθήσει) μεθ' ἡμ. εἶν. καὶ (B om μ. ἡ. ε. καὶ) μὴ ἀποβ. τὰ τοῦ β. χαρ. (haec corrupta in B τὰ τοῦ β. ἀποκαλέσθαι χαριεντί)· μωρία (B μωρὸν) γ. ἐ. προθέσ. τινὰ (B τὸ λοιπόν [codex λειπόν] σε θέλειν) πρὸς -- ἔλθεῖν (B ἐπιέναι) -- αἰσχίσταις (codex -στοις) ἑαυτ. (B ἑαυτ. αἰσχυντοῖς) παραπ. cum AB. C(D) ὅπως δυνήσῃ μεθ' ἡμῶν τὰς (codex τὰ) τῆς ζωῆς μὴ καταλεῖψαι χάριτας. ἀβέλτερον (codex ἀβέντερον) γάρ ἐστιν τοῦ λοιποῦ θελῆσαι (D *stultum est enim ultro velle*) εἰς τὸ τοῦ σταυροῦ πάθος πορευθῆναι καὶ πυραῖς καὶ φλοξὶ χαλεπαῖς (ita Woog; codex ἐπυραῖς χαλαιπαῖς) ἑαυτὸν παραστῆσαι (D *et ignibus ac flammis te ipsum pessimis destinare*)

Ὁ ἅγιος: D om | B ἀπεκρίνατο | B Τὰς χάριτας μετὰ σοῦ ἔχειν δυνήσωμαι εἰ πιστεύσεις τῷ Χρ. μου καὶ -- θρησκείαν. ἀπέστ. -- αὐτὴν τὴν ἐπαρχ. -- τῷ κυρίῳ περιποιήσωμαι: C Χάριτας ἔχειν σὺν σοὶ δυνήσομαι ἐὰν τῷ Χρ. πιστεύων καταλείπεις (-πῃς Woog) τὸ σέβας τῶν εἰδώλων. ὁ γὰρ Χρ. με ἀπέσταλκεν εἰς ταύτην τὴν χώραν, εἰς ἣν (Woog ἐν ᾗ) οὐ μικρὸν λαὸν ἐξεζήτησα τῷ κυρίῳ: D *Gaudia tecum habere potero si credens Christo dimittas culturas idolorum. Christus enim -- ei acquisivi.*

B Διὰ τοῦτό σε σπ. συνωθ. ὅπως οὗτοι (ex B sumsi, om A) οἱ διὰ σοῦ νουθετηθέντες λ. ἐγκαταλείψωσιν -- διδαχῆς -- χαρίεντας (ex B sumsi, om A) σπ.: C Διά γ. τ. σε συνωθῶ θῦσαι ἵνα οὗτοι οἱ ὑ. σ. πλανηθέντες λ. καταλείπωσι τὴν -- διδασκαλ. καὶ θύσωσι τοῖς θεοῖς: D *Ideo te sacrificare compello ut isti qui per te decepti sunt populi relinquant vanitatem tuae doctrinae et ipsi diis offerant grata libamina* | οὐδὲ γ. μ. (BC μ. γ.) πόλ. (C post Ἀχ. ponit) ἀπέμ. (B ἐνέμ., C ἐγκατελείφθη) ἐν (A om) τ. Ἀχ. ἐν ᾗ (B οὗ ἐν ᾗ) | τὰ ἱερ. α. -- ἠρήμωνται (A ἐρήμονται, B εἰρήμονται) cum AB(D): C οὐκ ἀπεύκτεα (Woog -κταῖα) καὶ κατεστραμμένα εἰσὶ τὰ τῶν θεῶν τὸ σέβας | καὶ νῦν -- θρησκίᾳ (B -σκείᾳ) cum AB(D): C male om; debebat enim ita fere scribi (vide quae modo ex C allata sunt) -- εἰσὶ τὰ τῶν θεῶν ἱερά. καὶ νῦν διὰ σοῦ πάλιν ἀνανεωθῇ τῶν θεῶν τὸ σέβας. | ὅπως -- οἱ (A om) κ. σ. θυμούμενοι (A θυμώμ.) ἐπὶ τούτῳ (B om)

Digitized by Google

καὶ οἱ θεοὶ οἱ κατὰ σοῦ θυμούμενοι ἐπὶ τούτῳ ἀρεσθέντες ποιήσωσιν ἵνα καὶ εἰς τὴν αὐτῶν καὶ εἰς τὴν ἡμετέραν φιλίαν δυνηθῇς ἐπανακάμψαι. εἰ δὲ μή γε, διάφορα ὑπὲρ τῆς τῶν θεῶν ἐκδικήσεως ὑπομενεῖς κολαστήρια, καὶ μετὰ ταῦτα τῷ τοῦ σταυροῦ ξύλῳ ᾧ ἐπαινεῖς ἀναρτηθεὶς ἐκλείψεις.

Ὁ ἅγιος Ἀνδρέας εἶπεν Ἄκουε, υἱὲ τοῦ θανάτου καὶ ἄχρων τοῖς αἰωνίοις ἑτοιμασθὲν ἐμπυρισμοῖς, ἐμοῦ τοῦ δούλου τοῦ θεοῦ καὶ ἀποστόλου Ἰησοῦ Χριστοῦ, ἕως τοῦ νῦν μειλιχίως μετὰ σοῦ συνέτυχον περὶ τῆς ἀκριβείας τῆς πίστεως, ὅπως τῆς ἀπολογίας δεκτικός, τῆς ἀληθείας ἔκδικος ἀποτελεσθεὶς τὰ μάταια εἴδωλα καταφρονήσῃς καὶ θεὸν τὸν ἐν τοῖς οὐρανοῖς ὄντα προσκυνήσῃς· ἐπειδὰν δὲ τῇ ἀναιδείᾳ τῇ αὐτῇ μένεις διατελῶν καὶ ἐμὲ οἴει διὰ τῶν ἀπειλῶν σου ἐκφοβεῖν, εἴ τί σοι δοκεῖ ἐν κολαστηρίοις μεῖζον ὑπάρχειν, προσάγαγέ μοι. τοσοῦτον γὰρ ἔσομαι

ἀρεσθ. cum AB: C ὅπως κ. οἱ θε. κατὰ σοῦ ὀργισθέντες | ποιήσωσιν -- ἐπανακάμψαι cum A: B δυνηθῶσιν καὶ εἰς τὴν ἐμὴν φιλίαν ἐμμεῖναι, καὶ αὐτὸς δὲ πάλιν εἰς τὴν αὐτῶν διαμεῖναι: C εὐμενισθῶσι, καὶ ἐν τῇ ἡμετέρᾳ δυνήσῃ φιλίᾳ διαμεῖναι: D *placari possint, et in nostra possis amicitia permanere.* | εἰ δὲ μή γε (C om) cum BCD: A εἰ δὲ μὴ βουληθῇς μοι ἐπακοῦσαι | διάφορα -- ἐκδικ. ὑπομενεῖς (A -μείνῃς) κολ. (B ὑπομενῇς κολ. ἐκδικ.) cum AB(D): C διαφόρους ὑποστήσῃ ἐκδικήσεως βασάνους | C καὶ τέλος ἐν τῷ σταυρῷ | ᾧ (A ᾗ, B add σύμπερ) ἐπαινεῖς cum ABC; D *quam laudasti* | ἀνάρτ. (C κρεμάμενος) ἐκλείψεις (A -ψοις): D *suspensus deficies*

Ὁ ἅγιος: D om | εἶπεν: BD ἀπεκρίνατο | C Ἄκουσον υἱὲ διαβόλου | τοῖς αἰων. ἑτοιμ. ἐμπυρ. (*aeternis parata incendiis*) cum BD: A τῷ αἰωνίῳ πυρὶ ἑτοιμ.: C τιτρεπισμένον τῷ αἰωνίῳ ἐμπυρισμῷ | ἐμοῦ (B ἄκουσον ἐμοὶ) τοῦ δ. τ. θ. (B τῷ τοῦ κυρίου δούλῳ) κ. ἀποστόλου (B -λῳ, A add τοῦ κυρίου ἡμῶν) Ἰ. Χρ. cum AB: C ἐμοῦ τοῦ δούλου Χριστοῦ: D *audi me servum domini et apostolum Iesu Christi* | ἕως τ. ν. μειλιχίως (codex corrupte με εχη· ος) μετὰ -- πίστεως cum A: B νῦν ἕως πότε μηλιχίως μετὰ σοῦ πέπραχα τῇ ἀκριβίᾳ τῆς πίστεως: C ἕως πότε πραέως μετὰ σοῦ διαλεχθήσομαι περὶ τῆς πίστεως: D *nunc usque mitius tecum egi censura fidei* | ὅπως -- καταφρονήσῃς cum B: A ἵσος δεκτικῶς (corrige ἴσως δεκτικός) τῆς ἀληθείας γενόμενος τῆς ματαιότητος τῶν εἰδώλων καταφρ.: C καθάπερ, τέλειος τῆς ἀληθείας ἔκδικος γενόμενος, ἔδει σε καταφρονῆσαι τῶν ματαίων εἰδώλων: D *ut rationis capax et veritatis defensor effectus idola vana contemneres* | καὶ θεὸν -- προσκυνήσῃς cum ABD: C καὶ θεὸν τὸν ὄντα προσκυνῆσαι | ἐπειδὰν -- καὶ ἐμὲ οἴει (codex οἱ) διὰ -- προσάγ. μοι cum A: B ἀλλ' ἐν τῇ ἀναιδείᾳ σου διατελῶν ἐμοὶ εἰ (ἐμὲ? ἐμὲ οἴει?) δύνασθαι τὰς ἀπειλάς σου δειλανδρίσαι ἐπινοεῖς· εἴ τι οὖν σοι φαίνεται ἐν κολαστηρίοις μεῖζον (codex μείζονα), διαλόγισαι: C ἀλλ' ἐπειδὴ ἐν τῇ ἀκαθαρσίᾳ σου ἐπιμένεις καὶ νομίζεις με τὰς ἀπειλάς σου πτοεῖσθαι, ὃ δοκεῖ σοι πρὸς τιμωρίαν μερίμνησον: D *sed quia in impudentia tua perdurans me putas minas tuas posse formidare, quicquid tibi videtur in suppliciis maius, excogita.* | τοσοῦτον -- ὅσον (codex add ἐνῇ

τῷ ἐμῷ βασιλεῖ εὐαρεστῶν, ὅσον ὑπὲρ τῆς τοῦ ὀνόματος αὐτοῦ ὁμολογίας ἐν ταῖς βασάνοις διακαρτερήσω.

[9] Τότε ὀργισθεὶς ὁ ἀνθύπατος Αἰγεάτης ἐκέλευσεν τὸν ἀπόστολον τοῦ Χριστοῦ ταῖς βασάνοις κακωθῆναι. ἐκταθεὶς οὖν ὑπὸ στρατιωτῶν ἑπτάκις τρισὶν καὶ εὐτόνως τυπτηθείς, κουφισθεὶς προσήχθη ἔμπροσθεν τοῦ ἀσεβοῦς Αἰγεάτου. πρὸς ὃν διελέχθη οὕτως Ἄκουσόν μου, Ἀνδρέα, καὶ ἀπὸ τῆς ἐκχύσεως τοῦ αἵματός σου τὸν λογισμόν σου ἀνάστειλον· εἰ δὲ οὐ βούλει μοι ὑπακοῦσαι, ἐν τῷ τοῦ σταυροῦ ξύλῳ ποιήσω σε ἀπολέσθαι.

Ὁ ἅγιος Ἀνδρέας εἶπεν Ἐγὼ τοῦ σταυροῦ τοῦ Χριστοῦ δοῦλος τυγχάνω, καὶ μᾶλλον ὤφειλον εὔξασθαι ἐντυχεῖν τῷ τροπαίῳ τοῦ σταυροῦ ἥπερ δειλιᾶσαι· σοὶ δὲ αἰώνιος ἀπόκειται βάσανος, ἥνπερ καὶ ἐκφυγεῖν δυνήσει μετὰ τὸ δοκιμάσαι σε τὴν

πλεῖον) ὑπὲρ -- διακαρτ. cum A: B τοσοῦτον γὰρ τῷ ἐμῷ βασιλεῖ ἔσομαι δεκτέος, ὅσον ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἔσομαι διαμένων εἰς τὰς βασάνους (codex add ου) ὁμολογητής: C τοσούτω (Woog τοσοῦτον) γὰρ τῷ ἐ. β. γενήσομαι εὐπρόσδεκτος, ὅσον ὑπὲρ τοῦ ὀν. αὐτ. διαμείνω ἐν βασάνοις ὁμολογητής: D *tanto enim meo regi ero acceptior, quanto pro eius nomine fuero permanens in tormentis confessor.*

9. Τότε ὀργ. ὁ ἀνθ. Αἰγ. (B ὁ Αἰγ. ἀνθ.) ἐκέλ. (B add ὅπως) -- κακωθῆναι (B κακώσει, corrige κακωσώσιν). ἐκταθεὶς (A ἐκτανθ.) οὖν ὑπὸ στρ. ἑπτ. τρ. (B ὑπὸ ἑπτ. τρισὶν στρατιώταις) κ. εὐτ. (B om) τυπτ., κουφ. (B add τε καὶ) προσήχθη (B προσαχθεὶς) ἔμπρ. τοῦ ἀσεβοῦς Αἰγεάτου (B ἔμπρ. αὐτοῦ) cum AB: CD Τότε ὁ Αἰγέας ἐκέλευσεν αὐτὸν βασανίζεσθαι τεταμένον (*flagellis caedi extensum*: Woog mavult τετασμένον), καὶ ἐν τῷ ἀπαλλαγῆναι ἑπτὰ τετραδίοις τοὺς τύπτοντας αὐτόν (*Qui cum septem terniones transissel*), ἀνέστη καὶ ἠνέχθη ἔμπρ. αὐτοῦ | πρὸς ὃν: B ᾧτινι | διελ. οὕτως cum A: B οὕτως διελάλησεν ὁ ἀνθύπατος: CD Αἰγέας εἶπεν | Ἀνδρέα cum BCD:. A add συμβουλεύοντός σου | ἀπό: C ἐκ | B τοῦ σοῦ αἵματος | τὸν λογ. σου (C om): B τὴν συμβούλειαν: D *consilium* | C ἀπόστρεψον: B ἀνακάλεσαι: D *revoca* | εἰ δὲ -- ἀπολέσθαι cum A: B ὅπερ εἰ μὴ ποιήσῃς, τῷ τοῦ σταυροῦ ξύλῳ σε ποιήσαιμι ἀπόλλυσθαι: C εἰ δὲ μή, ἐν τῷ σταυρῷ σε ποιήσω τελειωθῆναι: D *quod si non feceris, crucis te faciam interire patibulo.*

C Ἐγὼ τῷ σταυρῷ τ. Χρ. δεδούλωμαι | καὶ μᾶλλ. -- τῷ τροπαίῳ (codex τὸ τρόπαιον) -- ἥπερ (codex εἴπερ) δειλιᾶσαι (codex δηλειᾶς) cum A: B καὶ τῷ τροπαίῳ τοῦ στ. εὔξασθαι μᾶλλ. ὤφελον εἴπερ δεδιαῖναι (corrige ἥπερ δεδιέναι): C καὶ τοῦ στ. τὸ τρόπαιον μᾶλλ. ἐπιθυμῆσαι ὤφειλον ἢ πτοῆσθαι | σοὶ δὲ -- τῷ Χρ. μου cum A: B σὺ (corrige σοὶ) δὲ αἰώνιος βασανισμός· ὅτινι (sic) χρεωστούμενος δυνήσει ἐκφυγεῖν, εἰ μετὰ τὸ δοκιμάσαι τὴν ὑπομονήν μου πιστεύσεις (codex -σης) τῷ Χριστῷ: C σὲ δὲ αἰωνία κόλασις ἡ κεχρεωστημένη ὑποδέξεται, ἐὰν μετὰ δοκιμάσαι σε τὴν ἐμὴν ὑπομονὴν καὶ οὕτως μὴ πιστεύσεις τῷ Χρ.: D *tibi autem cruciatus aeternus qui debetur, poteris evadere si postquam*

Digitized by Google

ὑπομονήν μου, ἐὰν πιστεύσῃς τῷ Χριστῷ μου. ἐγὼ γὰρ περὶ τῆς σῆς ἀπωλείας θλίβομαι, καὶ οὐ περὶ τῆς ἐμῆς παθήσεως συνταράσσομαι. ἡ γὰρ πάθησίς μου ἢ μιᾶς ἡμέρας διάστημα καταλαμβάνει ἢ δύο τὸ πολύ· ὁ δὲ σὸς βασανισμὸς εἰς ἀτελευτήτους αἰῶνας οὐ καταλήψεται πέρας. ὅθεν τοῦ λοιποῦ παῦσαι ταῖς ταλαιπωρίαις σου προστιθὼν καὶ τὸ αἰώνιον πῦρ σεαυτῷ ἀνάπτων.

[10] Τηνικαῦτα οὖν ἀγαναχτήσας ὁ Αἰγεάτης τὸν μακάριον Ἀνδρέαν τῷ σταυρῷ προσπαγῆναι προσέταξεν. ὁ δὲ ἀπολιπὼν πάντας πρόσεισι τῷ σταυρῷ καί φησιν αὐτῷ μετὰ λαμπρᾶς φω-

---

probaveris perseverantiam meam vel sic credideris Christo. | ἐγὼ γὰρ -- θλίβομαι καὶ οὐ (B δέδικα, οὐ) -- συνταράσσ. (B νῦν ταράσσ.) cum AB: C ἐγὼ γὰρ διὰ τὸν σὸν ὄλεθρον φοβοῦμαι: D *ego enim de tuo interitu timeo, non de mea passione conturbor.* | C om καταλαμβάνει | ἢ δύο τὸ πολύ (A τὸ πλεῖστον) cum AB: C ἢ τὸ πολὺ δύο | C ἡ δὲ σὴ κόλασις | εἰς ἀτελευτήτους -- πέρας cum A: B οὐδὲ χίλια ἔτη δυνήσειται (sic) καταλαμβεῖν (sic) πέρας: C οὐδὲ διὰ χιλίων ἐτῶν δυνήσηται τελειωθῆναι: D *nec per millia annorum potest pervenire ad finem.* | ὅθεν -- προστιθὼν (codex προστίθων, sic) καὶ -- ἀνάπτων cum A: B ὅθεν παῦσαι λειπὼν τῇ παλαιπωρίᾳ σου προσθῦσαι (sic) καὶ τὸ -- ἀνάψαι: C ὅθεν παῦσαι λοιπὸν ταῖς ταλαιπωρίαις μὴ (scribe τι?) προσθῆναι καὶ πῦρ σεαυτῷ αἰώνιον ἀνάψαι: D *unde desine iam miserias tuas augmentare, et ignem ipse tu tibi aeternum accendere noli.*

10. Τηνικαῦτα -- ὁ Αἰγεάτης (A ὁ ἀνθύπατος) τὸν -- προσέταξεν cum AB: CD Τότε θυμωθεὶς (D *indignatus*) ὁ Αἰγέας τῷ σταυρῷ αὐτὸν προσηλωθῆναι ἐκέλευσεν. Post haec CD, in quibus Τότε θυμωθεὶς etc. ad sectionem nonam trahuntur, sic pergunt: οὕτως δηλώσας τοῖς κεντηρίοις (sic codex; Woog „vel κεντυρίοις") ἵνα τεθεὶς τὰς χεῖρας καὶ τοὺς πόδας ὡς εἰς τριπάσσαλον τανυθῇ, ὅπως μὴ ταχὺ ἐμπαρεθεὶς (codex ἐμπαρεὶς) τάχιον ἐκλείπει (Woog -πῃ), ἀλλὰ μᾶλλον κριθῇ μακρὰν κρίσιν. ἐν τῷ οὖν ἀποφέρειν αὐτὸν τοὺς ὑπηρέτας ἐγένετο συνδρομή, καὶ ἔλεγον Δίκαιος ἄνθρωπος καὶ φίλος θεοῦ τί ἐποίησεν ἵνα ἐπενεχθῇ ἐν τῷ σταυρῷ; ὁ δὲ ἅγιος Ἀνδρέας παρεκάλει τὸν λαὸν λέγων ἵνα μὴ ἐμποδίσωσιν αὐτῷ. χαίρων γὰρ καὶ ἀγαλλιώμενος ἐπορεύετο καὶ μὴ παυόμενος τῆς διδασκαλίας. (*mandans hoc quaestionariis ut ligatis pedibus et manibus quasi in eculeo tenderetur, ne clavis affixus cito deficeret sed cruciaretur potius longo cruciatu. Cumque eum carnifices ducerent ut crucifigeretur, concursus factus est populorum clamantium Iustus homo et amicus dei quid fecit ut ducatur ad crucem? Andreas vero rogabat populum ut non impedirent passionem eius. Gaudens enim et exultans ibat et a doctrina non cessans.*) Apud Abdiam lib. III. XL. (Fabric. Cod. apocr. I. p. 520 sq.) similiter sic legitur: *Sic proconsul septem eum ternionibus flagellorum caesum crucifigi praecipit, mandans nominatim quaestionariis ut ligatis manibus et pedibus et non clavis affixus suspenderetur, quo diutino cruciatu deficeret.* | ὁ δὲ ἀπολ. (A ἀπολείπων δὲ) πάντας (A add ὁ ἀπόστολος) πρόσεισι -- λαμπρᾶς (A om) φωνῆς cum AB: CD (incipiunt h. l. sectionem 10.) Ὡς δὲ ἦλθεν ὅπου (*ad locum ubi*) ὁ σταυρὸς ἦν ἕτοιμος, ἰδὼν αὐτὸν μακρόθεν ἀνέκραξε φωνῇ μεγάλῃ

νῆς Χαίροις ὦ σταυρὲ ὁ ἐν τῷ σώματι τοῦ Χριστοῦ ἐγκαινισθεὶς καὶ ἐκ τῶν μέλων αὐτοῦ ὡσεὶ μαργαρίταις κοσμηθείς· καὶ μὴν πρὶν ἢ εἰς σὲ ἀνελθεῖν τὸν κύριόν μου πολὺν φόβον ἐπίγειον ἐσχήκεις, ἀρτίως δὲ πόθον οὐράνιον κατέχων ὑπὲρ εὐχῆς ἀνήρτησαι. οἶδα γὰρ ἀπὸ τῶν πιστευόντων πόσας εἰς αὐτὸν χάριτας ἔχεις, πόσα δόματα προητοιμασμένα. ἀμέριμνος οὖν καὶ χαίρων ἥκω πρὸς σέ, ὅπως καὶ σὺ ἀγαλλιώμενος ὑποδέξῃ με τὸν μαθητὴν τοῦ κρεμασθέντος εἰς σέ· διότι πιστός μοι ἀεὶ ἐγένου, καὶ ἐπεθύμησα περιπλακῆναί σε. ὦ ἀγαθὲ σταυρέ, ὁ εὐπρέπειαν καὶ ὡραιότητα ἐκ τῶν μελῶν τοῦ κυρίου δεξάμενος, ἐπὶ πολὺ ἐπιπόθητε καὶ σπουδαίως ἐπιθυμητὲ καὶ ἐκτενῶς ἐπιζητούμενε, καὶ ἤδη ἐπιποθούσης σε τῆς ψυχῆς μου προητοιμασμένε, λάβε με ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπόδος με τῷ διδασκάλῳ μου, ἵνα διὰ σοῦ ἀπολάβῃ με ὁ διὰ σοῦ με λυτρωσάμενος.

Καὶ ταῦτα εἰπὼν ὁ μακάριος Ἀνδρέας ἑστὼς ἐπὶ τῆς γῆς καὶ ἀτενὲς ὁρῶν εἰς τὸν σταυρὸν ἐξέδυσεν ἑαυτόν, καὶ δέδωκεν τὰ ἱμάτια αὐτοῦ τοῖς δημίοις, τοῖς ἀδελφοῖς παρακελευσάμενος

(*voce magna dicens*) | ἐν τῷ σώματι: A εἰς τὸ σώματι (sic) | ὡσεὶ μαργαρίταις (A -ρίτας) cum AB: C καθάπερ μαργαριτῶν | C κατακοσμηθείς | καὶ μὴν -- ἀνελθεῖν (B ἀνιέναι) -- ἐσχήκεις (A -κις, B -κης): C πρὸ τοῦ ἀνελθεῖν ἐν σοὶ τὸν κύρ. μου φόβον ἐπίγ. εἶχες | B ἄρτι | πόθ. οὐρ. κατέχων (C ἐπέχ.) cum AC: B διὰ πόθον οὐρ. κατέχων σε | ὑπὲρ εὐχ. ἀνήρτησαι cum A; D *pro voto susciperis*; C ἀντὶ δώρου (Woog ἀντίδωρον) κρέμασαι (Woog -ασθαι); B ὑπὲρ εὐχῆς ἀνήρτημαι εἰς σέ | οἶδα -- προητοιμασμένα cum AB; C ἐγνωσθεὶς (scribe ἐγνώσθης?) παρὰ τῶν πιστῶν ὅσας ἔχεις ἐν σοὶ χάριτας, πόσα δῶρα ἕτοιμα; D *sciris enim credentibus quanta* etc. | ἥκω: C ἔρχομαι | ἀγαλλιώμενος (B -λλιῶν: C praem χαίρων καί | C δέξῃ, B ὑποδέξεσε | B τοῦ Χριστοῦ τοῦ κρεμασθ., C τοῦ ἐν σοὶ σταυρωθέντος, D *eius qui pependit in te* | πιστός μοι ἀεὶ ἐγένου cum A: B ποθητός σου ἀεὶ ἐγενόμην: C ἀγαπητός σου (omissum ἀεί?) ἐγενόμην: D *amator tuus semper fui* | B ἐπεθ. τοῦ περιπλακ. σε | ἀγαθέ: C μακάριε | B ὡραιότηταν καὶ εὐπρέπειαν, C μεγαλοπρέπειαν καὶ ὡραιότητα, D *decorem et pulchritudinem* | B ὑποδεξάμενος | ἐπὶ πολὺ -- ἐπιζητούμενε (B ζητούμενε) cum AB(D): C πλειστάκεις ἐπιθυμητὲ καὶ ἀγρύπνως ἐκζητούμενε | B καί ποτε ἤδη ἐπιποθουμένῃ τῇ ψυχῇ προητοιμασμένε, D *et aliquando iam concupiscenti animo praeparata*: C om | ἀπό: C ἐκ | καὶ ἀπόδος με: B om καί, C om με | λυτρωσάμενος: ita ABCD; sed AB add χαίροις ὦ σταυρέ· καὶ γὰρ χαίροις ὄντως (B ὄντος)· εὖ (B σὲ) οἶδα· τὸ λοιπὸν οὖν ἀναπαύομαι (B οἶδα καὶ ἀναπαυσάμενόν σε λειπὸν) καὶ (B ἐκ) πολλοῦ κεκμηκώς (B τετμηκότα), πεπηγμένος (B -μένον τε) καὶ ἀναμένον (B -νοντα) με. Ita prorsus.

Καὶ ταῦτα --- ὁρῶν (B ἑνορῶν) -- τοῖς δημίοις (B add τοῦτο) τ. ἀδελφ.

Digitized by Google

τοῦ ἥκειν τοὺς δημίους καὶ ποιεῖν τὰ ἐγκελευσθέντα αὐτοῖς· πόρρω γὰρ εἱστήκεισαν. οἵτινες προσελθόντες ἐκούφισαν αὐτὸν ἐν τῷ σταυρῷ καὶ διατείναντες τοῖς σχοινίοις τὸ σῶμα αὐτοῦ μόνον ἀπέδησαν τοὺς πόδας αὐτοῦ, οὐκ ἀπέτεμον δὲ αὐτοῦ τὰς ἀγκύλας, ταύτην τὴν ἐντολὴν ἐσχηκότες παρὰ τοῦ ἀνθυπάτου· ἀνιάσαι γὰρ αὐτὸν ἐβούλετο ἀνηρτημένον, καὶ ἐν τῇ νυκτὶ ζῶντα αὐτὸν ὑπὸ κυνῶν κρεμάμενον βρωθῆναι.

[11] Παρισταμένου δὲ ὄχλου πολλοῦ τῶν ἀδελφῶν σχεδὸν ὡσεὶ χιλιάδων εἴκοσι, καὶ θεασάμενοι τοὺς δημίους ἀποστάντας καὶ μηδὲν πεποιηκότας περὶ τὸν μακάριον ὧν οἱ ἀνακρεμάμενοι πάσχουσιν, προσεδόκουν τι πάλιν ἀκούσεσθαι παρ' αὐτοῦ· καὶ γὰρ κρεμάμενος ἐκίνει τὴν κεφαλὴν αὐτοῦ μειδιῶν. καὶ ὁ Στρατόκλης ἐπύθετο αὐτοῦ Τί μειδιᾷς, δοῦλε τοῦ θεοῦ Ἀνδρέα; ὁ γέλως σου ἡμᾶς πενθεῖν καὶ κλαίειν ποιεῖ, ὅτι σοῦ στερούμεθα. καὶ ὁ μακάριος Ἀνδρέας αὐτῷ ἀπεκρίνατο Οὐ μὴ γελάσω, τέκνον μου Στρατόκλη, τὴν κενὴν ἐνέδραν τοῦ Αἰγεάτου, δι' ἧς οἴεται ἡμᾶς τιμωρεῖσθαι; ἀλλότριοι αὐτοῦ ἐσμὲν καὶ τῶν ἐπιβουλῶν αὐ-

παραχ. (B παραχ. τ. ἀδ.) τοῦ -- τὰ ἐγκελευσθ. αὐτ. (B ἃ ἐκελεύσθησαν)· πόρρω (B -ωθεν) γὰρ --- διατείναντες (A διέτειναν) τοῖς (B om) σχοιν. -- τοὺς πόδ. αὐτ. (B αὐτ. τ. πόδ.), οὐκ ἀπέτ. δὲ αὐτ. τ. ἀγκ. (B μήτε μὴν τὰς ἀγκ. αὐτ. ἀποτεμόντες) cum AB: CD Καὶ ταῦτα εἰπὼν ἀπεδύσατο τὰ ἱμάτια αὐτοῦ καὶ παρέδωκεν αὐτὰ (D *expoliavit se et vestimenta sua tradidit*) τοῖς ἐτασταῖς (D *carnificibus*)· οἱ δὲ προσελθόντες ἦραν (D *levaverunt*) αὐτὸν ἐν τῷ σταυρῷ, καὶ τανύσαντες τοῖς σχοινίοις ἅπαν τὸ σῶμα αὐτοῦ, καθὰ ἦν αὐτοῖς κελευσθέν, ἐκρέμασαν αὐτόν. | ταύτην τὴν --- ἐβούλετο (B ἠβούλ.) -- ἐν τῇ νυκτὶ (B νυκτὸς) ζ. αὐτὸν (B om) ὑ. κ. κρεμάμενον (B om) βρωθ. cum AB: CD om

Pro tota sectione 11., quemadmodum ex AB exscripsi, CD haec habent eaque ad sect. 10. trahunt: Προσέδραμεν δὲ ὄχλος ἱκανὸς ὡς εἴκοσι χιλιάδων (*Adstantes vero erant turbae ad viginti millia hominum*), ἐν οἷς ἦν καὶ ὁ ἀδελφὸς Αἰγέα τοὔνομα Στρατόκλης, καὶ ἔκραξε (*qui simul clamabat*) μετὰ τοῦ λαοῦ Ἄδικος κρίσις (*iniusto iudicio sanctum virum hoc pati*). ὁ δὲ ἅγιος νύσσων τοὺς λογισμοὺς τῶν πιστῶν (*Sanctus vero Andreas confortabat mentes credentium Christo*) ἐνουθέτει (*et hortabatur*) ὑπομεῖναι τὸν πρόσκαιρον πειρασμόν (*ad tolerantiam temporalem*), μηδενὸς εἶναι λέγων ἄξιον τὸ πάθος (codex τοῦ πάθους) πρὸς ἀντάρκειαν τῆς αἰωνίου ἀνταποδώσεως (sic; D *docens nihil esse dignum passionis ad aeternam remunerationis compensationem*). Apud Abdiam l. l. sectio XLI. sic incipit: *Adstante vero turba ingenti, viginti ferme millium hominum, inter quos etiam stabat frater Aegealis Stratocles.*

Παρισταμένου: B παραστάντος | B τ. ἀδελφ. αὐτοῦ ὡσεὶ εἰκ. χιλιάδων, καὶ πρὸς ὃν τάχα τὸν ἀριθμὸν δυνατὸν ἐξαριθμῆσαι | καὶ θεασάμενοι: B θεασ. δέ | ὧν: B ἐξ ὧν | τι: A τε | B στερικόμεθα (corrige στερισκ.) | Οὐ: B om | Αἰγεάτου: A ἀνθυπάτου | ἡμᾶς: B ὑμᾶς

Digitized by Google

τοῦ. οὐκ ἔχει τὸ ἀκούειν· ἐπεὶ εἰ εἶχεν, συνῆκεν ἂν ὅτι τοῦ Ἰησοῦ ἄνθρωπος ἀτιμώρητός ἐστιν, διὰ τῆς πείρας τοῦτο μαθών.

Καὶ ταῦτα εἰπὼν κοινὸν λόγον τοῖς πᾶσιν διελέχθη· καὶ γὰρ ἔθνη συνέτρεχον ἀγανακτοῦντα ἐπὶ τῇ ἀδίκῳ κρίσει τοῦ Αἰγεάτου· Ἄνδρες οἱ παρεστῶτές μοι καὶ γυναῖκες καὶ παῖδες καὶ πρεσβῦται, δοῦλοι καὶ ἐλεύθεροι, καὶ ὅσοι μέλλετε ἀκούειν, δέομαι ὑμῶν, πάντα τὸν βίον τοῦτον ἀπολίπετε, οἱ ἕνεκεν ἐμοῦ συνεληλυθότες ἐνταῦθα, καὶ σπεύσατε καταλαβεῖν τὴν ἐμὴν ψυχὴν ἀπαγομένην πρὸς τὰ οὐράνια, καὶ πάντων ἁπαξαπλῶς τῶν προσκαίρων καταφρονήσατε, ἐπιστηρίζοντες τὰς διανοίας τῶν πιστευόντων τῷ Χριστῷ. καὶ προετρέπετο πάντας διδάσκων ὅτι οὐκ ἄξια τὰ παθήματα τῆς προσκαίρου ζωῆς ταύτης πρὸς τὴν μέλλουσαν ἀντάμειψιν τῆς αἰωνίου ζωῆς.

[12] Οἱ δὲ ὄχλοι ἀκούοντες τῶν ὑπ' αὐτοῦ λεγομένων οὐκ

συνῆκεν: B ἀκηκόη | τοῦ Ἰησοῦ: B Ἰησοῦς | ἐστιν: A ἔσται | διὰ τ. π. τ. μαθών: B λειπὼν αὐτῷ γνωρισθῆς (sic)

B ἀπεκρίνατο κοιν. λόγον, omissis τ. πᾶσ. διελέχθη | ἀγανακτοῦντα: A ἀκοῦσαι τά | Αἰγεάτου: A ἀνθυπάτου | B καὶ δοῦλοι κ. ἐλεύθ. | B καὶ πάντες ὅσοι | μέλλετε ἀκούειν: A με κλαίετε· ἀκούειν | πάντα τ. β. τοῦτον: B τ. β. ὑμῶν | ἀπολίπετε (A -λείπεται): B -λύπεσθαι | ἀπαγομένην: B ἐπιγωμένην | καταφρονήσατε: B πεφεύγετε | ἐπιστηρίζ.: B ἐπικρατείνεται | B om πάντας | B τὰ παραθύματα (corrige παθήματα) τοῦ καιροῦ ταύτης τῆς ζωῆς

12. Οἱ δὲ ὄχλοι usque κηρύττειν οὐ παύεται ex AB. Comparanda cum eis sunt quae in CD ineunte sectione XI. sic leguntur: Καὶ ἐν τούτοις ἀπέρχεται πᾶς ὁ λαὸς μετὰ κραυγῆς εἰς τὸν οἶκον τοῦ Αἰγέα καὶ πάντες ἔλεγον (*Interea vadit -- ad domum Aegeae, et omnes pariter clamantes dicebant*) Τὸν ἅγιον Ἀνδρέαν, νηφάλιον (codex νιφάλαιον), τὸν ἐνάρετον, τὸν καλὸν διδάσκαλον (D add *pium, modestum, rationabilem*), μὴ ἐξὸν τοῦτο παθεῖν, ἀλλ' ὀφείλει (*non hoc debere pati, sed debere*) ἐκ τοῦ σταυροῦ κατενεχθῆναι, διότι δευτέραν ἡμέραν ἔχων ἐν αὐτῷ (*in cruce positus*) τὴν ἀλήθειαν κηρύττων οὐ παύεται. Apud Abdiam l. l. XLI. confer haec: *Sequenti igitur die videntes eius tolerantiam et animi constantiam, denique spiritus prudentiam et mentis robur, venerunt turbae ad Aegeatem, ac sedente eo pro tribunali vociferantes dixerunt Quae ista tua est tam crudelis sententia, Proconsul, ut hominem probum, qui nihil mali commisit, crucis supplicio velis condemnari? Perturbata est tota civitas, et simul cum eo omnes perimus. Quaesumus te ne Caesaris tam celebrem perdas civitatem. Concede nobis hominem iustum, redde nobis hominem sanctum, ne interficias hominem Deo charum, ne perdas hominem mansuetum et pium. Biduo enim suspensus vivit, quae res miraculo non caret, et quod plus est loquitur adhuc et nos sermonibus reficit. Quare reddas nobis hunc virum, ut vivamus; solve pudicum, et omnes patriae* (Patrae? patria?) *erunt in pace.*

ἀκούοντες: B -σαντες | λεγομένων: B εἰρημένων | τοσαῦτα usque διά-

ἀφίσταντο τοῦ τόπου, καὶ ὁ μακάριος Ἀνδρέας μᾶλλον προσετίθει τοῦ λέγειν πρὸς αὐτοὺς πλείονα ὧν εἰρήκει. τοσαῦτα δὲ ἦν τὰ ὑπ' αὐτοῦ λεγόμενα ὥστε τριῶν νυχθημέρων ἀναλωθῆναι διάστημα, καὶ οὐδεὶς καμὼν ἐχωρίζετο αὐτοῦ. ὡς δὲ καὶ τῇ τετάρτῃ ἡμέρᾳ τὸ γενναῖον αὐτοῦ ἐθεάσαντο, καὶ τὸ ἀκαμπὲς τῆς διανοίας καὶ τὸ πολὺ τῶν λόγων καὶ τὸ χρηστὸν τῆς προτροπῆς καὶ τὸ εὐσταθὲς τῆς ψυχῆς καὶ τὸ σῶφρον τοῦ πνεύματος καὶ τὸ ἑδραῖον τοῦ νοῦ καὶ τὸ εἰλικρινὲς τοῦ λόγου, ἀγαναχτήσαντες κατὰ τοῦ Αἰγεάτου ὁμοθυμαδὸν ἅπαντες ἔσπευδον ἐπὶ τὸ βῆμα, καὶ καθεζομένου τοῦ Αἰγεάτου κατεβόουν λέγοντες Τίς ἡ κρίσις σου, ἀνθύπατε; κακῶς ἔκρινας, ἀνόσια τὰ δικαστήριά σου. τί ἠδίκησεν ὁ ἀνήρ; τί κακὸν ἐποίησεν; ἡ πόλις τεθορύβηται· πάντας ἡμᾶς λυπεῖς· μὴ προδῷς τὴν Καίσαρος πόλιν. χάρισαι Ἀχαίοις ἄνδρα δίκαιον, χάρισαι ἡμῖν ἄνδρα θεοσεβῆ, μὴ ἀποκτείνῃς ἄνδρα ἔνθεον. τέσσαρας ἡμέρας κρεμάμενος ζῇ· μηδὲν φάγων πάντας ἡμᾶς ἐχόρτασεν. κάθελε τὸν ἄνδρα ἀπὸ τοῦ σταυροῦ, καὶ πάντες φιλοσοφήσωμεν· λῦσον τὸν ἄνδρα, καὶ πᾶσα ἡ Ἀχαΐα ἐλεηθήσεται· οὐ δέον ἐστὶν αὐτὸν τοῦτο παθεῖν, ὅτι κρεμάμενος τὴν ἀλήθειαν κηρύττειν οὐ παύεται.

13 Ὡς δὲ παρήκουσεν ὁ ἀνθύπατος, τὰ μὲν πρῶτα τῇ χειρὶ

στημα: B (corrupte) καὶ τοσαῦτα ἦν ὡς ἔστιν τεμίρασθαι τοὺς ἀκούοντας τριῶν νυχθ. αὐτοῖς ὁμιλῶν | B οὐδεὶς κάμνων ὅλος | ψυχῆς: B εὐχῆς | B om καὶ τὸ εἰλ. τ. λόγου | B ἀγανακτ. πρὸς τὸν Αἰγεάτην σὺν ἑνὶ πάντες | ἔσπευδον -- κατεβόουν (sic A; B -όων) λέγοντες ex B: A μετὰ σπουδῆς τὸ βῆμα κατέλαβον, ἐκεῖσε αὐτοῦ καθεζομένου, καὶ κατεβ. αὐτῷ λέγοντες | B καὶ κακῶς ἐδίκασας, ἀδίκως ἔκρινας, ἀνοσιώτατον τὸ δικαστήριόν σου | B τί κακ. ἔπραξεν | B Ἀχαιεῦσιν | ἔνθεον: B add μὴ ἀνελεῖς ἄνδρα εὐσεβῆ | B τέσσαρσιν ἡμέραις | B om ἀπὸ τοῦ σταυροῦ usque ἄνδρα | πᾶσα ἡ: A om ἡ | B αὐτῷ τοῦτο παθεῖν | B κρεμάμμενος. Ita plerumque habet.

13. Ὡς δέ usque ultima ὅταν οὐ δύνασαι ex AB.

In CD cum prioribus Ὡς δὲ -- παραγίνονται confer quae illa: κηρύττων οὐ παύεται, excipiunt. Sunt autem haec: Τότε Αἰγέας φοβηθεὶς τὸν λαὸν ὑπέσχετο κατενεγκεῖν αὐτὸν τοῦ σταυροῦ (codex τῷ σταυρῷ), ἅμα δὲ τοῦ ἄρξασθαι αὐτὸν πορεύεσθαι (sic; vitiose). *Tunc Aegeas pavescens populum et promittens se eum deponere simul coepit ire.* Apud Abdiam l. l. ineunte sectione XLII. confer haec: *His commotus proconsul, cum et minas ac tumultum populi metueret, surgens de tribunali Andream solvere cogitabat: profectusque ad locum crucis, laeto populo quod famulus dei liberaretur et frequenti comitante, tristis et facta poenitens Andreae suspenso appropinquabat.*

Ὡς δὲ -- τὰ μὲν πρῶτα (A τ. μ. πρ. post Ὡς δέ pon) -- τῷ ὄχλῳ (A

τῷ ὄχλῳ διανεύων τοῦ ἀναχωρεῖν αὐτούς, ἑτόλμων τι εἰς αὐτόν, ὄντες τὸν ἀριθμὸν ὡς δισμύριοι. οὓς θεασάμενος ὁ ἀνθύπατος τρόπῳ τινὶ ἐμμανεῖς γεγενημένους, δεδοικὼς μή τι δεινὸν πάθοι, ἀναστὰς ἀπὸ τοῦ βήματος συναπίει σὺν αὐτοῖς, ὑποσχόμενος ἀπολύειν τὸν μακάριον Ἀνδρέαν. ἔφθασαν οὖν τινὲς τῷ ἀποστόλῳ δηλοῦντες, καὶ τὴν αἰτίαν δι' ἣν ἐπὶ τὸν τόπον παραγίνονται.

Παντὸς οὖν τοῦ ὄχλου ἀγαλλιωμένου ὅτι ἤμελλεν ὁ μακάριος Ἀνδρέας ἀπολύεσθαι, παραγεναμένου τοῦ ἀνθυπάτου καὶ πάντων τῶν ἀδελφῶν χαιρόντων ἅμα τῇ Μαξιμίλλῃ, ὁ μακάριος Ἀνδρέας ταῦτα ἀκούσας εἶπεν τοῖς παρεστῶσιν ἀδελφοῖς Ἃ δεῖ με πρὸς αὐτὸν εἰπεῖν, ἀναλύοντός μου πρὸς κύριον, ταῦτα καὶ ἐρῶ. Τίνος χάριν πάλιν ἦκες πρὸς ἡμᾶς, Αἰγεάτα; τίνος ἕνεκεν ἀλλότριος ἡμῶν προσέρχει ἡμῖν; τί τολμῆσαι πάλιν θέλων, τί τεχνάσασθαι; εἰπέ. λῦσαι ἡμᾶς ἦλθες ὡς μετεγνωκώς; οὐδ' ἄν σοι συνθήσομαι, ὡς ἀληθῶς σου μετεγνωκότος. οὐδ' ἄν σοι πιστεύσω, ἰδιόν μου σαυτὸν λέγοντά σε. λύεις δὲ ἀνθύπατε τὸν δεθέντα; οὐδαμῶς· ἔχω γὰρ ᾧ συνέσομαι εἰς τὸ διηνεκές, ἔχω ᾧ συμπολιτεύσομαι εἰς ἀναριθμήτους αἰῶνας. πρὸς ἐκεῖνον ἄπειμι, πρὸς ἐκεῖνον ἐπείγομαι, τὸν καὶ σέ μοι γνωρίσαντα τὸν εἰρηκότα μοι Μή σε ἐκφοβείτω ὁ δεινὸς ἐκεῖνος· μή σε κρατεῖν νομιζέτω ἐμὸν ὄντα· ἐχθρός σου γάρ ἐστιν. τοιγαροῦν ἐπιγνούς σε διὰ τοῦ ἐπιτρέψαντός μοι ἀπαλλάσσομαί σου. εἰ δὲ καὶ βούλει

---

om τ. δ.) διαν. τ. ἀναχ. αὐτ. (A διαν. ἀνεχώρησεν τὸν ὄχλον· et add ϑυμοῦ γὰρ πλησϑέντες) -- εἰς αὐτόν (B add πρᾶξαι) -- ὡς (B ὡσεὶ) -- γεγενημένους (A γενομένους) -- δεινὸν πάϑοι (B δεινότερον πάϑῃ), ἀν. ἀπὸ (A om) τ. β. συναπ. σὺν αὐτ. (A σ. αὐτ. ἐπορεύετο), ὑποσχ. (A add καϑελεῖν ἤγουν) ἀπολ. (A add αὐτοῖς) τὸν -- οὖν τινὲς τῷ (A οὖν τοῦτο αὐτῷ τῷ) -- δι' ἣν (A add ὁ ἀνϑύπατος) -- παραγίνονται (A -γίνεται).

Παντὸς οὖν -- παραγεναμένου (B -νομένου) -- ἀδελφοῖς Ἃ δεῖ - ἐρῶ (B corrupte Ἔδει με πρ. α. εἰπόντα ἀναλῦσαι ὦ δεῖ ταῦτα ἐρῶ) -- πάλιν (B om) ἦκες πρ. ἡμ. (B πρ. ἡμ. ἦκ.) -- ἀλλότρ. (B ὁ ἀλλότρ.) -- τεχνάσασϑ. (B add τί μεταπέμψασϑαι) -- λῦσαι ἡμ. ἦλϑ. ὡς (B λύσας ἡμ. προσήεις) μ. οὐδ' ἄν usque μετεγνωκότος (B corrupte οὐ γὰρ ἀληϑῶς Αἰγεάτα ἐπὶ σὺ συνϑύσωμαι μεταγνῶς) οὐδ' ἄν usque λέγοντά σε ((pro his B οὐ γὰρ ἰδιόν μοι λέγῃς σαυτόν, πεπίστευκά σοι)· λύεις -- δεϑέντα (B add λύεις τὸν πεφευγότα, λύεις τὸν ἐλευϑερωϑέντα;); οὐδαμῶς (B om)· ἔχω usque διηνεκές (B νόμον ἔχω ᾧ συνήσομαι εἰς ἀεί), ἔχω ᾧ συμπολιτεύσομαι (B -σωμαι) --- ἐχϑρ. σ. γάρ (B om) -- ἐπιγνούς (B ἐπέγνων) -- ἐπιτρέψαντός μοι (sic de coniectura scripsi. B ἐπιστρέ-

Digitized by Google

πιστεῦσαι τῷ Χριστῷ, ἀνεῳχθήσεταί σοι, καθὼς ὑπεσχόμην σοι, ὁδὸς συγχωρήσεως· εἰ δὲ πρὸς τὸ λῦσαί με μόνον ἐλήλυθας, ἐγὼ τοῦ λοιποῦ ἐκ τοῦ σταυροῦ τούτου ζῶν ἐν τῷ σώματι κατενεχθῆναι οὐ δυνήσομαι. ἐγὼ γὰρ καὶ οἱ συγγενεῖς μου ἐπὶ τὰ ἡμέτερα ἐπειγόμεθα, ἐῶντες σὲ εἶναι ὅπερ εἶ καὶ ὃ μὴ ἐπίστασαι αὐτὸς περὶ σεαυτοῦ. ἤδη γὰρ τὸν βασιλέα μου ὁρῶ, ἤδη προσκυνῶ, ἤδη ἐνώπιον αὐτοῦ παρίσταμαι, ἔνθα εἰσὶν αἱ τῶν ἀγγέλων ὁμόνοιαι, ἔνθα αὐτὸς ὁ μόνος αὐτοκράτωρ βασιλεύει, ἔνθα τὸ φῶς ἄνευ νυκτὸς ὑπάρχει, ἔνθα τὰ ἄνθη οὐδέποτε μαραίνονται, ἔνθα ὀδύνη οὐδέποτε γινώσκεται οὐδὲ ἠκούσθη ὄνομα λύπης, ἔνθα εὐφροσύνη καὶ ἀγαλλίασις τέλος οὐκ ἔχουσα. ὦ σταυρὲ μακάριε, χωρὶς τοῦ σοῦ πόθου εἰς ἐκείνην τὴν χώραν οὐδεὶς εἰσπορεύεται. ἀλλὰ περὶ τῶν σῶν, Αἰγεάτα, ταλαιπωριῶν ὀδυνῶμαι, διότι ἕτοιμός σε ἐκδέχεται αἰωνία ἀπώλεια. δράμε οὖν ὑπὲρ σεαυτοῦ, ἐλεεινέ, ἐν ὅσῳ ἔτι δύνασαι, μή πως τότε θελήσῃς ὅταν οὐ δύνασαι.

14 Ὡς οὖν ἐκεῖνος ἐτόλμα τῷ τοῦ σταυροῦ ξύλῳ προσεγγίσαι ὥστε λῦσαι τὸν μακάριον Ἀνδρέαν, πάσης τῆς πόλεως θορυβού-

---

ψαντός με, A ἐπιγράψαντός μοι) -- πιστεῦσαι (B - εύειν) -- πρὸς τὸ λ. με μ. ἐλήλυθας (B ἐλήλυθ. πρὸς τοῦτο μόνον τοῦ λῦσαί με) ἐ. τοῦ λοιποῦ ἐκ τ. σ. τ. ζῶν (B τὸ λοιπὸν ἔνθεν ζῶν) -- κατενεχθ. (B καθελέσθαι) οὐ δυνήσομαι (B - σωμαι) -- ἡμέτερα (B ἡμῶν) -- ὅπερ εἶ (B ὃ ἦς) -- αὐτὸς (A om) --- ὁ μόνος αὐτοκρ. (B μόν. ὁ αὐτ.) -- ὑπάρχει (B ἐστιν) --- εἰσπορεύεται (B πρόσεισιν οὐδὲ εἰσελεύσεται) -- αἰωνία (B - νιος) -- οὖν (B om) -- ἔτι (A εἴ τι) -- τότε θ. ὅτ. οὐ δύν. (B τηνικαῦτα ἄρξεις ἐθέλειν ἐν τὸ τότε μὴ δύνασθαί σε)

Cum posterioribus in CD confer (praecedit πορεύεσθαι, *coepit ire*): θεασάμενος αὐτὸν ὁ ἅγιος (D add *Andreas*) εἶπεν Τί (*Quid tu*) πρὸς ἡμᾶς Αἰγέα ἦλθες; εἰ μεταμεληθεὶς πιστεῦσαι (*Si vis credere*) τῷ Χριστῷ, καθὼς ὑπεσχνούμην (codex ὑπέσχου μοι) ἀνεῳχθήσεταί σοι ἡ τῆς συγχωρήσεως θύρα (*via indulgentiae*). εἰ δὲ ἐπὶ τούτῳ μόνον (codex μένω) ἦλθες τοῦ λῦσαί με, ἐγὼ ἐκ τοῦ σταυροῦ τούτου (*ego penitus hinc de ista cruce*) ζῶν ἐν τούτῳ τῷ σώματι κατενεχθῆναι οὐ θέλω (*non potero*). τὸν γὰρ (*iam enim*) βασιλέα μου θεωρῶ καὶ προσκυνῶ, καὶ λοιπὸν ἐνώπιον αὐτοῦ παρίσταμαι. ἀλλ' ἐκ τῶν σῶν ταλαιπωριῶν πεπόνημαι, ὅτι ἡτοίμασταί σοι (*quia paratus te expectat*) ἡ αἰώνιος ἀπώλεια. δράμε οὖν ὑπὲρ σεαυτοῦ, ταλαίπωρε, ἕως ἂν δύνῃ, ἵνα μὴ τότε ἄρξαι θελήσῃς (*incipias velle*) ὅτε οὐ δυνήσῃ (*poteris*). Pauciora ex Abdia l. l. huc quadrant. Pergit is post *appropinquabat* sic: *Ad quem ille Quid ad nos, inquit, Aegeas venisti? numquid solvere me cupis et poenitentia ductus cedere* (corrige *credere*) *desideras? non mihi, crede, persuadebis ut ex ista cruce recedam.*

14. Tota sectio 14. ex AB sumta est.

Ὡς οὖν (B Καὶ ὡς) -- Ἀνδρέαν (B om) -- μετὰ μεγάλης (de coniectura

σης αὐτόν, ὁ ἅγιος Ἀνδρέας μετὰ μεγάλης φωνῆς εἶπεν Τὸν ἐπὶ τοῦ σοῦ ξύλου δεθέντα Ἀνδρέαν μὴ ἐπιτρέψῃς λυθῆναι, δέσποτα· τὸν ἐπὶ τοῦ σοῦ μυστηρίου ὄντα, μὴ δῷς με ἀναιδεῖ διαβόλῳ· Ἰησοῦ Χριστέ, τὸν ἐπὶ τῆς σῆς χάριτος κρεμασθέντα, ὁ ἀντίδικός σου μὴ λυέτω με· πάτερ, τὸν ἐγνωκότα σου τὸ μέγεθος ὁ μικρὸς οὗτος μηκέτι ταπεινούτω. βάλλοντες οὖν τὰς χεῖρας οἱ δήμιοι οὐκ ἠδύναντο τὸ παράπαν προσψαῦσαι αὐτοῦ. ἄλλοι οὖν καὶ ἄλλοι ἐπετήδευον τοῦ λῦσαι αὐτόν, καὶ οὐδεὶς ὅλως ἠδύνατο προσεγγίσαι αὐτῷ· ἐνάρκουν γὰρ οἱ βραχίονες αὐτῶν.

Τότε ὁ μακάριος Ἀνδρέας ἐνορκωσάμενος τὸν λαὸν εἶπεν Δυσωπῶ ὑμᾶς, ἀδελφοί, ἵνα πρῶτον πρὸς τὸν κύριόν μου μίαν εὐχὴν ποιήσω· εἶθ' οὕτως με λῦσαι ἐπιτηδεύσατε. πᾶς οὖν ὁ λαὸς διὰ τὸν ὅρκον ἡσύχασεν. τότε ὁ μακάριος Ἀνδρέας σὺν μεγίστῃ κραυγῇ εἶπεν Μὴ παραχωρήσῃς κύριε τὸν σὸν θεράποντα ἐκ ταύτης τῆς ὥρας ἀπὸ σοῦ χωρισθῆναι· καιρὸς γάρ ἐστιν ἵνα ἀποδοθῇ τῇ γῇ τὸ σῶμά μου, κἀμὲ πρὸς σὲ ἐλθεῖν προστάξεις. ὁ ζωὴν αἰώνιον διδούς, σὺ ὁ διδάσκαλός μου ὃν ἠγάπησα, ὃν ἐν τούτῳ τῷ σταυρῷ καθομολογῶ, ὃν οἶδα, ὃν ἔχω, δέξαι με δέσποτα, καὶ καθὼς ἐγὼ ὁμολογῶν ὑπήκουσά σοι, οὕτως ἄρτι ἐν τούτῳ τῷ λόγῳ ἐπάκουσόν μου, καὶ πρὶν ἢ τὸ σῶμά μου ἀπὸ τοῦ σταυροῦ

addidi; om AB) -- τοῦ σοῦ (τ. σ. B om) ξύλου -- ἐπιτρέψῃς (B -ψεις) λυθῆναι (B add πάλιν), δέσπ. τὸν ἐπὶ -- ὄντα (B om τὸν ἐπί usque ὄντα) -- ὁ ἀντίδ. σου (A μου) -- βάλλοντες (uterque codex βαλλόντες) -- προσψαῦσαι (B καθάψασθαι) -- ἄλλ. οὖν κ. ἄλλ. (B καὶ ἄλλοι μὲν καὶ ἄλλοι) ἐπετήδευον (A ἐπιτήδευσον, B ἐπιτηδεύοντες) -- καὶ (B om) οὐδ. ὅλως (B om) ἠδ. προσεγγ. (B προσψαῦσαι) αὐτῷ (B αὐτοῦ)· ἐνάρκουν (B ἐναρκίων) γ. οἱ βρ. αὐτῶν. Ad haec spectant quae in CD sic leguntur (post δυνήσῃ, *poteris*): Βάλλοντες δὲ τὰς χεῖρας ἐν τῷ σταυρῷ οἱ ὑπηρέται οὐκ ἠδύναντο φθάσαι αὐτόν. *Mittentes autem manus ad crucem carnifices non poterant penitus contingere eum. Et subinde alii et alii ingerentes se ut solverent eum, et nullus poterat pertingere ad eum. Stupebant enim brachia eorum, quicunque se extendisset ad solvendum eum.*

Τότε -- Ἀνδρέας (A add ὁ ἀπόστολος) ἐνορκωσ. (B ὁρκίσας) -- ἵνα πρῶτον usque ἐπιτηδεύσατε (haec ex B sunt. A sic: παραχωρῆσαί μοι μικρὸν πρότερον μίαν εὐχὴν προσενέγκαι τῷ κυρίῳ Ἰησοῦ Χριστῷ, καὶ εἶθ' οὕτως ἐπιτηδεῦσαι τοῦ λῦσαί με). πᾶς οὖν usque ἡσύχασεν (pro his B sic: αὐτοῦ μὲν αὐτοὺς ἐνορκύσαντος (ita) ἠρέμησεν ὁ λαός). τότε -- σὺν (A σὺμ) -- ἵνα παραδοθῇ (B παραθύσω) -- προστάξεις (B πρόσταξον) -- αἰών. διδ. (B διδ. αἰών.) -- μου ὃν ἠγάπησα (B ὃν ἐνθεασάμην, ᾧ ἠκολούθησα, ὃν ἐπέγνων), ὃν ἐν τ. τ. στ. καθομολογῶ (B καθωμολόγησα, ὃν ἠγάπησα) -- ἔχω (B add ὃν φιλῶ, σοῦ εἰμί), δέξαι με δέσποτα (B om), κ. καθ. ἐγὼ ὁμ. ὑπ. σοι (B καθ. σοὶ ἑνὶ λόγῳ ἐπήκουσα), οὕτως --- ἀπὸ (A ἐκ) τ. στ. καταβῇ (A κατενεχθῇ) -- πρὸς σέ

καταβῇ προσλαβοῦ με πρὸς σέ, ὅπως διὰ τῆς ἐμῆς ἐξόδου ἡ τῶν πολλῶν μου συγγενῶν σύνοδος πρὸς σὲ γένηται, ἀναπαυομένων ἐν τῇ σῇ μεγαλειότητι.

Ὡς οὖν ταῦτα εἴρηκεν, ὁρώντων πάντων ἐγένετο χαίρων καὶ ἀγαλλιώμενος· λαμπηδὼν γὰρ σφοδροτάτη ὡς ἀστραπὴ ἐκ τοῦ οὐρανοῦ ἐξελθοῦσα κατηύγασεν αὐτόν, καὶ οὕτως αὐτὸν περιεκύκλωσεν ὥστε τὸ παράπαν ἐκ τῆς τοιαύτης λαμπρότητος μὴ δύνασθαι ὀφθαλμοὺς ἀνθρωπίνους βλέψαι αὐτόν. διέμεινεν οὖν ἡ αἴγλη ὡς ἡμιωρίου διάστημα. ταῦτα δὲ αὐτοῦ εἰπόντος καὶ τὸν κύριον ἐπὶ πλεῖον δοξάσαντος, ὑποχωροῦντος τοῦ φωτὸς παρέδωκεν τὸ πνεῦμα, καὶ σὺν αὐτῇ τῇ λαμπηδῶνι ᾤχετο πρὸς κύριον ἐπὶ τῇ εὐχαριστίᾳ αὐτοῦ.

(B om πρ. σ.), -- ἐξόδου (B add τῆς ἐπὶ σὲ) -- μου (A om) -- γένηται (B ἐπιστρέψει), ἀναπ. (B add αὐτῶν) ἐν τ. σ. μεγαλειότητι.

Ad haec cf. D qui post *solvendum eum* sic pergit: *Tunc voce magna sanctus Andreas dixit Ne permittas, domine Iesu Christe, me famulum tuum qui propter nomen tuum pendeo in cruce solvi; nec permittas eum qui iam per crucem tuam cognovit magnitudinem tuam ab Aegea homine corruptibili humiliari: sed suscipe me tu, magister meus Christe, quem dilexi, quem cognovi, quem confiteor, quem cernere desidero, in quo sum quod sum. Suscipe, domine Iesu Christe, spiritum meum in pace: quia iam tempus est ut veniam, desiderans te videre. Suscipe me, domine Iesu Christe, magister bone, et iube me de ista cruce non deponi, nisi prius spiritum meum susceperis.* In C vero nihil eiusmodi legitur. Apud Abdiam l. l. XLII. (post *recedam*) haec huc pertinent: *Et cum populus ut solveret hominem iuberet, Sanctus Andreas exclamavit voce magna et dixit Ne permittas famulum tuum, domine Iesu Christe, qui propter nomen tuum pendet in ligno solvi; neque permittas quaeso, deus misericors, secretis tuis inhaerentem* (cf. supra) *humanis amplius conversationibus tradi. Sed suscipe tu magister me, quem dilexi, quem cognovi, quem retineo, quem videre desidero, in quo sum quod sum. Suscipe exitum meum, Iesu bone et misericors.*

Ὡς οὖν τ. εἴρηκεν (-κει B) -- ὡς ἀστραπὴ (B om ὡς ἀστρ.) -- ἐξελθοῦσα (A ἐλθοῦσα) -- καὶ οὕτως α. περιεκ. (B om κ. οὕτ. α. πε.) -- διέμεινεν οὖν (B ὡς δὲ διέμεινεν) ἡ -- ταῦτα δὲ usque δοξάσαντος (B om τα. δὲ usque δοξ.) ὑποχωροῦντος (B -ριζομένου) τ. φωτὸς (A add ἐκείνου) παρέδωκεν (B praem δοξάσας ἐπὶ πλείω τὸν κύριον) τὸ -- ἐπὶ (B σὺν) τῇ εὐχ. αὐτοῦ. .

Cum istis tantum non conveniunt quae D post *susceperis* habet: *Et cum haec dixisset, videntibus cunctis splendor nimius, sicut fulgur de coelo veniens, ita circumdedit eum ut penitus prae ipso splendore oculi eum humani non possent adspicere. Cumque permansisset splendor fere dimidiae horae spacio, abscedente lumine emisit spiritum, simul cum ipso lumine pergens ad dominum, cui est honor et gloria in secula seculorum, Amen.* C vero brevissime sic pergit: ἐξίστατο δὲ τῷ φωτὶ πορευόμενος πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. Item Abdias l. l. *Et haec dicens, dulcissime dominum clarificans et gaudens, nobis flentibus, reddidit spiritum.*

Digitized by Google

15 Μετὰ δὲ τὴν ἔξοδον τοῦ μακαριωτάτου Ἀνδρέου τοῦ ἀποστόλου ἡ Μαξιμίλλα, δυνατωτάτη οὖσα τῶν ἐπισήμων θηλειῶν καὶ ἐν τοῖς ἑλληλυθῶσιν διάγουσα, παραυτίκα ὡς ἔμαθεν τὸν ἀπόστολον πρὸς κύριον πορευθέντα, παραγεναμένη προσέκειτο τῷ σταυρῷ ἅμα τῷ Στρατόκλει, μηδὲν ὅλως τῶν παρεστώτων φροντίσασα, καὶ μετ' εὐλαβείας καθεῖλεν τὸ σῶμα τοῦ μακαριωτάτου ἀποστόλου ἀπὸ τοῦ σταυροῦ. ὀψίας δὲ γενομένης τὴν ἀναγκαίαν αὐτῷ ἐπιμέλειαν προσάγουσα ἐκήδευσεν μετὰ ἀρωμάτων πολυτίμων, καὶ ἐν τῷ ἰδίῳ αὐτῆς κατέθετο μνήματι. ἦν γὰρ κεχωρισμένη τοῦ Αἰγεάτου διὰ τὴν θηριώδη αὐτοῦ γνώμην καὶ ἄνομον πολιτείαν, ἕλομένη δὲ βίον σεμνὸν καὶ ἡσύχιον καὶ τῇ τοῦ Χριστοῦ ἀγάπῃ κεκολλημένη, μακαρίως ἅμα τοῖς ἀδελφοῖς διῆγεν.

Ἦν πολλὰ λιπαρήσας ὁ Αἰγεάτης καὶ ὑποσχόμενος τῶν πραγμάτων αὐτοῦ δεσπόζειν αὐτήν· μὴ δυνηθεὶς δὲ αὐτὴν πεῖσαι μεγάλως ὀργίσθη, καὶ κατὰ παντὸς τοῦ δήμου διετίθετο διαμαρτυρίαν ποιῆσαι δημοσίαν καὶ πρὸς Καίσαρα κατηγορίαν κατά τε τῆς Μαξιμίλλης καὶ παντὸς τοῦ λαοῦ πέμψαι. ἐν δὲ τῷ ταῦτα διατάσσεσθαι αὐτὸν κατενώπιον τῆς τάξεως αὐτοῦ, νυκτὸς ἀω-

---

15. Haec quoque sectio petita est tota ex codicibus AB. Plura consimilia habet D latinus; item aliqua Abdiae historia; paucissima codex C.

Μετὰ -- Μαξιμίλλα (A -μίλη) -- καὶ ἐν (B om) τοῖς -- ἀπόστολον (B add τοῦ Χριστοῦ) -- παραγεναμ. (B om) προσέκειτο (B πρόσεισι) -- ἅμα (B add σὺν) τῷ -- παρεστώτ. (B add αὐτῇ) φροντ. καὶ μετ' (B μετὰ πάσης) εὐλ. -- ἀπὸ τ. σταυρ. (B om ἀ. τ. στ.). ὀψίας δὲ (B καὶ ὀψ.) γενομ. (B γεναμ.) -- προσάγουσα (B προσαγάγουσα) ἐκήδ. μ. ἀρ. πολ. (B ἐκήδ. ἀρώμασιν πολυτίμοις), -- τῷ ἰδίῳ usque μνήματι (B τῷ τόπῳ ἐν ᾧ αὐτοὶ κατεστήσαντο ϑάπτεσϑαι, ἐκεῖ αὐτὸν κατέϑεντο). ἦν γὰρ -- γνώμην (B ψυχὴν) καὶ ἄνομον (B ἀνόσιον) -- ἡσύχιον (B ἥρεμον) κ. τῇ (B τὴν) -- ἀγάπῃ (B -πην) κεκολλ. (B κεχωρηγμένη) -- διῆγεν.

Istorum loco D sic habet: *Quaedam vero foemina, nomine Maximilla, senatrix, in specu posita, diligens pudicitiam et sanctitatem, statim ut cognovit apostolum perrexisse ad dominum, accessit ad crucem, et suorum solatio cum omni reverentia deposuit corpus, et condivit aromatibus, et in loco quo se constituerat sepeliendam, illic eum sepelivit.* Item Abdias l. l. *Cuius corpus Maximilla proconsulis uxor accipiens condilum aromatibus celebri in loco sepelivit, et ex illo tempore pudicitiam et castitatem servans, in fide quoque accepta constans permansit.*

Ἦν πολλὰ λιπαρήσας -- μὴ δυν. δὲ (B καὶ μὴ δυν.) αὐτ. πεῖσ. (B om α. π.) ὀργισϑη (sic uterque) καὶ (A om) -- δήμου διετ. διαμ. ποιῆσ. δημοσ. (A δήμου κατηγορίαν δημοσ.) καὶ πρ. Καίσ. κατηγ. (A om κ. πρ. Κ. κατ.) κατά τε τ. Μαξιμίλλης (A -μίλης) -- λαοῦ (A add πρὸς Καίσαρα) πέμψαι (A ἀποστεῖλαι ἐπηγγείλατο) -- νυκτὸς (B add τε) ἀωρίᾳ -- διαλαϑὼν (B λαϑὼν) -- ὑπὸ (B

ρίᾳ ἀναστὰς καὶ διαλαθὼν πάντας τοὺς αὐτοῦ, ὑπὸ τοῦ διαβόλου ἐνοχληθεὶς ἀπὸ ὕψους μεγάλου κατηνέχθη, καὶ ἐν μέσῃ τῇ ἀγορᾷ τῆς πόλεως κυλιόμενος ἐξέπνευσεν.

Ἀνηγγέλθη δὲ τοῦτο τῷ ἀδελφῷ αὐτοῦ Στρατόκλει, καὶ ἀπέστειλεν τοὺς παῖδας αὐτοῦ εἰρηκὼς αὐτοῖς ὅπως μεταξὺ τῶν βιοθανάτων αὐτὸν θάψωσιν. αὐτὸς δὲ ἐκ τῆς ὑπάρξεως αὐτοῦ οὐδὲν ἐζήτησεν, λέγων Μή μοι παραχωρησάτω ὁ κύριός μου Ἰησοῦς Χριστός, ᾧτινι πεπίστευκα, ἵνα ἐγὼ ἐκ τῶν ἀγαθῶν τοῦ ἀδελφοῦ μου τί ποτε ἅψομαι, ἵνα μὴ μολύνῃ με τὸ κατάκριμα αὐτοῦ, ὅστις τὸν ἀπόστολον τοῦ κυρίου ἐτόλμησεν ἀνελεῖν.

Ταῦτα ἐπράχθη ἐν τῇ ἐπαρχίᾳ τῆς Ἀχαΐας εἰς Πάτρας τὴν πόλιν πρὸ μιᾶς καλανδῶν Δεκεμβρίων· ὅπου εὐεργεσίαι παρέχονται μέχρι τῆς σήμερον εἰς δόξαν καὶ ἔπαινον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

καὶ ὑπὸ) -- κατηνέχθη καὶ (B κατεαγεὶς) ἐν -- κυλιόμενος (A -ώμενος) ἐξέπνευσεν. D sic: *Aegeas vero iratus contra populum disponebat contestationem publicam facere et ad Caesarem accusationem contra Maximillam et populum destinare. Sed dum ordinat, in conspectu officii sui a diabolo arreptus est et in medio foro civitatis volutatus expiravit.* Item Abdias l. l. *Aegeas vero maritus illius, arreptus ea nocte a daemonio, de loco alto se praecipitavit et mortuus est.* Item C (praegressis illis εἰς τοὺς αἰῶνας, ἀμήν): Ὁ οὖν Αἰγέας ληφθεὶς ὑπὸ δαίμονος ἐνώπιον πάντων ῥαγεὶς ἐξέπνευσεν. ὁ δὲ ἀδελφὸς αὐτοῦ Στρατόκλεις (corrige -κλης) κρατῶν τὸ σῶμα τοῦ ἁγίου Ἀνδρέου διέλαθεν.

Ἀνηγγέλθη -- εἰρηκὼς (B λέγων) αὐτοῖς (B om) -- βιοθανάτων (uterque βιωθαν.) -- ἅψομαι (B καθάψωμαι), ἵνα μὴ (B μή πως) μολύνῃ με (A μολύνομαι) -- ἐτόλμησεν (B add ὑπὲρ φιλαργυρίας) ἀνελεῖν. Cum istis consentit D hunc in modum: *Nuncialum est fratri eius, cui nomen erat Stratocles, et misit servos suos dixitque eis ut inter Biothanatos sepelirent eum. Ipse autem de facultatibus eius nihil quaesivit, dicens Non mihi permittat dominus meus Iesus Christus, cui credidi, ut ego de bonis fratris mei aliquid contingam, ne polluat me crimen eius, quia apostolum domini ausus fuit pro amore pecuniae occidere.* Cf. Abdias l. l. qui sic habet: *Stratocles porro frater eius cum haec audivisset, de bonis proconsulis nihil contingere voluit, dicens Quae tua sunt, tecum pereant. Mihi sufficit dominus Iesus, quem cognovi per famulum eius Andream.*

Ταῦτα (B add δὲ) ἐπράχθη (-θησαν B) ἐν τῇ usque Πάτρας (B ἐν τῇ Ἀχαΐα τῇ ἐπαρχίᾳ τῆς πόλεως Πάτρας) -- Δεκεμβρίων (A -βρίω), ὅπου usque παρέχονται (B ἐν ᾧ γίνονται ἰάματα) -- σήμερον (B add ἡμέρας) εἰς δόξ. καὶ usque ᾧ ἡ δόξα (A εἰς δόξ. τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ) εἰς τ. αἰῶν. τ. αἰ. ἀμήν. Exeunt haec acta in D: *Haec autem gesta sunt apud Achaiam provinciam civitate Patras pridie Calendas Decembris: ubi etiam praestantur gloriosa eius beneficia usque in praesentem diem. Tantus autem timor invasit omnes ut nullus remaneret qui non crederet salvatori nostro deo, qui*

Digitized by Google

vult omnes salvos fieri et ad cognitionem veritatis venire. Ipsi gloria in secula seculorum, Amen. C ita habet: Τοσοῦτος δὲ φόβος κατέσχεν ἅπαντας ὥστε μηδένα ἀπομεῖναι τῶν μὴ πιστευσάντων τῷ κυρίῳ τῷ θέλοντι πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. τελεῖται δὲ ἡ ἡμέρα τῆς τελειώσεως αὐτοῦ μηνὶ Νοεμβρίῳ λ', βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν. Apud Abdiam denique hic actorum finis est: *Est autem passus venerabilis et sanctus dei Andreas apostolus apud Achaiam in civitate Patris sub Aegeate proconsule pridie Kalendas Decembris, regnante domino Iesu Christo, cui sit gloria in saecula saeculorum, Amen.*

Digitized by Google

ΠΡΑΞΕΙΣ ΑΝΔΡΕΟΥ ΚΑΙ ΜΑΤΘΕΙΑ ΕΙΣ ΤΗΝ ΠΟΛΙΝ ΤΩΝ ΑΝΘΡΩΠΟΦΑΓΩΝ.

Κατ' ἐκεῖνον τὸν καιρὸν ἦσαν πάντες οἱ ἀπόστολοι ἐπὶ τὸ αὐτὸ συναχθέντες καὶ ἐμέριζον ἑαυτοῖς τὰς χώρας βάλλοντες κλήρους, ὅπως ἀπέλθῃ ἕκαστος εἰς τὸ λαχὸν αὐτοῦ μέρος. κατὰ κλῆρον οὖν ἔλαχεν τὸν Ματθείαν πορευθῆναι εἰς τὴν χώραν τῶν ἀνθρωποφάγων. οἱ δὲ ἄνθρωποι τῆς πόλεως ἐκείνης οὔτε ἄρτον ἤσθιον οὔτε οἶνον ἔπινον, ἀλλ' ἦσαν ἐσθίοντες σάρκας ἀνθρώπων

---

* Πράξεις etc: ita A. C: Πράξεις τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων Ματθαίου καὶ Ἀνδρέα. D: Πράξεις Ματθαίου καὶ Ἀνδρέου ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων. E: Πράξεις Ματθαίου καὶ Ἀνδρέου τῶν ἁγίων ἀποστόλων καὶ θαυματούργων ἰατρῶν καὶ μαθητῶν τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἐν τῇ χώρᾳ τῶν ἀνθρωπωφάγων.

1. Κατ' -- πάντ. οἱ ἀπόστ. (B οἱ ἀπόστ. ἅπαντες) -- τὰς χώρας (B add πάσας) -- λαχὸν αὐτοῦ (B αὐτῷ) μέρος cum AB. CE: Κατ' ἐκεῖνον τὸν καιρὸν ἦσαν οἱ ἀπόστολοι ὁμοθυμαδὸν (E om) συνηγμένοι ἅπαντες ἐπὶ τὸ (E τῷ) αὐτό (E αὐτῷ), καὶ διεμέρισαν (E ἐμέρισον, sic) ἑαυτοὺς (sic uterque) τὰς χώρας ἁπάσας (C om) ὅπως ἀπέλθῃ ἕκαστος αὐτῶν εἰς τὸ ἐπιλαχὲν (E - χών, sic) αὐτῷ (E αὐτοῦ) μέρος. D^b: Κατ' ἐκεῖνον τὸν καιρὸν ἦσαν οἱ ἀπόστ. ἅπαντες ἐπὶ τὸ αὐτό· συναχθέντες δὲ ἐν Ἱεροσολύμοις ἐμερίζοντο τὰς χώρας πάσας, καὶ ἔβαλον κλήρους ὅπως πορευθῇ ἕκαστος εἰς τὸν λαχμὸν αὐτοῦ. D^a: Κατ' ἐκεῖνον τὸν καιρὸν ἦσαν πάντες οἱ ἀπόστ. συνηγμένοι ἐπὶ τῷ αὐτῷ, καὶ ἐμέρισαν πᾶσαν τὴν οἰκουμένην, ὅπως ἀπέλθῃ ἕκαστος εἰς τὸ ἐπιλαχὼν (sic) αὐτῶν (sic) μέρος | κατὰ κλῆρον -- τ. Ματθείαν (B τ. Ματθαῖον) πορ. εἰς τὴν χώραν (B ἐν τῇ χώρᾳ) τ. ἀνθρ. οἱ δὲ ἄνθρωποι (οἱ δὲ ἀνθρ. cum B, item CD^bE, vide post: A corrupte εισαν δε) τῆς -- οἶνον (B ὕδωρ) ἔπινον -- τὸ αἷμα cum AB. CD^bE: κατὰ κλῆρον οὖν ἔλαχεν (C - χε) τὸν (E add ἅγιον, C ἅγιον ἀπόστολον) Ματθαῖον πορευθῆναι εἰς τὴν χ. (D^b ἐν τῇ χώρᾳ) τ. ἀ. οἱ δὲ (D^b οὖν) ἄνθρωποι (D^b add οἱ) τῆς πόλεως (D^b χώρας) ἐκείνης οὔτε ἄρτ. ἤσθ. (D^b οὐκ ἤσθ. ἄρτ.) οὔτε οἶν. ἔπινον (D^b οὐδὲ ἔπινον ὕδωρ) ἀλλ' ἦσαν -- τὸ αὐτῶν (D^b αὐτῶν τὸ) αἷμα. D^a: κατὰ κλῆρον οὖν ἔλαχε τοῦ ἀποστόλου Ματθαίου ἡ χώρα τῶν Πάρθων καὶ Μήδων καὶ ἡ χώρα τῶν ἀνθρωπωφάγων (ἀνθρωπωφάγ. etiam D^bE; A ἀνθροπωφάγ.). εὗρον

Digitized by Google

καὶ πίνοντες αὐτῶν τὸ αἷμα. πᾶς οὖν ἄνθρωπος ὃς ἀπήρχετο ἐν τῇ πόλει αὐτῶν, κατεῖχον αὐτόν, καὶ ὀρύσσοντες ἐξέβαλλον αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ φάρμακον αὐτὸν ἐπότιζον ἐκ φαρμακείας καὶ μαγίας σκευασθέν, καὶ ἐν τῷ αὐτοὺς ποτίζειν τὸ φάρμακον ἠλλοιοῦτο αὐτοῦ ἡ καρδία καὶ ὁ νοῦς αὐτοῦ μετηλλάσσετο.

[2] Τοῦ οὖν Ματθεία εἰσελθόντος ἐν τῇ πύλῃ τῆς πόλεως αὐτῶν ἐκράτησαν αὐτὸν οἱ ἄνθρωποι τῆς πόλεως ἐκείνης καὶ ἐξέβαλον αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ μετὰ τὸ ἐξενεγκεῖν ἐπότισαν αὐτὸν τὸ φάρμακον τῆς μαγικῆς αὐτῶν πλάνης, καὶ ἀπήγαγον αὐτὸν ἐν τῇ φυλακῇ, καὶ παρέθηκαν αὐτῷ χόρτον ἐσθίειν, καὶ οὐκ ἤσθιεν. μεταλαβὼν γὰρ ἐκ τοῦ φαρμάκου αὐτῶν οὐκ ἠλλοιώθη ἡ καρδία αὐτοῦ οὔτε ὁ νοῦς αὐτοῦ μετηλλάγη, ἀλλ' ἦν εὐχόμενος τῷ θεῷ κλαίων καὶ λέγων Κύριε Ἰησοῦ Χριστέ, δι' ὃν τὰ πάντα κατελείψαμεν καὶ ἠκολουθήσαμέν σοι, γινώσκοντες ὅτι σὺ εἶ βοηθὸς πάντων τῶν ἐλπιζόντων ἐπὶ σοί, πρόσχες οὖν καὶ θέασαι ἃ ἐποίησαν Ματθείᾳ τῷ δούλῳ σου, πῶς παρεπλησίασάν με τοῖς κτήνεσιν· σὺ γὰρ εἶ ὁ γινώσκων τὰ πάντα. εἰ οὖν ὥρισάς με ἵνα καταφάγωσίν με οἱ ἐν τῇ πόλει ταύτῃ ἄνθρωποι ἄνο-

---

αὐτοὺς παντοίως πλανωμένους, σάρκα ἀνθρώπων ἐσθίοντας καὶ τὸ αἷμα αὐτῶν πίνοντας. | πᾶς οὖν (B γὰρ) ἄνθρ. ὃς ἀπήρχετο (C ἄνθρ. ἀπερχόμενος) ἐν (B ἐπί, C ἐν ἐκείνῃ) τῇ πόλει αὐτῶν (C om) κατ. αὐτόν (B αὐτούς, C add οἱ ἀνθρωποφάγοι) καὶ ὀρύσσοντες ἐξέβαλλον (B ὤρυσσον καὶ ἐξέβαλον, C ἐξόρυττον) αὐτοῦ (B αὐτῶν) τ. ὀφθ. (C τ. ὀφθ. αὐτ.) cum A(BC); D^a: καὶ ὅσοι ξένοι ἄνθρωποι ἀπήρχοντο ἐν τῇ χώρᾳ ἐκείνῃ τῶν ἀνθρωποφάγων, ἐλάμβανον αὐτοὺς καὶ ἐτύφλωσαν αὐτούς | καὶ (B add μετὰ τὸ ἐξενέγκαι αὐτῶν τοὺς ὀφθαλμούς) φάρμακον αὐτὸν (B αὐτοὺς) ἐπότιζον (B ποτίζοντες) ἐκ φαρμ. κ. μαγ. σκευασθέν (B κατασκευασθ.), καὶ cum AB; C εἶτα φαρμακείας καὶ μαγείας κατεσκεύαζον αὐτὸν ποτίζοντες, καί | C om ἐν τῷ αὐτ. ποτίζ. τὸ (B αὐτὸ τὸ) φάρμ. | C ἠλλ. ἡ καρδ. αὐτοῦ καὶ ὁ νοῦς μετηλλάσσ.

2. Ματθεία: BC Ματθαίου | οἱ ἄνθρωποι: B om οἱ | ἐξέβαλον: A ἐξέβαλλον | ἐπότισαν αὐτόν: A ἐποίησαν αὐτοῦ | B ἐξενέγκαι | C εἰσελθόντος ἐν τῇ πόλει ἐκείνῃ ἐξήνεγκαν τοὺς ὀφθαλμ. αὐτοῦ, ποτίσαντες φάρμακον | τῆς μαγικ. α. πλάνης: C τῆς πλανήσεως αὐτῶν, B τῆς πλανήσεως καὶ μαγίας αὐτῶν | C ἀπήγαγ. ἐν φυλακῇ | παρέθηκαν: BC παρέβαλον | αὐτῷ: AB αὐτόν | B χορτ. τοῦ ἐσθίειν | B ἠλλ. αὐτοῦ ἡ καρδ. | C οὐ μετηλλάχθη pro οὐκ ἠλλοιώ. usque μετηλλάγη | τῷ θεῷ: C πρὸς θεόν | κύριε: B ὦ κύριέ μου | σοι: B σε | ἐπὶ σοί: B ἐπὶ σέ | δι' ὃν τὰ usque ἐποί. (B add οὗτοι) Ματθ. τ. δ. σου (B -θίαν τὸν δοῦλόν σ.): C ἴδε τί ἐποίησαν τῷ δούλῳ σου οἱ ἄνθρωποι τῆς πόλεως ταύτης | C πῶς (B ὅτι) ὡμοίωσάν με τ. κτ. τοῖς ἀνοήτοις | C om σὺ γὰρ -- πάντα | C ὥρισας τοῦ φαγεῖν με | οἱ ἐν τ. π. τ. ἄνθρ. ἄν. (B om ἄνθρ.

μοι, οὐ μὴ ἐκφεύξωμαι τὴν οἰκονομίαν σου. παράσχου οὖν μοι, κύριε, τὸ φῶς τῶν ὀφθαλμῶν μου, ἵνα κἂν θεάσωμαι ἃ ἐπιχειροῦσίν μοι οἱ ἐν τῇ πόλει ταύτῃ ἄνομοι ἄνδρες· μὴ ἐγκαταλίπῃς με, κύριέ μου Ἰησοῦ Χριστέ, καὶ μὴ παραδώσεις με τῷ θανάτῳ τῷ πικρῷ τούτῳ.

[3] Ταῦτα δὲ προσευχομένου τοῦ Ματθεία ἐν τῇ φυλακῇ ἔλαμψεν φῶς, καὶ ἐξῆλθεν ἐκ τοῦ φωτὸς φωνὴ λέγουσα Ματθεία ἀγαπητέ, ἀνάβλεψον. καὶ εὐθέως ἀνέβλεψεν. καὶ πάλιν ἐξῆλθεν φωνὴ λέγουσα Ἐνισχυρίζου, ἡμέτερε Ματθεία, καὶ μὴ πτοηθῇς· οὐ μὴ γάρ σε ἐγκαταλείψω· ἐγὼ γάρ σε ῥύσομαι ἀπὸ παντὸς κινδύνου, οὐ μόνον δὲ σὲ ἀλλὰ καὶ πάντας τοὺς ἀδελφούς σου τοὺς ὄντας μετὰ σοῦ· μετὰ σοῦ γάρ εἰμι πᾶσαν ὥραν καὶ πάντοτε. ἀλλ' ὑπόμεινον ἐνταῦθα ἡμέρας κζ' δι' οἰκονομίαν πολλῶν ψυχῶν, καὶ μετὰ ταῦτα ἐξαποστελῶ σοι Ἀνδρέαν καὶ ἐξάξει σε ἐκ τῆς φυλακῆς ταύτης, οὐ μόνον δὲ σὲ ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντας. ταῦτα εἰπὼν ὁ σωτὴρ εἶπεν πάλιν τῷ Ματθείᾳ Εἰρήνη σοι, ἡμέτερε Ματθεία· καὶ ἐπορεύθη εἰς τὸν οὐρανόν. τότε ὁ Ματθείας θεασάμενος εἶπεν πρὸς τὸν κύριον Ἡ χάρις σου διαμένῃ μετ' ἐμοῦ, κύριέ μου Ἰησοῦ.

Τότε οὖν ὁ Ματθείας ἐκαθέσθη ἐν τῇ φυλακῇ καὶ ἦν ψάλλων. καὶ ἐγένετο ἐν τῷ εἰσέρχεσθαι τοὺς δημίους εἰς τὴν φυλακὴν

ἄν.): C om | B τῆς οἰκονομίας | C ἐκφεύξομαι | B om οὖν et κύριε, C om οὖν μοι | B θεάσομαι | μοι: C ἐν ἐμοί | C om ἐν τῇ πόλ. ταύτ. | ἄνδρες: B ἄνθρωποι, C om | B ἐγκαταλείπῃς, A ἐνκαταλίπις | C om μου Ἰησ. Χρ. | καὶ μή: C μηδέ | παραδώσεις cum C; B -δώσης; in A versus inde ab κύριε usque θανάτῳ abscissus est | παραδ. με: B add ἐν | C τῷ πικρ. τούτ. θαν.

3. C om δέ | Ματθεία (hoc uno loco A -τθείου): C Ματθαίου | B μέγα φῶς ἔλαμψ., C ἰδοὺ φ. ἔλ. | C om καὶ ἐξῆλθεν -- φωνή (B add μεγάλη) -- ἀγαπητέ (B add μου) -- εὐθέως (B add ὁ Ματθίας) ἀνέβλ. | καὶ πάλ. ἐξ. φωνή (B add ἐκ τοῦ φωτός): C καὶ φωνὴ ἐγένετο | B ἐπισχυρίζου, C ἴσχυε καὶ ἀνδρίζου | Ματθεία: C μαθητά | A ἐγκαταλείπω | ἐγὼ -- ῥύσομαι (A -σωμαε): C ἀλλὰ ῥύσ. σε | BC om δέ et πάντας et τ. ὄντ. μ. σοῦ | C μεθ' ὑμῶν εἰμί | C om πᾶσαν (B κατὰ πᾶσ.) ὥρ. καί, B om καὶ πάντοτ. | ἐντ. ἡμέρ. κζ' (B τρεῖς): C μέχρι ἡμερῶν εἰκοσιεπτά | B om (etiam D habet) δι' (D διὰ) οἰκ. π. ψυχ. et μετὰ ταῦτ. | ἐκ: C ἀπό | BC om ταύτης | C om οὐ μόν. δὲ (B om) σὲ ἀλλ. κ. πάντ. | ἀκούοντας: BC μετὰ σέ (sic) | C καὶ εἰπὼν ταῦτα λέγει Εἰρήνη σοι Ματθαῖε· κ. ἀπῆλθεν εἰς οὐρανούς (B ἐπορεύετο εἰς οὐρανούς) | B πρὸς τ. Ἰησοῦν | B Ἰησοῦ Χριστέ | C om τότε ὁ Ματθ. usque Ἰησοῦ.

C Ὁ δὲ Ματθαῖος εὐχαριστήσας τῷ κυρίῳ ἐκαθ. ἐ. τ. φ. ψάλλων καὶ ὑμνῶν τὸν θεόν | Τότε οὖν: B καὶ ταῦτα εἰπών | C ἐν τῇ φυλακῇ | τοὺς ἀνθρ.: BC

Digitized by Google

ἵνα ἐξενέγκωσιν τοὺς ἀνθρώπους εἰς βρῶσιν αὐτῶν, καὶ ἦν ὁ Ματθείας κλείων αὐτοῦ τοὺς ὀφθαλμούς, ὅπως μὴ θεωρήσωσιν αὐτὸν βλέποντα. καὶ ἐλθόντες οἱ δήμιοι πρὸς αὐτὸν ἀνέγνωσαν τὴν ἐν τῇ χειρὶ αὐτοῦ τάβλαν, καὶ εἶπαν ἐν ἑαυτοῖς Ἔτι τρεῖς ἡμέρας καὶ ἐξάξομεν καὶ τοῦτον ἐκ τῆς φυλακῆς καὶ σφάξομεν αὐτόν. ἐπειδὴ πάντα ἄνθρωπον ὃν κατεῖχον, ἐσημειοῦντο τὴν ἡμέραν ἐκείνην ἐν ᾗ κατεῖχον αὐτόν, καὶ προσέδεναν τῇ χειρὶ αὐτοῦ τῇ δεξιᾷ τάβλαν ἵνα γνῶσι τὴν πλήρωσιν τῶν τριάκοντα ἡμερῶν.

4 Καὶ ἐγένετο ὅτε ἐπληρώθησαν αἱ κζ ἡμέραι ἐν τῷ συλλημφθῆναι τὸν Ματθείαν, ἐφάνη ὁ κύριος ἐν τῇ χώρᾳ ᾗ ἦν διδάσκων ὁ Ἀνδρέας, καὶ εἶπεν αὐτῷ Ἀνάστηθι καὶ πορεύθητι μετὰ τῶν μαθητῶν σου ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων καὶ ἐξάγαγε Ματθείαν ἐκ τοῦ τόπου ἐκείνου· ἔτι γὰρ τρεῖς ἡμέραι καὶ ἐξάξουσιν αὐτὸν οἱ τῆς πόλεως καὶ σφάξουσιν αὐτὸν εἰς τροφὴν αὐτῶν. καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν Κύριέ μου, οὐ δυνήσομαι φθάσαι τοῦ ἀπελθεῖν ἐκεῖ πρὸ τῆς προθεσμίας τῶν τριῶν ἡμερῶν, ἀλλ' ἀπόστειλον τὸν ἄγγελόν σου τὸ τάχος ἵνα ἐξάξει αὐτὸν ἐκεῖθεν· σὺ γὰρ γινώσκεις, κύριε, ὅτι κἀγὼ σάρξ εἰμι καὶ οὐ δυνήσομαι τὸ τάχος πορευθῆναι ἐκεῖ. καὶ λέγει τῷ Ἀνδρέᾳ Ἐπάκουσον τῷ ποιήσαντί σε, τῷ καὶ δυναμένῳ λόγῳ εἰπεῖν καὶ μετενε-

---

om τούς | καὶ ἦν ὁ Ματθ.: C ὁ ἀπόστολος | κλείων: BC (om αὐτοῦ) κλίνων | C ὅπ. μὴ ϐλ. | B πρ. αὐτ. οἱ δήμ. | τάβλαν: C γραφήν | C εἶπον | B ἐξάξωμεν, C ἐξαγάγομεν | καὶ τοῦτον: BC καὶ (C om) αὐτόν | ἐπειδὴ -- κατεῖχον: B ὅτι πᾶν (sic) ἄνθρ. ὃν ἤγρευσν | B om καὶ προσέδεν. et pergit εἰς ταύλαν (ita B etiam alibi) ἐν τῇ χειρὶ α. τ. δ. | B ἵνα γνώσουσι | ἐπειδὴ -- τριάκ. ἡμερῶν: C ὅτι ἐσημειοῦντο αὐτοὺς δι' ἀριθμοῦ τριάκ. ἡμερῶν ἕνα ἕκαστον, καὶ οὕτως ἔσφαζον αὐτόν

4. C om ἐγένετο | B om αἱ | κζ: BC εἰκοσιεπτά | BC συλληφθ. | C τὸν ἅγιον Ματθαῖον | B (item D) τῷ Ἀνδρέᾳ ἐν τῇ χώρᾳ ᾗ (C οὗ) ἐδίδασκε | BC Ἀνδρέα, ἀνάστα (C ἀν. Ἀνδρ.) κ. πορεύου | B om μετὰ τ. μ. σου | C om κ. ἐξάξ. usque πόλεως | C σφάξωσιν αὐτόν (B om αὐτ.) | εἶπεν: C ἔφη | μου: BC om | οὐ δυνήσομαι (A -σωμε) φθάσ. τοῦ ἀπ. ἐκ. πρὸ τῆς (B οὐ δύναμαι τοῦ φθάσαι ἀπελθ. ἐκ. τῆς [?]) -- ἡμερῶν: C οὐ δυνήσ. ἐν τρισὶν ἡμέραις φθάσαι διὰ τὸ τὴν ὁδοιπορίαν μακρὰν εἶναι | C ἀλλὰ ἀπόστ. ἄγγ. σ. καὶ ἐξάξει (B ἵνα ἐξάξῃ) αὐτόν | BC om κύριε | B σὰρξ κἀγώ, C om κἀγώ | A δυνήσωμαι | πορευθ. ἐκεῖ (C om ἐκ.): BC add ἀλλ' οὐδὲ ἐπίσταμαι τὴν ὁδόν (C τ. ὁ. ἐπίστ.) | καὶ λέγει τ. Ἀ.: BC καὶ ἀποκριθεὶς ὁ κύριος εἶπε τ. Ἀ. (C εἶπεν αὐτῷ) | B Ὑπάκουσον τὸν ποιήσαντά σε, C Οὐκ οἶδας πόσας δυνάμεις ἐποίησα τοῖς υἱοῖς Ἰσραήλ | τῷ καὶ -- μετενεχθήσεται (B -χθῆναι): C καὶ νῦν δύναμαι εἰπ. λόγῳ

Digitized by Google

χθήσεται ἡ πόλις ἐκείνη ἐνταῦθα καὶ οἱ οἰκοῦντες ἐν αὐτῇ πάντες· κελεύω γὰρ τοῖς κέρασιν τῶν ἀνέμων καὶ ἄγουσιν αὐτὴν ἐνταῦθα. ἀλλὰ ἀναστὰς τῷ πρωὶ κάτελθε εἰς τὴν θάλασσαν σὺν τοῖς μαθηταῖς σου, καὶ εὑρήσεις πλοῖον ἐπὶ τὸν αἰγιαλὸν καὶ ἀνέλθῃς μετὰ τῶν μαθητῶν σου. καὶ ταῦτα εἰπὼν ὁ σωτὴρ πάλιν εἶπεν Εἰρήνη σοι, Ἀνδρέα, ἅμα τοῖς σὺν σοί· καὶ ἐπορεύθη εἰς τοὺς οὐρανούς.

5 Ἀναστὰς δὲ Ἀνδρέας τῷ πρωὶ ἐπορεύετο ἐπὶ τὴν θάλασσαν ἅμα τοῖς μαθηταῖς αὐτοῦ, καὶ κατελθὼν ἐπὶ τὸν αἰγιαλὸν ἴδεν πλοιάριον μικρὸν καὶ ἐπὶ τὸ πλοιάριον τρεῖς ἄνδρας καθεζομένους. ὁ γὰρ κύριος τῇ ἑαυτοῦ δυνάμει κατεσκεύασεν πλοῖον, καὶ αὐτὸς ἦν ὥσπερ ἄνθρωπος πρωρεὺς ἐν τῷ πλοίῳ· καὶ εἰσήνεγκεν δύο ἀγγέλους οὓς ἐποίησεν ὡς ἀνθρώπους φανῆναι, καὶ ἦσαν ἐν τῷ πλοίῳ καθεζόμενοι. ὁ οὖν Ἀνδρέας θεασάμενος τὸ πλοῖον καὶ τοὺς τρεῖς ὄντας ἐν αὐτῷ ἐχάρη χαρὰν μεγάλην σφόδρα, καὶ πορευθεὶς πρὸς αὐτοὺς εἶπεν Ποῦ πορεύεσθε, ἀδελφοί, μετὰ τοῦ πλοίου τοῦ μικροῦ τούτου; καὶ ἀποκριθεὶς ὁ κύριος εἶπεν αὐτῷ Πορευόμεθα ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων. ὁ δὲ Ἀνδρέας θεασάμενος τὸν Ἰησοῦν οὐκ ἐπέγνω αὐτόν· ἦν γὰρ ὁ Ἰησοῦς κρύψας τὴν ἑαυτοῦ θεότητα, καὶ ἦν φαινόμενος τῷ Ἀνδρέᾳ

καὶ μετεν. | καὶ (B add πάντες οἱ ἄνδρες) οἱ οἰκ. (B κατοικ.) ἐ. α. πά. (B om): C om | C ἦ κελεύσω τοῖς ἀνέμοις καὶ ἀγάγουσί (item B) με (sic) Ματθαῖον | BC ἀλλὰ (B ἀλλ') ἀνάστα πρωὶ καὶ κάτ. ἐπὶ τ. θ. | C om σὺν τ. μ. σ. | C καὶ εὕρῃς πλοιάριον ἐν τῷ αἰγιαλῷ | καὶ ἀνέλθῃς: B ὅπως ἀν. εἰς αὐτό, C καὶ ἄπελθε | C om κ. ταῦτα -- οὐρανούς | B ἐπορεύετο ἐν τοῖς οὐρανοῖς

5. Ἀναστ. δ. Ἀ. (B Ἀ. δ. ἀναστ.) -- ἐπὶ (B παρὰ) τ. θ. -- ἐπὶ (B εἰς) τ. αἰγ. ἴδεν (B εἶδε) -- ἄνδρας καθεζομένους (B ἄνδρες ἐκαθέζοντο): C Ὁ δὲ ἀπελθὼν ἐν τῇ θαλάσσῃ καὶ εὑρὼν πλοιάριον μικρὸν καὶ ἄνδρας ἐν αὐτῷ καθεζομένους | C ὁ γὰρ κύρ. κατεσκ. αὐτὸ ἀοράτως τῇ αὐτοῦ δυνάμει (B add καὶ ἰσχύϊ) et om καὶ αὐτὸς ἦν -- εἰσήνεγκε (B ἐνέγκας) -- οὓς (B om) ἐποίησ. (B ἐμόρφωσεν αὐτούς) ὡς (B εἰς) -- ἐν (B σὺν) τ. πλ. καθεζ. (B om καθ.). Ex D ad h. l. notavi: κατεσκεύασεν (*per noctem*) ὁ θεὸς πλοῖον μικρὸν καὶ ἔβαλεν ἐν αὐτῷ ναύτας ἀγγέλους, καὶ Ἰησοῦς ἦν ὡς κύριος τοῦ πλοίου. | BC Ἀνδρ. οὖν | θεασ. τὸ πλ. καὶ τοὺς -- ἐν αὐτῷ (A om καὶ τοὺς usque αὐτῷ): C ἰδὼν αὐτὸ καὶ τοὺς ἐν αὐτῷ τρ. ἄνδρας | C om χαρ. μ. σφ. | B καὶ ἐπορεύθη πρὸς αὐτούς. καὶ πορευθεὶς ὁ Ἀνδρέας εἶπεν αὐτοῖς, C pro his: καὶ εἶπεν αὐτοῖς | C om μετὰ τ. πλ. τ. μ. τούτου: B ἐν τῷ πλοιαρίῳ τῷ μικρῷ τούτῳ | ὁ κύρ. εἶπ. αὐτῷ: B ὁ Ἰησοῦς εἶπε, C ὁ Ἰησοῦς ἐν σχήματι ναυκλήρου ἔφη | A Πορευώμεθα | B ὁ οὖν θεασάμ. | C om θεασ. τ. Ἰησ. et habet οὐκ ἔγνω τὸν κύριον | ἦν γὰρ -- θεότητα (B μορφήν) -- ὡς (B ὥσπερ) ἀ. πρωρεύς (B semper πλωρεύς.

Digitized by Google

ὡς ἄνθρωπος πρωρεύς. ὁ δὲ Ἰησοῦς ἀκούσας τοῦ Ἀνδρέου λέγοντος ὅτι κἀγὼ εἰς τὴν χώραν τῶν ἀνθρωποφάγων πορεύομαι, λέγει αὐτῷ Πᾶς ἄνθρωπος φεύγει τὴν πόλιν ἐκείνην, καὶ πῶς ὑμεῖς πορεύεσθε ἐκεῖ; καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν Πρᾶγμά τι μικρὸν ἔχομεν ἐκεῖ διαπράξασθαι, καὶ δεῖ ἡμᾶς ἐκτελέσαι αὐτό· ἀλλ' εἰ δύνασαι, ποίησον μεθ' ἡμῶν τὴν φιλανθρωπίαν ταύτην τοῦ ἀπάξαι ἡμᾶς ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων, ἐν ᾗ καὶ ὑμεῖς μέλλετε πορεύεσθαι. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς Ἀνέλθατε.

[6] Καὶ εἶπεν Ἀνδρέας Θέλω σοί τι φανερὸν ποιῆσαι, νεανίσκε, πρὸ τοῦ ἡμᾶς ἀνελθεῖν ἐν τῷ πλοίῳ σου. ὁ δὲ Ἰησοῦς εἶπεν Λέγε ὃ βούλῃ. ὁ δὲ Ἀνδρέας εἶπεν αὐτῷ Ναῦλον οὐκ ἔχομέν σοι παρασχεῖν, ἀλλ' οὔτε ἄρτον ἔχομεν εἰς διατροφήν. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ Πῶς οὖν ἀπέρχεσθε μὴ παρέχοντες ἡμῖν τὸν ναῦλον μήτε ἄρτον ἔχοντες εἰς διατροφήν; εἶπεν δὲ Ἀνδρέας τῷ Ἰησοῦ Ἄκουσον, ἀδελφέ· μὴ νόμισῃς ὅτι κατὰ τυραννίαν οὐ δίδομέν σοι τὸν ναῦλον ἡμῶν, ἀλλ' ἡμεῖς μαθηταί ἐσμεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀγαθοῦ θεοῦ. ἐξελέξατο γὰρ ἡμᾶς τοὺς δώδεκα, καὶ παρέδωκεν ἡμῖν ἐντολὴν τοιαύτην

Idem ex D adnotavi.): C ἀλλ' ἦν ὡς πρωρεύς | ὁ δὲ (B καὶ ὁ) Ἰησ. -- Ἀνδρέου (B -έα) – ὅτι usque πορεύομαι (B Πορευόμεθα ἐν τῇ χώρᾳ τ. ἀνθρ.) λέγει (B εἶπεν) αὐτῷ (B αὐτοῖς): C λέγει οὖν αὐτοῖς | B ὅτι πᾶς | BC ἐκφεύγει (B add ἐκ) τῆς πόλεως ἐκείνης | ἐκεῖ: BC ἐν αὐτῇ | καὶ ἀποκρ. (B add ὁ) Ἀ. εἶπεν (B add αὐτῷ): C καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς | πρᾶγμα -- ἐκτελ. αὐτό (B om αὐτ.): C Πραγματείαν μικρὰν ἔχομεν διαπράξασθ. | ἀλλ' εἰ δύν. ποίησον (ita A; B ποιῆσαι? ποίησαι?) μεθ' ἡμῶν -- ἐν τῇ χ. τ. ἀ. (ita B; A ἐκεῖ pro ἐν usque ἀνθρ.) -- ὑμεῖς μέλλ. πορ. (B ὑμ. πορεύεσθε): C καὶ εἶπεν Ἀνδρέας Δύνασθε ποιῆσαι εἰς ἡμᾶς (omnino sic pro ὑμᾶς legendum est) φιλανθρωπίαν τοῦ ἀπαγαγεῖν ἡμᾶς μεθ' ὑμῶν; | ἀποκριθεὶς -- αὐτοῖς: C καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς | C Ἀνέλθετε μεθ' ἡμῶν

6. Καὶ εἶπεν -- τι (supplevi; ceterum versus αὐτοῖς usque σοι [τι] in A legi non potest) φαν. ποι. (B δηλῶσαι pro φ. π.) -- ἡμᾶς ἀνελθεῖν (B ἀνελθῆναι ἡμᾶς) ἐν τ. πλ. (B εἰς τὸ πλοῖον) σου (B om). ὁ δὲ (B καὶ ἀποκριθεὶς ὁ) Ἰησ. εἶπ. (B add αὐτῷ) Λέγε (B add ὦ ἄνθρωπε) ὃ β. (B om ὃ β.). ὁ δὲ (B τότε ὁ) Ἀ. εἶπ. αὐτῷ (B εἶπεν Ἄκουσον ἡμῶν): C Καὶ λέγει αὐτῷ Ἀνδρέας Ἄκουσον, νεανίσκε, πρὸ τοῦ ἀνελθ. ἡμᾶς ἐν τ. πλ. σου | οὔτε (ita AC): B οὐδέ | C om ἔχομεν | πῶς οὖν (B καὶ πῶς) ἀπέρχ. (B ἀνέρχ.) μὴ παρέχ. (BC ἔχ.) ἡμῖν (B ὑμῶν, C om) -- ἄρτον (A ἄρτους) ἔχ. (C om) ε. δ. (pro ἔχ. ε. δ. B μεθ' ὑμῶν φέροντες) | C om Ἄκ. ἀδελφ. | B τυραννίδα | C οὐ δίδ. σοι ναῦλον, ἀλλὰ μαθηταί | τοῦ (BC om) ἀγαθ. θεοῦ: BC add ὄντες δοῦλοι | C om καὶ παρέδ. ἡ-

Digitized by Google

λέγων ὅτι πορευόμενοι κηρύσσειν μὴ βαστάζετε ἀργύριον ἐν τῇ ὁδῷ μήτε ἄρτον μήτε πήραν μήτε ὑποδήματα μήτε ῥάβδον μήτε δύο χιτῶνας. εἰ οὖν ποιεῖς τὴν φιλανθρωπίαν μεθ' ἡμῶν, ἀδελφέ, εἰπὲ ἡμῖν συντόμως· εἰ οὐ ποιεῖς, φανέρωσον ἡμῖν, καὶ πορευθέντες ζητήσομεν ἑαυτοῖς ἕτερον πλοῖον. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν τῷ Ἀνδρέᾳ Εἰ αὕτη ἐστὶν ἡ ἐντολὴ ἣν ἐλάβετε καὶ τηρεῖτε αὐτήν, ἀνέλθατε μετὰ πάσης χαρᾶς ἐν τῷ πλοίῳ μου. ἀληθῶς γὰρ βούλομαι ὑμᾶς τοὺς μαθητὰς τοῦ λεγομένου Ἰησοῦ ἀνελθεῖν ἐν τῷ πλοίῳ μου ἢ τοὺς παρέχοντάς μοι χρυσίου καὶ ἀργυρίου· πάντως γὰρ ἄξιός εἰμι ἵνα ὁ ἀπόστολος τοῦ κυρίου ἀνέλθῃ ἐν τῷ πλοίῳ μου. ἀποκριθεὶς δὲ ὁ Ἀνδρέας εἶπεν Συγχώρησόν μοι, ἀδελφέ, ὁ κύριος παράσχῃ σοι τὴν δόξαν καὶ τὴν τιμήν. καὶ ἀνῆλθεν Ἀνδρέας μετὰ τῶν αὐτοῦ μαθητῶν εἰς τὸ πλοῖον.

7 Καὶ εἰσελθὼν ἐκαθέσθη παρὰ τὸ ἱστίον τοῦ πλοίου. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν ἑνὶ τῶν ἀγγέλων Ἀναστὰς κάτελθε εἰς τὴν κοίλην τοῦ πλοίου καὶ ἀνένεγκε τρεῖς ἄρτους ἵνα φάγωσιν οἱ ἄνδρες, μή ποτε ἄσιτοι ὑπάρχουσιν ἀπὸ ὁδοῦ μακρᾶς ἐληλυθότες πρὸς ἡμᾶς. καὶ ἀναστὰς κατῆλθεν ἐπὶ τὴν κοίλην τοῦ πλοίου καὶ ἀνήνεγκε τρεῖς ἄρτους, καθὼς ὁ κύριος αὐτῷ ἐνετείλατο, καὶ

ε. τοιαύτ. (B om τοι.) | ὅτι πορ. κηρύσσειν (C -σσετε) μὴ βαστάζ. (B μ. περιφέρετε, C om) -- ὁδῷ (C add μὴ αἴροντες) -- μήτε (B μὴ) ὑποδήμ. μ. ῥ. (C om μ. ῥ.) μήτε (ita BC; A μηδὲ) δ. χ. | εἰ οὖν ποι. (C θέλεις) τ. φ. μ. ἡμ. (B μ. ἡμ. τ. φ., C om), ἀδ. (B om? C add λαβεῖν ἡμᾶς) εἰπ. ἡ. σ. (C κέλευσον)· εἰ οὐ ποιεῖς (HOYNH - - - - sic fere in codice est. Thilo edidit ἢ οὖν γε; γε certe falsum est. B nihil nisi ἢ habet; C εἰ δὲ μήγε), φ. ἡμ. κ. (C om φ. ἡ. κ.) πορευθέντες (C -θῶμεν) ζητήσομεν (BC -σωμεν) ἑαυτ. (C om) ἕ. πλ. (C add ὅπως διασωθῶμεν) | ἀποκριθεὶς -- τῷ Ἀνδρέᾳ (A τὸν Ἀνδρέαν): C εἶπε δὲ ὁ Ἰησ. | Εἰ -- (B om ἣν ἐλάβ.) -- αὐτήν: C om | C Ἀνέλθετε | B εἰς τὸ πλοῖον· | τοὺς (B praem ἀνενέγκαι) μ. τοῦ λεγομ. (C om) Ἰησ. (C Χριστοῦ, B Ἰησ. Χρ.) ἀνελθ. (C ante τούς ponit) -- μου (B om ἀνελθ. usque μου) -- χρυσίου (BC -σίον) κ. ἀργυρίου (BC -ριον) | πάντως -- ἀνέλθῃ: C ἄξιον γὰρ τὸν τοῦ κυρίου ἀπόστολον ἀνελθεῖν | ἀποκριθεὶς -- μοι (B om), -- παράσχῃ (A -σχει, B παρέχει) -- τιμήν: C ὁ δὲ Ἀνδρ. ἀπεκρίνατο Ὁ κύριος, ἀδελφέ, παράσχῃ δόξ. καὶ τιμήν | BC κ. ἀν. Ἀνδρ. (C om) εἰς τὸ πλ. (C add ὁ Ἀνδρ.) με. τ. μαθ. αὐτοῦ (B σὺν τοῖς μαθηταῖς αὐτ.)

7. εἰσελθών: B ἀνελθών ὁ Ἀνδρέας | παρὰ τὸ ἱστίον: post παρα τω ει in codice A nihil legi potest usque ἀδελφέ, ἅμα; rursus incipit τοῖς ἰδίοις σου (B τ. παιδίοις). Hinc quae desiderantur in A, ex B sumta sunt. Eadem C sic habet: Καὶ εἶπεν ὁ Ἰησοῦς ἑνὶ τῶν ἀγγέλων αὐτοῦ Κάτελθε εἰς τὴν κοιλάδα τοῦ πλ. καὶ ἔνεγκε τρεῖς ἄρτ. τοῦ φαγεῖν οἱ ἀδελφοί· ἀπὸ ὁδοῦ γὰρ μακρὰν ἦλθον. καὶ ἀναστὰς ὁ ἄγγελος ἤνεγκε τρ. ἄρτ. καὶ παρέθηκεν αὐτοῖς. καὶ εἶπεν ὁ Ἰη-

Digitized by Google

παρέθηκεν αὐτοῖς τοὺς ἄρτους. τότε ὁ Ἰησοῦς εἶπε τῷ Ἀνδρέᾳ Ἀνάστα, ἀδελφέ, ἅμα τοῖς ἰδίοις σου, μεταλάβετε τροφῆς, ἵνα ἰσχύσητε ὑπενεγκεῖν τὸν κλύδωνα τῆς θαλάσσης. ἀποκριθεὶς δὲ Ἀνδρέας εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ Τεκνία μου, μεγάλην φιλανθρωπίαν ηὕραμεν παρὰ τῷ ἀνθρώπῳ τούτῳ. ἀναστάντες οὖν μεταλάβετε ἄρτου τροφῆς, ἵνα ἰσχύσητε ὑπενεγκεῖν τὸν κλύδωνα τῆς θαλάσσης. καὶ οὐκ ἠδυνήθησαν οἱ μαθηταὶ αὐτοῦ ἀποκριθῆναι αὐτῷ λόγον· ἐταράχθησαν γὰρ διὰ τὴν θάλασσαν. τότε ὁ Ἰησοῦς ἠνάγκαζεν τὸν Ἀνδρέαν ἵνα μεταλάβῃ καὶ αὐτὸς ἄρτου τροφῆς σὺν τοῖς μαθηταῖς αὐτοῦ. ἀποκριθεὶς δὲ Ἀνδρέας εἶπεν τῷ Ἰησοῦ, μὴ γινώσκων ὅτι Ἰησοῦς ἐστίν, Ἀδελφέ, ὁ κύριος παράσχῃ σοι ἄρτον ἐπουράνιον ἐκ τῆς βασιλείας αὐτοῦ. ἔασον οὖν, ἀδελφέ· ὁρᾷς γὰρ τὰ παιδία ὅτι τεταραγμένα εἰσὶν ἕνεκεν τῆς θαλάσσης. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν τῷ Ἀνδρέᾳ Τάχα ἄπειροί εἰσιν οἱ ἀδελφοὶ θαλάσσης· ἀλλ' ἐξέτασον αὐτοὺς εἰ θέλουσιν ἐπανελθεῖν ἐπὶ τὴν γῆν καὶ προσμεῖναί σε, ἕως ἂν ἐκτελέσεις τὴν διακονίαν σου καὶ πάλιν ἐπανέλθῃς πρὸς αὐτούς. τότε Ἀνδρέας εἶπεν τοῖς μαθηταῖς αὐτοῦ Τεκνία μου, εἰ θέλετε ἀνελθεῖν ἐπὶ τὴν γῆν καὶ προσμεῖναί με ἐνταῦθα ἕως ἐκτελέσω τὴν διακονίαν μου εἰς ἣν ἀπεστάλην; καὶ ἀποκριθέντες εἶπον τῷ Ἀνδρέᾳ Ἐὰν ἀποστῶμεν ἀπὸ σοῦ, ξένοι γενώμεθα τῶν ἀγαθῶν ὧν παρέσχεν ἡμῖν ὁ κύριος. νῦν οὖν μετὰ σοῦ ἐσμέν, ὅπου δ' ἂν πορεύει.

σοῦς τῷ Ἀνδρέᾳ Ἀνάστα, ἀδελφέ, μετὰ τῶν μαθητῶν σου | BC καὶ μεταλάβ. ἄρτου τροφῆς (C om τρ.) | C τὸν τῆς θαλ. κλύδ. | C om ἀποκριθ. δὲ Ἀνδρ. εἶπ. (B post μαθ. αὐτοῦ) -- ηὕραμεν (B εὕραμ.) παρὰ (B ἐν) -- ἄρτ. τροφῆς (B τινὸς) -- οἱ μαθ. αὐτοῦ (B om) -- ἵνα μετ. -- μαθ. αὐτοῦ (pro ἵνα usque αὐτοῦ B μεταλαβεῖν ἄρτου) | ἀποκρ. δὲ -- Ἰησ. ἐστίν (B add λέγων αὐτῷ Ὦ) -- παράσχῃ (A -σχει) -- βασιλ. αὐτοῦ: C καὶ ἀναστὰς Ἀνδρ. καὶ προσευξάμενος εἶπε τῷ Ἰησοῦ Ὁ κύρ. σοι, ἀδελφέ, παράσχῃ ἄρτ. ἐπ. ἀπὸ τῆς αὐτοῦ βασ. | C om ἔασον οὖν (B om), ἀδελφέ -- θαλάσσης | καὶ ἀπ. ὁ Ἰησ. εἶπ. τῷ Ἀνδρ. (B om τ. Ἀ.) -- θαλάσσης (B τῆς θαλ.): C καὶ λέγει ὁ Ἰησοῦς Τί ὅτι ταράσσονται οἱ μαθηταί σου ὡς ἄπειροι τῆς θαλ. | ἀλλ' ἐξέτ.: C ἐξέτ. οὖν | εἰ (B ἢ) θέλ. ἐπανελθ. (B ἀνελθ.) -- προσμ. σε (B ἐκεῖ) -- ἐκτελέσεις (B -σης) -- πρ. αὐτούς: C εἰ θέλωσιν ἀπομεῖναι εἰς γῆν καὶ προσμεῖναι ἐκεῖ ἕως ἂν ἐκτελέσῃς τ. δ. σου | τότε (B καὶ ἀποκριθεὶς ὁ) Ἀ. εἶπ. -- εἰ (B μὴ οὖν) -- ἕως (B add ἂν) -- μου (B om) ε. ἣν ἀπεστ.: C καὶ εἶπεν αὐτοῖς Ἀνδρ. κατὰ τὸ ῥῆμα Ἰησοῦ. | B εἶπαν | C om τῷ Ἀνδρ. | γενώμεθα (A γεννώμ.): B γινόμεθα | B παρέσχες ἡμῖν, C ἐπηγγείλω ἡμῖν | νῦν -- πορεύει (sic uterque codex): C ἀλλὰ μετὰ σοῦ πορευσόμεθα.

Digitized by Google

[8] Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν τῷ Ἀνδρέᾳ Εἰ ἀληθῶς μαθητὴς εἶ τοῦ λεγομένου Ἰησοῦ, λάλησον τοῖς μαθηταῖς σου τὰς δυνάμεις ἃς ἐποίησεν ὁ διδάσκαλός σου, ἵνα χαίρῃ αὐτῶν ἡ ψυχὴ καὶ ἐπιλάθωνται τὸν φόβον τῆς θαλάσσης· ἰδοὺ γὰρ μέλλομεν ἐξαγαγεῖν τὸ πλοῖον ἀπὸ τῆς γῆς. καὶ εὐθὺς εἶπεν ὁ Ἰησοῦς ἑνὶ τῶν ἀγγέλων Ἀπόλυσον τὸ πλοῖον. καὶ ἀπέλυσεν τὸ πλοῖον ἀπὸ τῆς γῆς. καὶ ἐλθὼν ὁ Ἰησοῦς ἐκάθισεν παρὰ τὸ πηδάλιον καὶ διεκυβέρνα τὸ πλοῖον. τότε Ἀνδρέας παρήνει καὶ ἐνίσχυε τοὺς μαθητὰς αὐτοῦ λέγων Τεκνία μου, οἱ παραδώσαντες τὴν ψυχὴν τῷ κυρίῳ, μὴ φοβεῖσθε· ὁ γὰρ κύριος οὐ μὴ καταλείψει ἡμᾶς εἰς τοὺς αἰῶνας. ἐν γὰρ τῷ καιρῷ ἐκείνῳ ὅτε ἤμην σὺν τῷ κυρίῳ ἡμῶν, ἀνήλθομεν ἐν τῷ πλοίῳ σὺν αὐτῷ, καὶ ἐκάθευδεν ἐν τῷ πλοίῳ πειράζων ἡμᾶς· οὐκ ἦν γὰρ κοιμώμενος. καὶ ἀνέμου μεγάλου γενομένου καὶ τῆς θαλάσσης κυμαινούσης, ὥστε τὰ κύματα ὑψωθῆναι καὶ γενέσθαι ὑπὸ τῷ ἱστίῳ τοῦ πλοίου, καὶ ἡμῶν φοβηθέντων μεγάλως, ἀναστὰς ὁ κύριος ἐπετίμησεν τοῖς ἀνέμοις, καὶ ἐγένετο γαλήνη ἐν τῇ θαλάσσῃ· ἐφοβήθησαν γὰρ αὐτὸν τὰ πάντα, ὅτι ποιήματα αὐτοῦ εἰσίν. νῦν οὖν, τεκνία μου, μὴ φοβεῖσθε· ὁ γὰρ κύριος Ἰησοῦς οὐ μὴ ἐγκαταλείψει ἡμᾶς. καὶ ταῦτα λέγων ὁ ἅγιος Ἀνδρέας ηὔχετο ἐν τῇ καρδίᾳ αὐτοῦ ὅπως οἱ μαθηταὶ αὐτοῦ ἑλκυσθῶσιν εἰς ὕπνον. καὶ εὐχομένου Ἀνδρέου εἰς ὕπνον ἐτράπησαν οἱ μαθηταὶ αὐτοῦ.

---

8. C ἃς πεποίηκεν ὁ σὸς διδ. | B ἵνα χαρῇ αὐτῶν ἡ καρδία καὶ -- θαλάσσης: C ἵνα χαίροντες ἐπιλάθωνται τὸν τῆς θαλ. φόβον | ἐξαγαγεῖν: BC ἐξῶσαι | C om καὶ εὐθὺς -- ἀπὸ τ. γῆς | C ἀνελθών | ἐκάθισεν (-θησεν A): BC ἐκαθέσθη. Post hanc vocem usque ὑπὸ τῷ ἱστίῳ τοῦ πλ. in A nihil legi potest. Hinc textus est codicis B. | παρὰ τὸ usque πλοῖον: C κυβερνῶν ἐν τῷ πηδαλίῳ τὸ πλ. | C ὁ δὲ Ἀνδρ. ἐνίσχυε τοὺς -- οἱ παραδόντες τὰς ψυχὰς ὑμῶν ὑπὲρ τοῦ Χριστοῦ, μὴ φοβεῖσθε· οὐ γὰρ καταλείπει ἡμᾶς εἰς τὸν αἰῶνα. ὅτε ἦμεν σὺν αὐτῷ, [deest ἐκάθευδεν] ἐν τ. πλ. πειρ. ἡμᾶς· [deest οὐκ] ἦν γὰρ κοιμ. ἀνέμου δὲ μεγάλου γενομένου καὶ τῆς θαλάσσης εἰς ὕψος ἐγειρομένης, καὶ φοβηθέντες πάντες, ἀναστὰς ὁ κύρ. -- γαλήνη (BC add μεγάλη) ἐ. τ. θ. | B ἐφοβήθη | C ἐφοβ. γὰρ τὰ ποιήμ. αὐτ. | C om τεκν. μου | C om ὁ γ. κύρ. Ἰησ. (B om?) -- ἐγκαταλείψει (B -ψη, A ἐγκαταληπεῖ) ἡμᾶς | λέγων: C εἰπών | ὁ ἅγ. Ἀνδρ. (B αὐτοῖς ὁ Ἀνδρ.): C om | C προσηύξατο ἐ. τ. κ. α. ἵνα εἰς ὕπν. ἑλκυσθ. (item B ε. ὑ. ἑλκ.) καὶ τραπέντες εἰς ὕπν., ἐπιστραφεὶς ὁ Ἀνδρ. λέγει τῷ Ἰησοῦ | B εὐχομ. τοῦ Ἀνδρέα

Digitized by Google

[9] Καὶ ἐπιστραφεὶς Ἀνδρέας πρὸς τὸν κύριον, μὴ γινώσκων ὅτι ὁ κύριός ἐστιν, εἶπεν αὐτῷ Λέγε μοι, ὦ ἄνθρωπε, καὶ ὑπόδειξόν μοι τὴν τέχνην τῆς κυβερνήσεώς σου· ὅτι οὐδένα ἴδον ἄνθρωπόν ποτε κυβερνῶντα οὕτως ἐν τῇ θαλάσσῃ ὥσπερ νῦν σὲ ὁρῶ. ἑξκαιδέκατον γὰρ ἔπλευσα τὴν θάλασσαν, καὶ ἰδοὺ τοῦτο ἑπτακαιδέκατον, καὶ οὐκ ἴδον τοιαύτην τέχνην· ἀληθῶς γὰρ οὕτως ἐστὶν τὸ πλοῖον ὡς ἐπὶ τῆς γῆς. ὑπόδειξον οὖν μοι, νεανίσκε, τὴν σὴν τέχνην. τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν τῷ Ἀνδρέᾳ Καὶ ἡμεῖς πολλάκις ἐπλεύσαμεν τὴν θάλασσαν καὶ ἐκινδυνεύσαμεν· ἀλλ' ἐπειδὴ σὺ μαθητὴς εἶ τοῦ λεγομένου Ἰησοῦ, ἐπέγνω σε ἡ θάλασσα ὅτι δίκαιος εἶ, καὶ ἡσύχασεν καὶ οὐκ ἐπῆρεν τὰ κύματα αὐτῆς ἐπὶ τὸ πλοῖον. τότε Ἀνδρέας ἔκραξεν φωνῇ μεγάλῃ λέγων Εὐλογήσω σε, κύριέ μου Ἰησοῦ Χριστέ, ὅτι συνήντησα ἀνδρὶ δοξάζοντι τὸ ὄνομά σου.

[10] Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν Ὦ Ἀνδρέα, εἰπέ μοι, μαθητὰ τοῦ λεγομένου Ἰησοῦ, διὰ τί οἱ ἄπιστοι Ἰουδαῖοι οὐκ ἐπίστευσαν αὐτῷ, λέγοντες ὅτι οὐκ ἔστιν θεὸς ἀλλ' ἄνθρωπος. φανέρωσόν μοι, μαθητὰ τοῦ λεγομένου Ἰησοῦ· ἠκούσαμεν γὰρ ὅτι ἐφανέρωσεν τὴν θεότητα αὐτοῦ τοῖς μαθηταῖς αὐτοῦ. καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν Ἀληθῶς, ἀδελφέ, ἐφανέρωσεν ἡμῖν ὅτι θεός ἐστιν. μὴ οὖν νομίσῃς ὅτι ἄνθρωπός ἐστιν· αὐτὸς γὰρ ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα

---

9. B om Ἀνδρ. | ὁ κύριος: B Ἰησοῦς | B οὐδ. ἴδον ἀνθρώπων πώποτε | B ἔπλευσα ἐν τῇ θαλάσσῃ | ἐστὶν τὸ πλοῖον ὡς: B ἐστὶν ὥσπερ | μοι: B ἡμῖν | B ἐν τῇ θαλάσσῃ, ἀλλ' ἐκινδυνεύσαμεν | B ἐπέγνωσεν ἡ θάλ. | B om κ. ἡσύχ. | B αὐτῆς τὰ κύμ. ἐν τῷ πλοίῳ | ἔκραξεν: B ἐφώνησε | A φωνὴν μεγάλην | B τῷ δοξάζ. σου τὸ ὄν. | C Ἐπιστραφεὶς ὁ Ἀνδρ. λέγει τῷ Ἰησοῦ Δεῖξόν μοι, ἀδελφέ, τὴν τέχνην τ. κ. σου, ὅτι οὐδέπω εἶδον ἄνθρ. οὕτως κυβερνᾶν. δεκαὲξ ἔπλευσα ἐν τῇ θαλ. καὶ νῦν ἰδοὺ δεκαεπτά, καὶ οὐκ εἶδον οὕτως ποιοῦντα. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς Ἡμεῖς πολλάκις ἐπλεύσαμεν καὶ κινδύνους ὑπέστημεν· ἀλλ' ἐπεὶ σὺ μαθητὴς τοῦ λεγ. Ἰησ., ἐπέγνω σε ἡ θάλ. καὶ οὐκ ἐπῆρε τὰ κύμ. αὐτῆς. καὶ εἶπεν Ἀνδρέας Εὐχαριστῶ σοι, κύριε, ὅτι συνήντησα ἀνδρὶ τῷ (Thilo ἀνδρί τῳ) δοξ. τὸ ἅγιόν σου ὄνομα

10. Καὶ – – Ὦ (B τῷ) – – διὰ τί: C Καὶ λέγει αὐτῷ ὁ φαινόμενος ναύκληρος Εἰπέ μοι, διὰ τί | αὐτῷ: C τῷ Χριστῷ | B om ἀλλ' | C om φανέρωσον (B add οὖν) μοι μ. τ. λ. Ἰησ. | τὴν θεότ. αὐτοῦ: B αὐτοῦ τὴν δύναμιν, C τὴν δύναμιν τὴν ἰδίαν | B om αὐτοῦ | C καὶ εἶπ. Ἀνδρέας | ἀληθῶς: B ναί, C om | C ὅτι ἀληθινός θεός ἐστι | C om μὴ οὖν (B post νομ.) νομίσῃς (A -σις) ὅτι (B add θεὸς) ἄνθρ. ἐστιν· αὐτὸς γ. ἐποί. τὸν οὐρ. – – ἐν αὐτοῖς (pro τὸν οὐρ.

Digitized by Google

τὰ ἐν αὐτοῖς. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν Πῶς οὖν οὐκ ἐπίστευσαν αὐτῷ οἱ Ἰουδαῖοι; τάχα οὐκ ἐποίησε σημεῖα ἐνώπιον αὐτῶν; καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν Οὐκ ἤκουσας τὰς δυνάμεις ἃς ἐποίησεν ἐνώπιον αὐτῶν; τυφλοὺς ἐποίησεν ἀναβλέψαι, χωλοὺς περιπατῆσαι, κωφοὺς ἀκοῦσαι, λεπροὺς ἐκαθέρισεν, ὕδωρ εἰς οἶνον μετέβαλεν, καὶ λαβὼν πέντε ἄρτους καὶ δύο ἰχθύας ἐποίησεν ὄχλον ἀνακλιθῆναι ἐν χόρτῳ καὶ εὐλογήσας ἔδωκεν αὐτοῖς φαγεῖν· ἦσαν δὲ οἱ ἐσθίοντες πεντακισχίλιοι ἄνδρες καὶ ἐχορτάσθησαν· καὶ ἦραν τὰ περισσεύοντα αὐτοῖς, δώδεκα κοφίνους κλασμάτων. καὶ μετὰ ταῦτα πάντα οὐκ ἐπίστευσαν αὐτῷ.

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν τῷ Ἀνδρέᾳ Τάχα ταῦτα τὰ σημεῖα ἐποίησεν ἐνώπιον τοῦ λαοῦ καὶ οὐχὶ ἐνώπιον τῶν ἀρχιερέων, καὶ διὰ τοῦτο οὐκ ἐπίστευσαν αὐτῷ.

11 Καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν Ναί, ἀδελφέ, ἐποίησεν καὶ ἐνώπιον τῶν ἀρχιερέων, οὐ μόνον ἐν φανερῷ ἀλλὰ καὶ ἐν κρυπτῷ, καὶ οὐκ ἐπίστευσαν αὐτῷ. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν Ποῖαι εἰσὶν αἱ δυνάμεις ἃς ἐποίησεν ἐν τῷ κρυπτῷ; φανέρωσόν μοι αὐτάς. καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν Ὦ ἄνθρωπε ὁ ἔχων τὸ πνεῦμα τῆς ἐπερωτήσεως, τί με ἐκπειράζεις; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν Οὐκ ἐκπειράζω σε ταῦτα λέγων, μαθητὰ τοῦ λε-

---

usque ἐν αὐτοῖς B: τὸν ἄνθρωπον) -- ἐποίησεν ἐνώπ. αὐτῶν. In A non potuit legi Πῶς οὖν οὐκ usque ἐνώπ. αὐτῶν; sunt igitur ex B. | ἀναβλέψαι: C βλέπειν | κωφ. ἀκοῦσαι (C ἀκούειν): B om | ἐκαθέρισεν (B -θάρισεν): C καθαίρειν | B ὕδωρ οἶνον ἐποίησε | C om λαβών, item ἐποίησεν usque ἐν χόρτῳ καί | ἔδωκεν usque κλασμάτων: C πεντακισχιλίους ἐχόρτασε χωρὶς γυναικῶν καὶ παιδίων, καὶ ἦραν τὸ περισσεῦον αὐτῶν, δώδ. κοφίνους πλήρεις: B ἐχόρτασεν, ὥστε καὶ τὸν χόρτον ἄρτους γενέσθαι καὶ φαγεῖν πεντακισχιλίους ἄνδρας καὶ χορτασθῆναι | καὶ με. τ. πάντα (B om) οὐκ: C καὶ οὐδὲ οὕτως

Καὶ ἀποκριθεὶς -- τῷ Ἀνδρ. (B om τ. Ἀνδρ.): C καὶ εἶπεν αὐτῷ ὁ Ἰησ. | C om Τάχα | C ἐνώπ. τ. λα. πεποίηκε καὶ οὐχὶ ἐν μέσῳ τῶν ἀρχ., B οὐκ ἐποίησεν ἐνώπ. τῶν ἀρχ. | C om αὐτῷ

11. C Καὶ ἀπ. ὁ Ἀνδρ. ἔφη | BC om ἀδελφέ | ἐποίησ. καὶ (B om) ἐνώπ. -- ἐν (A ἐγ) κρυπτῷ: C πεποίηκε καὶ ἐν κρυπτῷ καὶ φανερῷ | C om κ. οὐκ ἐπίστ. αὐτῷ (B εἰς αὐτόν) | ἀποκριθεὶς δὲ -- Ποῖαι (B Τίνες) -- μοι αὐτάς: C καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς Τί πεποίηκεν ἐν κρυπτῷ | κ. ἀποκρ. Ἀ. εἶπεν: C καὶ λέγει Ἀ. | C ἐρωτήσεως | C τί με πειράζεις, B ἕως πότε ἐκπ. με | C καὶ εἶπεν αὐτῷ Οὐ πειράζω σε, μαθ. τοῦ Ἰησ. | ἀλλὰ -- ἀγάλλεται (B ἀγαλλιᾷ), οὐ μ. δὲ ἡ ἐμή (B οὐ μ. ἐγώ), -- θαυμ. τοῦ Ἰησ. (B θαύμ. αὐτοῦ): C ἀλλὰ χαίρομαι ἐπὶ τούτοις καὶ πάντες ἀκούοντες | καὶ ἀποκρ. -- πληρώσει (A -σῃ) -- παντὸς (B add ἔργου) ἀγ., καθ. ἔπεισάς με νῦν ἵνα ἀναγγείλω (ita B; A ἤτι-

Digitized by Google

γομένου Ἰησοῦ, ἀλλὰ χαίρει ἡ ψυχή μου καὶ ἀγάλλεται, οὐ μόνον δὲ ἡ ἐμή, ἀλλὰ καὶ πᾶσα ψυχὴ ἡ ἀκούουσα τὰ θαυμάσια τοῦ Ἰησοῦ.

Καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν Ὦ τέκνον, ὁ κύριος πληρώσει σου τὴν ψυχὴν πάσης χαρᾶς καὶ παντὸς ἀγαθοῦ, καθὼς ἔπεισάς με νῦν ἵνα ἀναγγείλω σοι τὰ σημεῖα ἃ ἐποίησεν ὁ κύριος ἡμῶν ἐν τῷ κρυπτῷ.

12 Ἐγένετο πορευομένων ἡμῶν τῶν δώδεκα μαθητῶν μετὰ τοῦ κυρίου ἡμῶν εἰς ἱερὸν τῶν ἐθνῶν ἵνα γνωρίσῃ ἡμῖν τὴν ἄγνοιαν τοῦ διαβόλου, καὶ θεασάμενοι ἡμᾶς οἱ ἀρχιερεῖς ἀκολουθοῦντας τῷ Ἰησοῦ εἶπον ἡμῖν Ὦ ταλαίπωροι, πῶς περιπατεῖτε μετὰ τοῦ λέγοντος ὅτι υἱός εἰμι τοῦ θεοῦ; μὴ ἔχει υἱὸν ὁ θεός; τίς ἐξ ὑμῶν εἶδεν τὸν θεὸν ὁμιλοῦντα γυναικὶ πώποτε; μὴ οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσὴφ τοῦ τέκτονος καὶ ἡ μήτηρ αὐτοῦ Μαριὰμ καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Σίμων; ἡμεῖς δὲ ἀκούσαντες τῶν ῥημάτων τούτων, ἐστράφησαν αἱ καρδίαι ἡμῶν εἰς ἀσθένειαν. γνοὺς δὲ ὁ Ἰησοῦς ὅτι ἐξέκλιναν αἱ καρδίαι ἡμῶν, παραλαβὼν ἡμᾶς εἰς ἔρημον τόπον ἐποίησε μεγάλα σημεῖα ἐνώπιον ἡμῶν, καὶ ὑπέδειξεν ἡμῖν τὴν θεότητα αὐτοῦ πᾶσαν. ἡμεῖς δὲ εἴπαμεν τοῖς ἀρχιερεῦσι λέγοντες ὅτι ἔλθατε καὶ ὑμεῖς καὶ θεάσασθε· ἰδοὺ γὰρ ἡμᾶς ἔπεισεν.

13 Καὶ ἐλθόντες οἱ ἀρχιερεῖς σὺν ἡμῖν ἐπορεύθησαν, καὶ εἰσελθόντες εἰς τὸ ἱερὸν τῶν ἐθνῶν ὑπέδειξεν ἡμῖν ὁ Ἰησοῦς τὸν

σάς μοι νῦν ἀπαγγεῖλαι) -- ἃ (B ἅπερ) ἐποί. -- κρυπτῷ: C ὁ δὲ Ἀνδρ. ἔφη Ὁ θεὸς πληρώσει τὴν καρδ. σου πάσης χαρᾶς· πλὴν ἄκουε.

12. Ἐγέν. (B add δὲ) -- ἀκολουθ. τῷ Ἰησ. (B τὸν Ἰησοῦν, ἀποκριθέντες) εἶπ. ἡμῖν: C Ἐν μιᾷ τῶν ἡμερῶν πορευομένων ἡμῶν τῶν δώδ. μαθητῶν ἐν τῷ ἱερῷ μετὰ τοῦ Ἰησοῦ, εἶπον πρὸς ἡμᾶς οἱ ἀρχ. | πῶς περιπ. -- ὁμιλοῦντα (B -λήσαντα) γυναικὶ (B μετὰ γυναικός) πώποτε: C τί πλανηθέντες ἀκολουθεῖτε αὐτῷ ὡς θεῷ; τίς γὰρ οἶδε θεὸν μετὰ γυναικὸς ὁμιλήσαντα; καὶ λέγει ὅτι θεοῦ εἰμι υἱός | οὐχ οὗτος: C οὐκ | C om ὁ | Μαριάμ (B -ρία): C Μαρία λέγεται | Σίμων: C Ἰωσῆς | C καὶ ἡμ. ἀκούσ. ταῦτα μετεστράφησαν αἱ κ. ἡμ. (B ἡμ. αἱ κ.) | C om εἰς ἀσθένειαν (B ἀπιστίαν) | γν. δὲ (B καὶ γν.) ὁ Ἰησ. -- ἡμᾶς ἔπεισεν: C ὁ δὲ κύριος παραλαβὼν ἡμᾶς εἰς ἔρημον τόπον ἐνέδειξε τὴν θεότητα αὐτοῦ. καὶ εἴπαμεν ταῦτα τοῖς ἀρχιερεῦσι.

Post παραλαβών sectione 12. usque ἑτοιμαζόμενον κολάσεως exeunte sect. 20. nihil legi in codice A. Thilo vero inde a sect. 14. usque sect. 15. ἅμα τῇ σφιγγί ex eodem se hausisse significat.

13. Tota sectio ex B sumta est. εἰ ἀληθῆ (cum Thilone): codex ὅτι

Digitized by Google

οὐρανόν, ἵνα γνῶμεν εἰ ἀληθῆ ἐστὶν ἢ οὔ. καὶ εἰσῆλθον μεθ' ἡμῶν τριάκοντα ἄνδρες τοῦ λαοῦ καὶ τέσσαρες ἀρχιερεῖς. καὶ θεασάμενος ὁ Ἰησοῦς ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ ναοῦ εἶδε γλυπτὰς σφίγγας δύο, μίαν ἐκ δεξιῶν καὶ μίαν ἐξ εὐωνύμων. καὶ στραφεὶς ὁ Ἰησοῦς πρὸς ἡμᾶς εἶπε Θεωρήσατε τὸν τύπον τοῦ σταυροῦ· ταῦτα γὰρ ὅμοιά εἰσι τοῦ Χερουβὶμ καὶ τοῦ Σεραφὶμ τῶν ἐν οὐρανῷ. τότε ὁ Ἰησοῦς ἐμβλέψας ἐκ δεξιῶν, οὗ ἦν ἡ σφίγξ, εἶπεν αὐτῇ Σοὶ λέγω, τὸ ἐκτύπωμα τοῦ ἐν οὐρανῷ, ὃ ἔγλυψαν τεχνιτῶν χεῖρες, ἀποκολλήθητι ἀπὸ τοῦ τόπου σου καὶ ἐλθὲ κάτω, καὶ ἀποκρίθητι καὶ ἔλεγξον τοὺς ἀρχιερεῖς καὶ ὑπόδειξον αὐτοῖς εἰ ἐγὼ θεός εἰμι ἢ ἄνθρωπος.

14 Καὶ εὐθέως ἀπεπήδησεν ἐκείνη τῇ ὥρᾳ ἡ σφίγξ καὶ ἀναλαβοῦσα φωνὴν ἀνθρωπίνην εἶπεν Ὦ μωροὶ υἱοὶ Ἰσραήλ, οὐκ ἤρκέσθη μόνον ἡ τύφλωσις τῆς καρδίας αὐτῶν, ἀλλὰ καὶ ἑτέρους θέλουσι τυφλῶσαι ὡς καὶ αὐτοί, λέγοντες θεὸν εἶναι ἄνθρωπον, ὁ ἐξ ἀρχῆς τὸν ἄνθρωπον πλάσας καὶ δοὺς τὴν πνοὴν αὐτοῦ ἐν πᾶσιν, ὁ κινήσας πάντα τὰ ἀκίνητα· οὗτός ἐστιν ὁ καλέσας τὸν Ἀβραάμ, ὁ ἀγαπήσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ὁ ἐπιστρέψας τὸν ἀγαπητὸν αὐτοῦ Ἰακὼβ εἰς τὴν γῆν αὐτοῦ· οὗτός ἐστιν ὁ κριτὴς ζώντων καὶ νεκρῶν, οὗτός ἐστιν ὁ ἑτοιμάζων μεγάλα ἀγαθὰ τοῖς ὑπακούουσιν αὐτῷ καὶ ἑτοιμάζων κόλασιν τοῖς μὴ πιστεύουσιν αὐτῷ. μὴ προσέχετε ὅτι ἐγώ εἰμι ψηλαφητὸν εἴδωλον· λέγω γὰρ ὑμῖν ὅτι καλλίονά εἰσι τὰ ἱερὰ τῆς συναγωγῆς ὑμῶν. ἡμεῖς γὰρ ὄντες λίθοι, ὄνομα μόνον ἔδωκαν ἡμῖν οἱ ἱερεῖς

ἀληθῆ | γλυπτάς (cum Th.): codex γλυφάς | Σοὶ λέγω: codex et Thilo Σὺ λέγω | τοῦ ἐν (cum Th.): codex τὸ ἐν | C sic: Καὶ ἦλθον σὺν ἡμῖν εἰς τὸ ἱερόν, καὶ ὑπέδειξεν ἡμῖν ὁ Ἰησοῦς τὸ ἐκτύπωμα τοῦ ναοῦ. καὶ ἦσαν τριάκοντα ἄνδρες τοῦ λαοῦ καὶ οἱ ἀρχιερεῖς. καὶ εἶπεν ὁ Ἰησοῦς Θεωρεῖτε τὸν τύπον τοῦ ναοῦ. ὅμοιόν ἐστι τῶν Χερουβὶμ καὶ Σεραφὶμ ἐν οὐρανοῖς. καὶ εἶπε Σοὶ λέγω, τὸ ἐκτύπωμα τὸ ἐν τῷ ναῷ, ἀποκολλήϑητι ἐκ τοῦ τόπου σου καὶ ἐλϑὲ κάτω, καὶ ἔλεγξον τοὺς ἀρχιερεῖς εἰ ϑεὸς ἐγώ εἰμι ἢ ἄνϑρωπος.

14. ἑτέρους: B ἄλλους | καλέσας: B λαλήσας | ὁ ἀγαπήσας: B praem οὗτός ἐστιν | B om ὁ ἐπιστρέψας usque γῆν αὐτοῦ | καὶ ἑτοιμάζων usque παστ. αὐτῷ ex solo B sunt | προσέχετε: A προσέχητε | B ἡμεῖς γὰρ οἱ ὄντες λίϑοι, οἳ ὄνομα μόνον ἔδωκαν ἡμῖν, οἱ ἱερεῖς οἱ λειτουργοῦντες τὸ ἱερὸν καϑαρίζουσιν αὐτούς. Ad h. l. ex D notavi haec: μὴ λέγετε (codex λέγε) ὅτι λίϑος εἰμὶ γεγλυμμένη - - ὅτι ὑμεῖς μόνον ὄνομα ἔχετε καὶ λέγεσϑε ἀρχιερεῖς, ἀλλὰ λίϑοι ἐστὲ καὶ ξόανα etc. | πορνεύσητε: B -νεύετε | τ. συναγωγ. τοῦ ϑεοῦ: B om τοῦ ϑεοῦ | C hanc sectionem sic habet: Καὶ εὐϑὺς ἀπεπήδησεν ἡ ἐκτύπωσις καὶ

Digitized by Google

ὅτι θεός, καὶ αὐτοὶ οἱ ἱερεῖς οἱ λειτουργοῦντες τῷ ἱερῷ καθαρίζουσιν ἑαυτοὺς φοβούμενοι τοὺς δαίμονας· ἐὰν γὰρ συνέλθωσι γυναιξί, καθαρίζουσιν ἑαυτοὺς ἡμέρας ἑπτὰ διὰ τὸν φόβον, τοῦ μὴ εἰσελθεῖν αὐτοὺς εἰς τὸ ἱερὸν δι' ἡμᾶς, διὰ τὸ ὄνομα ὃ ἔδωκαν ἡμῖν ὅτι θεός. ὑμεῖς δὲ ἐὰν πορνεύσητε, αἴρετε τὸν νόμον τοῦ θεοῦ καὶ εἰσέρχεσθε ὡς τὴν συναγωγὴν τοῦ θεοῦ καὶ καθαρίζετε καὶ ἀναγινώσκετε καὶ οὐκ εὐλαβεῖσθε τοὺς λόγους τοὺς ἐνδόξους τοῦ θεοῦ. διὰ τοῦτο λέγω ὑμῖν ὅτι τὰ ἱερὰ καθαρίζουσιν τὰς συναγωγὰς ὑμῶν, ὡς καὶ γενέσθαι ἐκκλησίας τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ. ταῦτα εἰπούσης τῆς σφιγγὸς ἐσιώπησε.

15 Καὶ ἡμεῖς εἴπαμεν τοῖς ἀρχιερεῦσιν Νῦν ἄξιόν ἐστιν τοῦ πιστεῦσαι ὑμᾶς, ὅτι καὶ οἱ λίθοι ἤλεγξαν ὑμᾶς. καὶ ἀποκριθέντες οἱ Ἰουδαῖοι εἶπον Ἐν μαγείᾳ οἱ λίθοι οὗτοι λαλοῦσιν, καὶ μὴ νομίσητε ὅτι θεός ἐστιν. εἰ γὰρ ἐδοκιμάσατε τὰ λεχθέντα ὑπὸ τοῦ λίθου, ἐγινώσκετε τὴν πλάνην αὐτοῦ. ποῦ γὰρ εὗρεν οὗτος τὸν Ἀβραὰμ ἢ πῶς εἶδεν αὐτόν; ὁ γὰρ Ἀβραὰμ πρὸ τοῦ αὐτὸν γεννηθῆναι ἔτη πλείονα ἀπέθανεν, καὶ ποῦ αὐτὸς ἐπίσταται αὐτόν;

Ἐπιστραφεὶς δὲ πάλιν ὁ Ἰησοῦς πρὸς τὴν ἐκτύπωσιν εἶπεν αὐτῇ Διότι ἀπιστοῦσιν οὗτοι ὅτι μετὰ Ἀβραὰμ λελάληκα, ἄπελθε εἰς γῆν τῶν Χαναναίων καὶ ἄπελθε εἰς τὸ σπηλαῖον τὸ διπλοῦν εἰς τὸν ἀγρὸν Μαμβρῆ, ὅπου ἐστὶ τὸ σῶμα τοῦ Ἀβραάμ, καὶ φώνησον ἔξω τοῦ μνημείου λέγουσα Ἀβραὰμ Ἀβραάμ, οὗ τὸ σῶμα ἐν τῷ μνημείῳ, ἡ δὲ ψυχὴ ἐν τῷ παραδείσῳ, τάδε λέγει ὁ πλάσας τὸν ἄνθρωπον, ὁ ποιήσας σε ἀπ' ἀρχῆς φίλον ἑαυτοῦ, ἀνάστηθι σὺ καὶ ὁ υἱός σου Ἰσαὰκ καὶ ὁ υἱὸς τοῦ υἱοῦ σου

ἀναλαβὼν φωνὴν ἀνθρώπου εἶπεν Ὦ ἀνόητοι Ἰσραηλῖται, οὐκ ἀρκεῖ ἡ τύφλωσις ὑμῶν, ἀλλὰ καὶ ἑτέρους βούλεσθε ἀπολέσαι; οὗτός ἐστιν ὁ θεὸς ὁ λαλήσας μετὰ Ἀβραὰμ καὶ ἀγαπήσας Ἰσαάκ, ὁ ἐπιστρέψας τὸν Ἰακὼβ εἰς τὴν γῆν αὐτοῦ, καὶ μέλλει δοῦναι ἀγαθὰ τοῖς πιστεύουσιν αὐτῷ, τοῖς δὲ ἀπίστοις κόλασιν αἰώνιον. ταῦτα καὶ ἕτερα εἰπούσης τῆς ἐκτυπώσεως, εἴπομεν ἡμεῖς τοῖς | αὐτοὶ οἱ: Th. om οἱ

15. Καὶ ἡμ. εἴπαμεν: C εἴπομεν ἡμεῖς | Νῦν ἄξιόν ἐ. π. ὑμᾶς: B ὅτι ἄξιοί εἰσι πιστευθῆναι, ὅτι τὴν ἀλήθειαν εἴπαμεν ἡμεῖς (post haec verba deficit B usque dum sequitur καὶ διαβαστάσατε sect. 16. med.): D Τί ὑμῖν δοκεῖ; ἄξιόν ἐστι τοῦ πιστεῦσαι τῷ Ἰησοῦ.

C om καὶ ἄπελθε εἰς τὸ σπ. τὸ διπλ. | C εἰς ἀγρὸν Μαβρῆ | ἐστί: C κεῖται post Ἀβραάμ | C ἔξωθεν et om λέγουσα | ὁ ποιήσας -- ἑαυτοῦ: C ὁ κα-

Digitized by Google

Ἰακώβ, καὶ ἔλθετε εἰς τὰ ἱερὰ τῶν Ἰεβουσαίων ἵνα ἐλέγξωμεν τοὺς ἀρχιερεῖς, ὅπως γνῶσιν ὅτι ἐπίσταμαι σὲ καὶ σὺ ἐμέ. καὶ ὡς ἤκουσε τοὺς λόγους τούτους ἡ σφίγξ, εὐθὺς περιεπάτησεν ἔμπροσθεν πάντων ἡμῶν καὶ ἐπορεύθη εἰς τὴν γῆν τῶν Χαναναίων εἰς τὸν ἀγρὸν Μαμβρῆ, καὶ ἐφώνησεν ἔξω τοῦ μνημείου καθὼς ἐνετείλατο αὐτῇ ὁ θεός. καὶ εὐθὺς ἐξῆλθον οἱ δώδεκα πατριάρχαι ζῶντες ἐκ τοῦ μνημείου, καὶ ἀποκριθέντες εἶπον πρὸς αὐτήν Ἐπὶ τίνα ἡμῶν ἀπεστάλης; καὶ ἀποκριθεῖσα ἡ σφὶγξ εἶπεν Ἀπεστάλην πρὸς τοὺς τρεῖς πατριάρχας εἰς μαρτύριον· ὑμεῖς δὲ εἰσέλθετε καὶ ἀναπαύεσθε ἕως τοῦ καιροῦ τῆς ἀναστάσεως. καὶ ἀκούσαντες εἰσῆλθον ἐν τῷ μνημείῳ καὶ ἐκοιμήθησαν. καὶ ἐπορεύθησαν οἱ τρεῖς πατριάρχαι ἅμα τῇ σφιγγὶ πρὸς τὸν Ἰησοῦν καὶ ἤλεγξαν τοὺς ἀρχιερεῖς. καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Ἀπέλθετε εἰς τοὺς τόπους ὑμῶν· καὶ ἀπῆλθον. εἶπε δὲ καὶ πρὸς τὴν ἐκτύπωσιν Ἄνελθε εἰς τὸν τόπον σου· καὶ εὐθέως ἀνῆλθε καὶ ἔστη εἰς τὸν τόπον αὐτῆς. ἐποίησε δὲ καὶ ἄλλα πολλὰ σημεῖα, καὶ οὐκ ἐπίστευσαν αὐτῷ· ἅπερ ἐὰν διηγήσωμαι, οὐ δυνήσῃ ὑπενεγκεῖν. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ Δύναμαι ὑπενεγκεῖν· φρονίμως γὰρ ἀκούω λόγους χρηστούς.

[16] Ὅτε δὲ ἔμελλε τὸ πλοῖον ἐγγίζειν ἐπὶ τὴν γῆν, ὑπέκλινε τὴν κεφαλὴν ὁ Ἰησοῦς εἰς ἕνα τῶν ἀγγέλων αὐτοῦ καὶ ἡσύχασε. καὶ ἐπαύσατο λαλῶν ὁ Ἀνδρέας, καὶ αὐτὸς κλίνας τὴν κεφαλὴν αὐτοῦ εἰς ἕνα τῶν μαθητῶν ἀφύπνωσεν. εἶπε δὲ ὁ Ἰησοῦς τοῖς ἀγγέλοις αὐτοῦ Ὑποστρώσατε τὰς χεῖρας ὑμῶν καὶ διαβαστάσατε τὸν Ἀνδρέαν καὶ τοὺς μαθητὰς αὐτοῦ, καὶ πορευθέντες θέτε αὐτοὺς ἔξω τῆς πόλεως τῶν ἀνθρωποφάγων, καὶ θέντες αὐτοὺς

λίσας σε ἐξ ἀρχ. φίλ. αὐτοῦ | C καὶ ἔλθετε εἰς Ἰεβουσαίους καὶ ἐλέγξετε τοὺς ἱερεῖς, ὅπως γνῶσι τὴν δύναμίν μου. καὶ εὐθέως ὡς ἤκουσεν ἡ ἐκτύπωσις τοὺς λόγ. τούτους, περιεπάτησεν ἔμπροσθεν ἡμῶν κ. ἐπορ. εἰς -- Χαναναίων, καὶ ἐφώνησεν ὡς ἐκελεύσθη. καὶ εὐθέως ἐξῆλθον | μνημείου: C μνήματος | C om ἀποκριθεῖσα ἡ σφ., item om Ἀπεστάλην | ἀναπαύεσθε: C καθεύδετε. Ex D h. l. notavi: οἱ δὲ ἕτεροι ἀπέλθατε καὶ καθεύδετε μέχρι τῆς ἀναστάσεως | καὶ ἐπορεύθησαν -- Ἰησοῦν: C οἱ δὲ τρεῖς πατριάρχαι ἦλθον πρὸς τὸν Ἰησοῦν. Quae sequuntur: καὶ ἤλεγξαν usque ὑποστρώσατε τ. χεῖρ. ὑμῶν (sect. 16. med.) ex C petita sunt. Ex D notavi: καὶ ἡ ἐκτύπωσις ἀνῆλθεν εἰς τὸν τόπον αὐτῆς.

16. καὶ διαβαστάσατε: ab his rursus incipit B. | C κ. διαβαστάξατε Ἀνδρ. κ. τ. αὐτ. μαθητάς, ἀπελθόντες ἐν τῇ χώρᾳ τῶν ἀνδρ. ἐάσατε αὐτοὺς ἔξω τῆς πόλεως. καὶ ἐποίησαν οὕτως οἱ ἄγγελοι (codex ubique ἄνελοι etc.), καὶ ἀναγα-

Digitized by Google

ἐπὶ τῆς γῆς ὑποστρέψατε πρὸς μέ. καὶ ἐποίησαν οἱ ἄγγελοι καθὼς ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, καὶ ὑπέστρεψαν οἱ ἄγγελοι πρὸς τὸν Ἰησοῦν· καὶ ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς μετὰ τῶν ἀγγέλων αὐτοῦ.

17 Πρωΐας δὲ γενομένης διυπνισθεὶς ὁ Ἀνδρέας καὶ ἀναβλέψας εὗρεν ἑαυτὸν ἐπὶ τὴν γῆν καθεζόμενον, καὶ θεασάμενος εἶδε τοὺς μαθητὰς αὐτοῦ καθεύδοντας ἐπὶ τὴν γῆν, καὶ διύπνισεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς Ἀνάστητε, τεκνία μου, καὶ γνώσεσθε τὴν μεγάλην οἰκονομίαν τὴν γενομένην ἡμῖν, καὶ μάθετε ὅτι ὁ κύριος ἦν μεθ' ἡμῶν ἐν τῷ πλοίῳ καὶ οὐκ ἔγνωμεν αὐτόν· μετεμόρφωσεν γὰρ ἑαυτὸν ὥσπερ πρωρεὺς ἐν τῷ πλοίῳ καὶ ἐταπείνωσεν ἑαυτόν, καὶ ἐφάνη ἡμῖν ὡς ἄνθρωπος ἐκπειράζων ἡμᾶς. καὶ ὁ Ἀνδρέας ἐν ἑαυτῷ γενόμενος εἶπεν Ἐπέγνων σου κύριε τὴν καλὴν λαλιάν, ἀλλ' οὐκ ἐφανέρωσάς μοι ἑαυτόν, καὶ διὰ τοῦτο οὐκ ἐγνώρισά σε. καὶ ἀποκριθέντες οἱ μαθηταὶ αὐτοῦ εἶπον πρὸς αὐτόν Πάτερ Ἀνδρέα, μὴ νομίσῃς ὅτι ἔγνωμεν ἐν τῷ σε λαλεῖν ἐν τῷ πλοίῳ μετ' αὐτοῦ· ἠλκύσθημεν ὑπὸ ὕπνου βαρυτάτου, καὶ κατῆλθον ἐκ τῶν οὐρανῶν ἀετοὶ καὶ ἦραν τὰς ψυχὰς ἡμῶν καὶ ἀπήγαγον ἐν τῷ παραδείσῳ τῷ ἐν τῷ οὐρανῷ, καὶ εἴδομεν μεγάλα θαυμάσια. ἐθεασάμεθα γὰρ τὸν κύριον ἡμῶν Ἰησοῦν καθεζόμενον ἐπὶ θρόνου δόξης, καὶ πάντες οἱ ἄγγελοι κυκλοῦντες αὐτόν. ἐθεασάμεθα καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς ἁγίους, καὶ Δαυὶδ ᾖνεσεν ᾠδὴν ἐν τῇ κιθάρᾳ αὐτοῦ. καὶ ἐθεασάμεθα ἐκεῖ ὑμᾶς τοὺς δώδεκα ἀποστόλους παρεστηκότας ἐνώπιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἔξωθεν ὑμῶν ἀγγέλους δώδεκα κυκλοῦντας ὑμᾶς καὶ ἕκαστον ἄγγελον ὄπισθεν ἑκάστου

γόντες ἐπὶ τοῦ ἀέρος ἀπήγαγον ἔξω τῆς πύλης τῆς πόλεως, καὶ ἀποθέμενοι αὐτοὺς ἀπῆλθον πρὸς τὸν Ἰησοῦν.

17. Tota sectio ex B descripta est. | C Πρωΐας -- εὗρεν αὐτὸν ἐπὶ τὴν γῆν καὶ τοὺς μαθητὰς αὐτοῦ κοιμωμένους, καὶ εἶδε τὴν πύλην τῆς πόλεως ἐκείνης, καὶ διύπνισε τοὺς μαθητὰς αὐτοῦ λέγων Ἀνάστητε -- γνῶτε τὴν μ. οἰκ. γενομ. ἡμῖν, μάθετε ὅτι -- ἐν τῷ πλ. μεθ' ἡμῶν· μετεμόρφωσε γὰρ ὁ κύριος ἑαυτὸν καὶ ὡς ἄνθρωπος ἡμῖν διελέχθη. καὶ εἶπον οἱ μαθηταὶ πρὸς αὐτόν Ἡμεῖς ἐλκύσθημεν εἰς ὕπνον βαθύτατον, καὶ κατῆλθον ἀετοὶ καὶ ἦραν -- οὐρανῷ· καὶ εἴδομεν τὸν κύριον ἡμῶν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ οἱ ἅγιοι ἄγγ. κυκλοῦντες αὐτόν. καὶ εἴδομεν τὸν Ἀβρ., Ἰσαὰκ καὶ Ἰακ. καὶ π. τ. ἁγίους, καὶ Δαυὶδ (Thilo ex B et C affert Δαβίδ; suspicor δᾶδ in utroque inveniri) ᾄδοντα τὴν κιννύραν (ex D notavi ᾄδοντα ᾠδὴν κυρίου), καὶ τοὺς ἀποστόλους, κυκλοῦντες

Digitized by Google

ὑμῶν ἑστηκότα, καὶ ἦσαν ὅμοιοι ὑμῶν τῇ ἰδέᾳ. καὶ ἠκούσαμεν τοῦ κυρίου λέγοντος τοῖς ἀγγέλοις ὅτι ἀκούετε τῶν ἀποστόλων κατὰ πάντα ὅσα ἂν ἐρωτῶσιν ὑμᾶς. ταῦτά εἰσιν ἃ εἴδαμεν, πάτερ Ἀνδρέα, ἕως οὗ διύπνισας ἡμᾶς, καὶ ἦνεγκαν οἱ ἄγγελοι οἱ ὡς ἀετοὶ φαινόμενοι τὰς ψυχὰς ἡμῶν εἰς τὰ σώματα ἡμῶν.

18 Τότε Ἀνδρέας ἀκούσας ἐχάρη χαρὰν μεγάλην ὅτι κατηξιώθησαν οἱ μαθηταὶ αὐτοῦ τὰ θαυμάσια ταῦτα θεάσασθαι. καὶ ἀναβλέψας Ἀνδρέας εἰς τὸν οὐρανὸν εἶπεν Ἐμφάνηθί μοι, κύριε Ἰησοῦ Χριστέ· ἐγὼ γὰρ γινώσκω ὅτι οὐκ εἶ μακρὰν ἀπὸ τῶν σῶν δούλων. συγχώρησόν μοι, κύριε, ὃ ἐποίησα· ὡς γὰρ ἄνθρωπόν σε τεθέαμαι ἐν τῷ πλοίῳ καὶ ὡς ἀνθρώπῳ σοι ὡμίλησα. νῦν οὖν, κύριε, φανέρωσόν μοι σεαυτὸν ἐν τῷ τόπῳ τούτῳ.

Ταῦτα δὲ εἰπόντος τοῦ Ἀνδρέα παρεγένετο ὁ Ἰησοῦς πρὸς αὐτόν, γενόμενος ὅμοιος μικρῷ παιδίῳ ὡραιοτάτῳ. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν Χαῖρε, Ἀνδρέα ἡμέτερε. ὁ δὲ Ἀνδρέας θεασάμενος αὐτὸν προσεκύνησεν αὐτὸν λέγων Συγχώρησόν μοι, κύριε Ἰησοῦ Χριστέ· ὡς γὰρ ἄνθρωπόν σε εἶδον ἐν τῇ θαλάσσῃ καὶ ὡμίλησά σοι. τί οὖν ἐστὶν ὅ τι ἡμάρτηκα, κύριέ μου Ἰησοῦ, ὅτι οὐκ ἐφανέρωσάς μοι σεαυτὸν ἐν τῇ θαλάσσῃ; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε τῷ Ἀνδρέᾳ Οὐχ ἥμαρτες, ἀλλὰ ταῦτά σοι ἐποίησα ὅτι εἶπας Οὐ δυνήσομαι πορευθῆναι εἰς τὴν πόλιν τῶν ἀνθρωποφάγων ἐν τρισὶν ἡμέραις, καὶ ὑπέδειξά σοι ὅτι πάντα δυνατός εἰμι καὶ ἑκάστῳ φανῆναι καθὼς βούλομαι. νῦν οὖν ἀνάστα,

---

αὐτοὺς οἱ ἄγγελοι. (In textu edito scribendum videbatur ἑστηκότα pro ἑστηκότων.) καὶ ἠκούσαμεν τοῦ κυρίου εἰπόντος τ. ἀγγ. Ἀκούσατε τῶν ἀπ. κ. π. ἃ λέγουσιν ὑμῖν (Thilo ἡμῖν, item in textu ἡμᾶς. In seqq. εἴδαμεν edidi, Thilo οἴδαμεν.). καὶ ὡς ἡμᾶς ἐξύπνισας, ἤγαγον πάλιν οἱ ἄγγ. τὰς ψυχὰς ἡμῶν οἱ ὡς ἀετοὶ φαινόμενοι καὶ ἀπέθεντο εἰς τὰ σ. ἡμ.

18. C ἐχάρη σφόδρα ὅτι | τὰ θαυμάσια usque ὡμίλησα: C θεάσασθαι ταῦτα. ὁ δὲ Ἀνδρέας εἶπε πρὸς κύριον Συγχώρησόν μοι ὅτι ὡς ἀνθρώπῳ διελέχθην σοι | C om κύριε | ταῦτα δὲ -- ὡραιοτάτῳ (Thilo add ex B εὐειδεῖ): C καὶ ἰδοὺ παρεγένετο ὁ σωτὴρ πρὸς αὐτὸν ὡς μικρῷ παιδίῳ ὡραιοτάτῳ | κ. ἀποκριθεὶς -- Χαῖρε: C καὶ εἶπεν αὐτῷ Χαίροις | ὁ δὲ Ἀνδρέας etc: C ὁ δὲ πεσὼν ἐπὶ τὴν γῆν προσεκύνησε λέγων Συγχώρησόν μοι, κύριε, τὴν ἁμαρτίαν ταύτην ὅτι ὡς ἄνθρωπόν σε ἐν τῷ πλοίῳ διωμίλησα. ἥμαρτόν σοι, κύριε, ἐν τούτῳ, [ὅτι] οὐκ ἐφανέρωσάς μοι σαυτὸν ἐν τῇ θαλάσσῃ; καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς Οὐχ ἥμαρτες, ἀλλὰ -- διότι εἶπας Οὐ δύναμαι ἀπελθεῖν (item ex D notavi: ταῦτά σοι ἐποίησα διότι εἶπας Οὐ δύναμαι ἀπελθεῖν etc.) εἰς τὴν χώραν τῶν ἀνθρ. ἐν τρ. ἡμέραις. ἐν τούτῳ γνῶθι [ὅτι] καθὼς θέλω οὕτω δεικνύω ἐμαυτόν, καὶ [δύ-

Digitized by Google

εἴσελθε πρὸς Ματθείαν εἰς τὴν πόλιν καὶ ἐξάγαγε αὐτὸν ἐκ τῆς φυλακῆς καὶ πάντας τοὺς μετ' αὐτοῦ ὄντας ξένους. ἰδοὺ γὰρ ὑποδείκνυμί σοι, Ἀνδρέα, ἃ δεῖ σε παθεῖν πρὸ τοῦ ἐλθεῖν ἐν τῇ πόλει ταύτῃ. ἐνδείξονταί σοι βασάνους καὶ ὕβρεις, καὶ τὰς σάρκας σου ἐν ταῖς πλατείαις καὶ ῥύμαις διασκορπιοῦσι, καὶ τὸ αἷμά σου ῥεύσει ἐπὶ τὴν γῆν, θάνατον δὲ οὐ δύνανταί σοι παρασχεῖν· ἀλλ' ὑπόμεινον, καθὼς ἐμὲ οἶδας τυπτόμενον ὑβριζόμενον καὶ σταυρούμενον· εἰσὶν γὰρ μέλλοντες πιστεύειν ἐν τῇ πόλει ταύτῃ. καὶ ταῦτα εἰπὼν ὁ σωτὴρ ἐπορεύετο εἰς τοὺς οὐρανούς.

[19] Ἀνδρέας δὲ εἰσῆλθεν ἐν τῇ πόλει μετὰ τῶν αὐτοῦ μαθητῶν, καὶ οὐδεὶς αὐτὸν ἐθεάσατο. καὶ ὡς ἀπῆλθεν ἐν τῇ φυλακῇ, εἶδε φύλακας ἑστῶτας ἑπτὰ ἐπὶ τὴν θύραν φυλάσσοντας, καὶ ηὔξατο ἐν ἑαυτῷ καὶ πεσόντες ἐξέψυξαν, καὶ περιεχάραξε τῷ σημείῳ τοῦ σταυροῦ τὴν θύραν καὶ αὐτομάτως ἠνεῴχθη. καὶ εἰσελθὼν μετὰ τῶν μαθητῶν αὐτοῦ εὗρε Ματθείαν καθήμενον καὶ ψάλλοντα, καὶ ἰδὼν αὐτὸν ἀνέστη, καὶ ἠσπάσαντο ἀλλήλους ἐν φιλήματι ἁγίῳ, καὶ εἶπε πρὸς Ματθείαν Ἀδελφέ, πῶς εὑρέθης ἐνταῦθα; ἔτι γὰρ τρεῖς ἡμέραι, ἐξάξουσίν σε τοῦ γενέσθαι βρῶμα αὐτοῖς. ποῦ εἰσὶν τὰ μεγάλα μυστήρια ἃ ἐδιδάχθης καὶ τὰ θαυμάσια ἃ ἐπιστεύθημεν; καὶ εἶπεν αὐτῷ Ματθείας Οὐκ ἤκουσας τοῦ κυρίου λέγοντος Ἐγὼ ἀποστελῶ ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων; εὐθέως εἰσήγαγόν με ἐν τῇ φυλακῇ, καὶ ηὐξάμην πρὸς κύριον, καὶ εἴρηκέν μοι Ὑπόμεινον ἐνταῦθα εἰκοσιεπτὰ ἡμέρας καὶ ἐξαποστελῶ σοι Ἀνδρέαν καὶ ἐξάξει σε ἐκ τῆς φυλακῆς. καὶ νῦν ἰδοὺ καθὼς εἶπεν ὁ κύριος γέγονεν.

[20] Τότε θεασάμενος ὁ Ἀνδρέας εἶδε τρεῖς ἄνδρας κατακλεί-

ναμαι] ἑκάστῳ φανῆναι ὡς βούλομαι. νῦν οὖν εἴσελθε ἐν τῇ πόλει καὶ ἐξάγαγε Ματθαῖον ἐκ τ. φ. καὶ π. τ. μετ' αὐτοῦ ξένους. Post haec verba rursus deficit B: hinc quae sequuntur usque ἐξαλεῖψαι τὸν ἄνθρωπον sect. 20., ex uno C petere licebat.

καθώς: codex praem ὡς. Thiloni sic scribendum videbatur: ὣς καθὼς ἐμὲ εἶδες

19. πεσόντες ἐξέψυξαν: ex D notavi ἔπεσον ἐπὶ τὴν γῆν καὶ ἐξέψυξαν. Exinde ibidem Andreas dicitur εἰς τὸ προαύλιον ivisse, ubi accidit quod in textu refertur: περιεχάραξε etc.

Ματθείαν constantiae caussa reposuimus ubi codex C ut solet Ματθαῖον habet.

ἠσπάσαντο ἀλλήλους: codex ἠσπ. ἀλλήλοις

Digitized by Google

στους ἐσθίοντας χόρτον γυμνούς, καὶ τύψας τὸ στῆθος ἔφη Πρόσχες κύριε, τί παθαίνουσιν οἱ ἄνθρωποι, πῶς ὡμοίωσαν αὐτοὺς τοῖς ἀνοήτοις κτήνεσιν; καὶ λέγει πρὸς τὸν σατανᾶν Οὐαί σοι τῷ διαβόλῳ τῷ ἐχθρῷ τοῦ θεοῦ καὶ τοῖς ἀγγέλοις σου, ὅτι οὐδέν σοι παρέσχον οἱ ἐνταῦθα ξένοι, καὶ πῶς ἐπήγαγες αὐτοῖς τὴν τιμωρίαν ταύτην; ἕως πότε πολεμεῖς μετὰ τοῦ γένους τῶν ἀνθρώπων; σὺ ἐξήγαγες τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου καὶ ἐποίησας μιγῆναι τοὺς ἀνθρώπους ἐν παραβάσει, καὶ ὠργίσθη κύριος καὶ ἐπήγαγε τὸν κατακλυσμὸν ὥστε ἐξαλεῖψαι τὸν ἄνθρωπον. καὶ πάλιν παρεγένου καὶ ἐν τῇ πόλει ταύτῃ ἵνα καὶ τοὺς ἐνταῦθα ποιήσῃς κατεσθίειν ἀνθρώπους, ἵνα γένηται καὶ τούτων τὸ τέλος εἰς κατάραν καὶ ἀπώλειαν, νομίζων ἐν σεαυτῷ ὅτι ὁ θεὸς ἐξαλείψει τὸ πλάσμα αὐτοῦ. ἢ οὐκ ἤκουσας ὅτι εἶπεν ὁ θεὸς ὅτι οὐ μὴ ἐπάξω κατακλυσμὸν ἐπὶ τῆς γῆς; ἀλλὰ εἴ τί ἐστιν ἑτοιμαζόμενον κολάσεως, ἕνεκεν τῆς σῆς τιμωρίας γίνεται.

21 Τότε ἀναστὰς Ἀνδρέας καὶ Ματθείας ἠύξαντο, καὶ μετὰ τὴν εὐχὴν ἐπέθηκεν Ἀνδρέας τὰς χεῖρας ἐπὶ τὰ πρόσωπα τῶν τυφλῶν ἀνδρῶν τῶν ὄντων ἐν τῇ φυλακῇ, καὶ εὐθέως πάντες ἀνέβλεψαν· καὶ πάλιν ἐπέθηκεν τὴν χεῖρα αὐτοῦ ἐπὶ τὰς καρδίας αὐτῶν, καὶ μετεβλήθη ὁ νοῦς αὐτῶν εἰς ἀνθρωπίνην αἴσθησιν. τότε ἀπεκρίθη αὐτοῖς Ἀνδρέας Ἀναστάντες πορεύεσθε εἰς τὰ κατώτερα μέρη τῆς πόλεως, καὶ εὑρήσετε ἐν τῇ ὁδῷ συκῆν με-

---

20. τ. ἀγγ. σου: codex τ. ἀγγ. αὐτοῦ | τοὺς ἀνθρώπους ἐν -- τὸν ἄνθρωπον: his fere respondent ea quibus rursus B incipit: τοὺς υἱοὺς αὐτῶν τοὺς γιγάντας κατελθεῖν ἀνθρώπους ἐπὶ τῆς γῆς. ἕως οὗ ὠργίσθη κύριος ἐπ' αὐτοὺς καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς τὸν κατακλυσμόν, ἵνα ἐξαλείψῃ πᾶν τὸ ἀνάστημά ὃ ἐποίησε κύριος ἐπὶ τῆς γῆς, καὶ οὐκ ἐξήλειψεν αὐτοῦ Νῶε.

καὶ πάλιν etc. ex B sunt (ἐξαλείψει: codex -λείφει ... ὅτι εἶπεν: Thilo ὅ,τι εἶπεν): C καὶ πάλιν -- ταύτῃ ἵνα ποιήσῃς ἐσθίειν ὁμοίους ἀνθρώπους. ἢ οὐκ ἤκουσας ὅτι εἶπεν ὁ θεός Οὐ μὴ ἐξάξω ἔτι κατακλυσμὸν ἐπὶ γῆς; ἀλλ' εἴ τί ἐστιν ἑτοιμαζόμενον, ἕνεκα τῆς σῆς τιμωρίας. Praeterea inde ab ἕνεκεν rursus incipiunt vetustissimae reliquiae A, quas quemadmodum descripsi sequimur.

21. ηὔξαντο: C προσηύξ. | C om μετὰ τ. εὐχ. | -έπεθ. Ἀνδρ. τ. χ.: B ἐπ. τ. χ. ὁ Ἀνδρ.: C προσέθηκ. ὁ Ἀνδρ. τ. χ. | C ἐπὶ τοὺς ὀφθαλμοὺς τῶν τυφλ. ἀνθρώπων, καὶ πάντες (B om) ἀνέβλεψαν: item D ἐπὶ τοὺς ὀφθ. τ. τυ. ἀνθρώπ. οἵτινες ἦσαν ἐν τῇ φυλακῇ, καὶ ἀνέβλεψ. ἅπαντες | C om κ. πάλιν ἐπ. τ. χ. αὐτοῦ (B αὐτ. τ. χ.) ἐπὶ (B add τὰ πρόσωπα τῶν τυφλῶν καὶ ἐπὶ) τὰς καρδ. αὐτῶν | ὁ νοῦς αὐτ. (B α. ὁ ν.) ε. ἀ. αἴσθ.: C ἡ καρδία αὐτῶν εἰς νοῦν ἀνθρώπων καὶ αἴσθησιν | B καὶ ἀποκριθεὶς Ἀνδρ. εἶπεν αὐτοῖς: C καὶ εἶπεν αὐτοῖς | Ἀναστ. (B add οὖν) πορ. (C Ἀνάστητε καὶ πορεύθητε) εἰς -- καθίσατε ὑπὸ τ.

Digitized by Google

γάλην, καὶ καθίσατε ὑπὸ τὴν συκῆν καὶ ἐσθίετε ἀπὸ τοῦ καρποῦ αὐτῆς ἕως ἂν ἔλθω πρὸς ὑμᾶς· ἐὰν δὲ βραδύνω τοῦ ἐλθεῖν ἐκεῖ, εὑρήσετε τὸ αὔταρκες τῆς τροφῆς ὑμῶν· οὐ μὴ γὰρ ἐκλείψει ὁ καρπὸς ἀπὸ τῆς συκῆς, ἀλλ' ὅσον ὑμεῖς ἐσθίετε, πλείονα καρπὸν ἐνέγκῃ καὶ διαθρέψῃ ὑμᾶς, καθὼς εἶπεν ὁ κύριος. καὶ ἀποκριθέντες εἶπαν τῷ Ἀνδρέᾳ Ἐλθὲ ἅμα ἡμῖν, κύριε ἡμῶν, μή ποτε πάλιν θεασάμενοι ἡμᾶς οἱ τῆς πόλεως ταύτης ἄνομοι ἄνδρες κατακλείσουσιν ἡμᾶς καὶ ἐνδείξονται ἡμῖν βασάνους δεινοτέρας καὶ πλείους ὧν ἐπεδείξαντο ἡμῖν. καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν πρὸς αὐτούς Πορεύεσθε· ἐπ' ἀληθείας γὰρ λέγω ὑμῖν ὅτι πορευομένων ὑμῶν οὐ μὴ ὑλάξει κύων ἐν τῇ γλώττῃ αὐτοῦ ἐφ' ὑμᾶς. ἦσαν δὲ οἱ πάντες ἄνδρες διακόσιοι ἑβδομήκοντα καὶ γυναῖκες τεσσαράκοντα ἐννέα οὓς ἀπέλυσεν Ἀνδρέας ἐκ τῆς φυλακῆς. καὶ ἐπορεύθησαν οἱ ἄνδρες καθὼς εἶπεν αὐτοῖς ὁ μακάριος Ἀνδρέας· Ματθείαν δὲ ἐποίησεν πορευθῆναι σὺν τοῖς μαθηταῖς αὐτοῦ ἐξ ἀφηλιώτου τῆς πόλεως. καὶ ἐπέταξεν Ἀνδρέας νεφέλῃ, καὶ ἦρεν ἡ νεφέλη Ματθείαν καὶ τοὺς μαθητὰς Ἀνδρέου, καὶ ἀπέθετο αὐτοὺς ἡ νεφέλη ἐν τῷ ὄρει ὅπου ἦν ὁ Πέτρος διδάσκων, καὶ ἔμειναν πρὸς αὐτόν.

22 Ἀνδρέας δὲ ἐξελθὼν ἀπὸ τῆς φυλακῆς περιεπάτει ἐπὶ

συκ. (C ὑπ' αὐτήν) -- ἕως ἂν (C οὗ) ἔ. πρ. ὑμ. | A om ἐὰν δὲ βραδύνω τ. ἐλθ. (C om τ. ἐλθ.) ἐκ. -- ἐκλείψει (B λείψῃ) ὁ (B om) κ. ἀπὸ τ. σ. (C ἀπ' αὐτῆς) -- ἐνέγκῃ καὶ διαθρ. ὑμ. (C om κ. δ. ὑμ.) | καθὼς εἶπ. ὁ κύρ. (B ὁ κύρ. διέταξε): C om | κ. ἀποκρ. (C om, B add οἱ ἄνδρες) εἶπαν (BC -πον) τῷ Ἀνδρ. (C αὐτῷ ἐκεῖνοι) | C Ἐλθὲ μεθ' ἡμῶν (item B μ ἡμ.), κύριε, μή ποτε | C om ταύτης | C ἄνομοι ἄνθρωποι | C καὶ ἐνδείξονται πλειοτέρας βασάνους (B κ. ἐνδ. βασάνους δεινὰς πλείονας ὧν ἐνεδείξαντο ἡμῖν.). καὶ εἶπεν αὐτοῖς ὁ ἀπόστολος | Πορεύεσθε· ἐπ' ἀλ. γάρ: B ἀμήν | πορευομένων ὑμῶν (C πορευόμενοι) οὐ μὴ ὑλάξει (C λάξῃ) κ. ἐν (BC om) τ. γλώττῃ (B -σσῃ) α. ἐφ' ὑμ. (B om ἐ. ὑ. et add νῦν οὖν πορεύεσθε) | ἦσαν δὲ -- οὓς ἀπέλυσεν (in codice est ἀπέλοισεν, non ἀπελθεῖν) -- ὁ μακ. Ἀνδρέας (C ἦσαν γὰρ ἄνδρες διακόσιοι τεσσαράκοντα ἐννέα, καὶ ἀπῆλθον. Eundem numerum qui in C est ex D exscriptum habeo.). Ματθ. δὲ ἐπ. πορ. σὺν τ. μ. (C μετὰ τῶν μαθητῶν) αὐτ. ἐξ ἀφηλιώτου (nec fere aliter in A videtur scriptum esse; legi quidem adhuc potest εξ -- ληστου) τ. πόλεως: haec omnia B om | ἐπέτ. Ἀνδρ. νεφέλῃ (B -λην) κ. ἦρεν ἡ νεφ.: C ἔταξεν Ἀνδρ. καὶ ἦρε νεφέλη | C τὸν Ματθαῖον σὺν τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἀπήγαγεν ἐν (etiam B om ἡ νεφέλη ante ἐν) τῷ ὄρει | ὅπου ἦν ὁ (BC om) Πέ. διδάσκ. (C καθεζόμενος): ex D notavi ἔνθα ἦν Πέτρος προσευχόμενος | B om κ. ἔμειν. πρ. αὐτόν

22. Ἀνδρ. δὲ (C Ὁ δὲ Ἀνδρ.) ἐξελθ. (B Καὶ ἐξῆλθεν Ἀνδρ.) ἀπὸ (BC ἐκ)

τῆς πόλεως, καὶ θεασάμενος στῦλον χαλκοῦν καὶ ἀνδριάντα ἐπάνω ἑστηκότα, καὶ ἐλθὼν ἐκαθέσθη ὀπίσω τοῦ στύλου ἐκείνου ἕως ἂν ἴδῃ τί ἔσται τὸ γενόμενον. καὶ ἐγένετο πορευθῆναι τοὺς δημίους εἰς τὴν φυλακὴν ἵνα ἐκβάλωσιν ἀνθρώπους εἰς βρῶσιν αὐτῶν κατὰ τὴν συνήθειαν, καὶ ἠῦραν τὰς θύρας τῆς φυλακῆς ἀνεῳγμένας καὶ τοὺς φύλακας τοὺς φυλάσσοντας νεκροὺς κειμένους ἐπὶ τὴν γῆν. καὶ εὐθέως ἐπορεύθησαν καὶ ἀπήγγειλαν τοῖς ἄρχουσιν τῆς πόλεως λέγοντες ὅτι τὸ δεσμωτήριον ηὕρομεν ἠνεῳγμένον, καὶ εἰσελθόντες ἔσω οὐδένα ηὕραμεν, ἀλλὰ τοὺς φύλακας ηὕραμεν νεκροὺς κειμένους ἐπὶ τῆς γῆς. καὶ ἀκούσαντες ταῦτα οἱ ἄρχοντες ἔλεγον ἐν ἑαυτοῖς Τί ἄρα ἐστὶ τὸ γενόμενον; μή τινες εἰσῆλθαν εἰς τὴν φυλακὴν τῆς πόλεως καὶ τοὺς φύλακας ἀπέκτειναν, ἦραν δὲ καὶ τοὺς κατακλείστους; καὶ ἐλάλησαν τοῖς δημίοις λέγοντες Ἀπελθόντες εἰς τὴν φυλακὴν ἐνέγκατε τοὺς ἄνδρας τοὺς τελευτήσαντας, ἵνα κἂν αὐτοὺς καταφάγωμεν ἐν τῇ σήμερον. καὶ ἀνέλθωμεν ἐπὶ τὴν αὔριον καὶ ἐπισυνάξωμεν πάντας τοὺς γηραιοὺς τῆς πόλεως ὅπως βάλωσιν κλήρους εἰς ἑαυτοὺς ἕως ἂν ἔλθωσιν οἱ κληροὶ ἑπτά, καὶ ἑπτὰ καθ' ἑκάστην ἡμέραν σφαγιάσωμεν· καὶ ἔσονται ἡμῖν εἰς διατροφὰς ἕως ἂν

τ. φ. (B add καὶ) περ. ἐπὶ τ. π. (C ἐν τῇ πόλει) κ. ϑεασάμ. (C ἐϑεάσατο ἐπί τινα, B ἦλϑεν ἐπί τινα) στῦλ. (B τόπον) χ. (B ἐν ᾧ ἦν στήκων κίων) καὶ (C om, B κ. ἐπὶ τὸν κίονα) ἀνδρ. ἐπ. ἑστ. (BC om ἐπ. ἑστ.), κ. ἐλϑὼν (C om) ἐκαϑ. ὀπίσω (BC ἐγγὺς) τ. στ. ἐκείνου (C ἐγγ. αὐτοῦ) ἕως ἂν (C om) ἴδῃ (B ἀφίδῃ, codex ἀφείδη) τί ἔσται (BC om τ. ἐ.) τὸ γεν. | πορευϑῆναι: B ἐν τῷ εἰσελϑεῖν, C ἐν τῷ πορεύεσϑαι | C ἐν τῇ φυλακῇ | ἵνα ἐκβάλωσιν (A -άλουσιν): B ἵνα ἐξενέγκωσιν, C τοῦ ἐξενέγκαι | B om εἰς βρ. αὐτῶν (C αὐτοῖς) | C om κατὰ τὴν (A add μακαρίαν, quod sine dubio vitiosum est) συνήϑειαν | C εὗρον τὰς πύλας ἀνεῳγμ. | καὶ τ. φύλακ. τ. φυλάσσ. (C om τ. φυλάσσ.) ν. κ. ἐπὶ τὴν γῆν (C ἐ. τῆς γῆς). κ. εὐϑ. ἐπορ. καὶ (C καὶ πορευϑέντες) ἀπήγγ. -- λέγοντες (C om): B καὶ εἰσελϑόντες ἔσω οὐδένα ηὗρον. καὶ ἀπελϑόντες ἀνήγγειλαν τοῖς ἄρχουσι λέγοντες | A om τό | C εὕρομεν | BC ἀνεῳγμένον | καὶ εἰσελϑ. -- ηὕραμεν (B -ρομεν) ἀλλὰ -- ἐπὶ τ. γῆς (B om ἀλλὰ -- γῆς): C καὶ οὐδένα ἐντὸς εὕρομεν εἰ μὴ τοὺς φύλακας νεκροὺς κειμένους ἐπὶ γῆς | ἔλεγον (C εἶπον) ἐ. ἑαυτ.: B εἶπαν | Τί ἄρα -- γενόμενον (C γεγονός): B Οὐαὶ ἡμῖν· ἄρα τί ἐ. τὸ γεγονός | μή τινες εἰσῆλϑαν -- κατακλείστους: C μὴ εἰσῆλϑόν τινες ἐν τῇ φυλακῇ καὶ ἦραν τοὺς κατακλ.: B τίνες τοὺς φύλακας ἀπέκτ., ἦραν δὲ τοὺς κατακλ. | καὶ ἐλάλησαν -- λέγοντες: BC κ. εἶπαν (C -πον) πρὸς τοὺς δημίους (C τοῖς δημίοις) | C Ἀπέλϑατε καὶ ἐνέγκατε τοὺς ἑπτὰ ἄνδρας ἵνα αὐτοὺς φάγωμεν ἐν τῇ σήμ. ἡμ., B Φέρετε τοὺς φύλακας ἵνα κἂν αὐτοὺς καταφάγωμεν ἐν τ. σ. ἡμ. | καὶ ἀνέλϑ. -- καὶ (codex om) ἐπισυνάξ. π. τ. γηραιοὺς (codex γέρουσιν) τῆς πόλ. -- ἀγάγωσιν (ωι BC; A ἄγουσιν) ἐντ. ἵνα ἔσονται ἡμῖν εἰς διατροφάς:

Digitized by Google

ἐκλεξώμεθα νεανίσκους καὶ ὁρίσωμεν αὐτοὺς ἐν πλοίοις ὡς ναυτικούς, καὶ ἀπελθόντες εἰς τὰς κύκλῳ χώρας καὶ ἐμβαλλόμενοί τινας ἀγάγωσιν ἐνταῦθα ἵνα ἔσονται ἡμῖν εἰς διατροφάς.

Καὶ ἀπελθόντες οἱ δήμιοι εἰς τὴν φυλακὴν ἤνεγκαν τοὺς ἑπτὰ ἄνδρας τοὺς τελευτήσαντας, καὶ ἦν κλίβανος ᾠκοδομημένος ἐν μέσῳ τῆς πόλεως, καὶ προσέκειτο ἐν τῷ κλιβάνῳ ληνὸς μεγάλη ἐν ᾗ τοὺς ἀνθρώπους ἐσφαγίαζον, καὶ διέτρεχεν αὐτῶν τὸ αἷμα ἐπὶ τὴν ληνόν, καὶ ἤντλουν ἐκ τοῦ αἵματος καὶ ἔπινον. καὶ ἤνεγκαν τοὺς ἀνθρώπους καὶ ἔθηκαν ἐπὶ τὴν ληνόν. καὶ ἐν τῷ ἐπᾶραι τοὺς δημίους τὰς χεῖρας αὐτῶν ἐπ' αὐτούς, ἤκουσεν φωνῆς Ἀνδρέας λεγούσης Θέασαι, Ἀνδρέα, τὸ γινόμενον ἐν τῇ πόλει ταύτῃ. καὶ θεασάμενος Ἀνδρέας ηὔξατο πρὸς κύριον λέγων Κύριε Ἰησοῦ Χριστέ, ὁ κελεύσας τοῦ εἰσελθεῖν με εἰς τὴν πόλιν ταύτην, μὴ ποιήσῃς τι κακὸν διαπράξασθαι τοὺς ἐν τῇ πόλει ταύτῃ, ἀλλ' ἐξελθάτωσαν αἱ μάχαιραι ἐκ τῶν χειρῶν τῶν ἀνόμων. καὶ εὐθὺς ἔπεσαν αἱ μάχαιραι τῶν ἀνόμων, καὶ ἀπελι-

---

C καὶ αὔριον βάλωμεν (codex βάλομεν) κλήρους καὶ ἐπισυνάξομεν τοὺς γηραιοὺς καὶ σφάξομεν αὐτοὺς εἰς διατροφήν, ἕως ἂν ἐκλεξόμεθα νεανίσκους ὡς ναυτικοὺς καὶ ἀπέλθωσιν ἐν πλοίοις εἰς τὰς κύκλῳ περιχώρους καὶ ἀγάγωσιν ἡμῖν εἰς διατροφήν: B (sed ad finem huius sectionis transfert post alterum ἐν τῇ σήμ. ἡμέρᾳ) καὶ ἐπὶ τὴν αὔριον ἐλθόντες ἐπισυνάξωμεν πάντας τοὺς νεωτέρους καὶ ἐμβάλωμεν αὐτοὺς εἰς πλοῖα ὡς ναυτικούς, καὶ ἀπελθόντες εἰς τὰς κύκλῳ χώρας καὶ ἐμβαλλόμενοί τινας ἀγάγωσιν ἵνα ἔσονται ἡμῖν εἰς διατροφάς.

Καὶ ἀπελθ. -- εἰς τ. φυλ. (C om ἐ. τ. φ.) ἤνεγκαν -- τελευτήσαντας (C τεθνηκότας) -- κλίβανος ᾠκοδ. ἐν (codex ἐμ) μέσῳ (C κλίβανον ἕτοιμον) τ. πόλ. (C om τ. π.) -- ἐν (C om) -- λην. μεγάλη ἐν ᾗ (C λην. ἔνθα) -- ἐσφαγίαζον (C ἔσφαζον) -- αὐτ. τὸ αἷμα (C τ. αἱ. α.) ἐπὶ τὴν (C τοῦ) ληνόν (C -νοῦ) -- καὶ ἤνεγκαν -- ἐπὶ τ. ληνόν (C om καὶ ἤν. usque ληνόν): B pro his nil nisi καὶ ἀπελθόντες οἱ ὑπηρέται ἤνεγκαν αὐτοὺς ἐπὶ τὴν ληνόν, καὶ ἔθηκαν αὐτοὺς τοῦ κατακόψαι αὐτούς. | καὶ ἐν τῷ ἐπᾶραι -- ἐπ' αὐτούς (C ὡς δὲ ἔθηκαν ἐκεῖσε τοὺς ἑπτὰ ἄνδρας), ἤκουσεν φων. Ἀνδρ. λεγ. (C ὁ ἀπόστολος φων. λεγ.) -- γινόμενον (C γεν.) -- ταύτῃ: B ἤκουσε δὲ φωνῆς ὁ Ἀνδρ. λεγούσης αὐτῷ Πρόσχες, Ἀνδρέα, καὶ θέασαι τί γίνεται ἐν τ. π. ταύτῃ | καὶ θεασάμενος Ἀνδρ. -- ὁ κελεύσας (ὁ κελεύσας de coniectura posui, spatium fere convenit, sed quid ibi scriptum fuerit assequi non potui) τοῦ εἰσελθεῖν -- μὴ ποιήσῃς (neque haec μ. π. ex antiquissima membrana erui, sed ad scripturam codicis B coniicere licebat) τι κακὸν -- χειρῶν τ. ἀνόμων: B καὶ θεασάμενος ὁ Ἀνδρ. ἐδάκρυσε, καὶ κλαίων ἀνέβλεψεν εἰς τὸν οὐρανὸν καὶ εἶπε Κύριέ μου Ἰ. Χρ., ἐφ' ᾗν εἰσῆλθον ἐν τῇ π. τ., μὴ ποιήσῃς τι κακ. αὐτοὺς διαπράξασθαι: C καὶ ὡς εἶδε ταῦτα, προσηύξατο τοῦ ἐξελθεῖν αἱ μάχαιραι ἐκ τῶν χειρῶν τ. ἀνόμων | καὶ εὐθὺς ἔπεσαν -- ἐπειδὴ ἐσμεν πρόσπεινοι: B καὶ εὐχομένου τοῦ Ἀνδρέου εὐθέως παρελύθησαν αἱ χεῖρες

Digitized by Google

θώθησαν αἱ χεῖρες αὐτῶν. καὶ θεασάμενοι οἱ ἄρχοντες τὸ γεγονὸς ἔκλαυσαν λέγοντες Οὐαὶ ἡμῖν, ὅτι ἐνταῦθα μάγοι εἰσὶν οἱ καὶ ἀπελθόντες ἐν τῇ φυλακῇ καὶ ἐξαγαγόντες τοὺς ἄνδρας· ἰδοὺ γὰρ καὶ τούτους ἐμάγευσαν. τί οὖν ποιήσωμεν; ἀπελθόντες νῦν ἐπισυνάξωμεν τοὺς γηραιοὺς τῆς πόλεως, ἐπειδή ἐσμεν πρόσπεινοι.

[23] Καὶ ἀπελθόντες συνήγαγον καὶ εὗρον διακοσίους δεκαεπτά, καὶ ἤγαγον αὐτοὺς ἐπὶ τοὺς ἄρχοντας, καὶ ἐποίησαν αὐτοὺς βάλλειν κλήρους, καὶ ἦλθεν ὁ κλῆρος ἐπὶ ἑπτὰ γηραιούς. καὶ ἀποκριθεὶς εἷς τῶν κληρωθέντων ἔλεγεν τοῖς ὑπηρέταις Δέομαι ὑμῶν, ἔχω ἐμαυτῷ υἱὸν ἕνα, λάβετε αὐτὸν καὶ σφάξατε ἀντὶ ἐμοῦ, καὶ ἐμὲ καταλείπατε. καὶ ἀποκριθέντες οἱ ὑπηρέται εἶπαν αὐτῷ Οὐ δυνησόμεθα λαβεῖν τὸν υἱόν σου ἐὰν μὴ πρῶτον ἀνενέγκωμεν τοῖς μείζοσιν ἡμῶν. καὶ ἀπελθόντες οἱ ὑπηρέται εἶπαν τοῖς ἄρχουσιν. καὶ ἀποκριθέντες οἱ ἄρχοντες εἶπαν τοῖς ὑπηρέταις ὅτι ἐὰν δώῃ ὑμῖν τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, ἐάσατε αὐτὸν ὑπάγειν. καὶ ἐλθόντες οἱ ὑπηρέται εἶπαν τῷ γηραιῷ. καὶ ἀποκριθεὶς ὁ γηραιὸς εἶπεν αὐτοῖς Ἔχω καὶ θυγατέρα σὺν τῷ υἱῷ

τῶν δημίων καὶ αἱ μάχ. ἐξέπεσαν ἐκ τ. χειρῶν αὐτῶν. καὶ θεασάμενος ὁ Ἀνδρέας ἐδόξασε τὸν Θεόν. τότε ἰδόντες οἱ ἄρχοντες ἔκλαυσαν λέγοντες Οὐαὶ ἡμῖν, τί ποιήσωμεν; ἀπελθόντες οὖν συλλέξατε τοὺς γηραιοὺς τῆς πόλεως ἵνα κἂν αὐτοὺς καταφάγωμεν ἐν τῇ σήμερον ἡμέρᾳ. (Iam sequuntur in B illa καὶ ἐπὶ τὴν αὔριον usque εἰς διατροφάς. Vide supra.) C brevissime: καὶ ἐγένετο οὕτως. καὶ θεασάμενοι οἱ ἄρχοντες τὸ γεγονὸς ἔκλαυσαν λέγοντες Οὐαὶ ἡμῖν, ὅτι ἐνταῦθα μάγοι εἰσίν, οἳ καὶ ἀπελθόντες ἐν τῇ φυλακῇ ἐξήγαγον τοὺς ἄνδρας· ἰδοὺ γὰρ -- ποιήσωμεν.

23. Καὶ ἀπελθόντες συνήγ. κ. εὗρ. (C om κ. εὗρ.) -- ἤγαγον αὐτοὺς (C om) ἐπὶ -- καὶ ἐποίησ. αὐτ. β. κλήρους (C καὶ ἔβαλον κλήρους), καὶ ἦλθ. ὁ κλ. (C ὁ κλ. ἦλθ.)· ἑ. ἐ. γηραιούς: B Καὶ ἀπελθόντες οἱ δήμιοι ἐπισυνῆξαν τοὺς γέροντας πάντας ἐπὶ τοὺς ἄρχοντας καὶ -- βαλεῖν κλ., καὶ ὁ -- γηραιούς, ὥστε γενέσθαι κατάβρωμα τοῖς ἐν τῇ πόλει. | εἷς τ. κληρωθ. ἔλεγεν (B εἶπε): C εἷς ἐξ αὐτῶν ἔφη | BC om τοῖς ὑπηρέτ. | ἐμαυτῷ: BC om | BC υἱ. ἕνα (B ἕ. υἱ.) μικρόν | λάβετε usque καταλείπατε: C λαβόντες σφάξατε ἀντὶ ἐμοῦ, B λαβόντες αὐτὸν σφάξατε ἀντὶ ἐμοῦ καὶ ἐμὲ ἐάσατε | καὶ ἀποκρ. οἱ ὑπ. εἶπ. αὐτῷ (B εἶπ. α. οἱ ὑπ.): C καὶ εἶπον | C Οὐ δυνάμεθα τὸν υἱόν σου λαβ. | ἐὰν (B εἰ) μὴ -- ἡμῶν: C εἰ μὴ ἀναγγείλωμεν τοῦτο | εἶπαν τ. ἄρχουσιν: B εἶπ. αὐτοῖς, C ἀπήγγειλαν τ. ἄρχ. αὐτῶν | οἱ ἄρχ. εἶπ. τ. ὑπηρέταις (B τ. δημίοις): C εἶπον | B δῷ, C δίδῃ | ἀντ' αὐτοῦ ex B addidi: AC om | καὶ ἐλθ. (C ἐλθ. δὲ) οἱ ὑπηρ. εἶπαν (C -πον) τῷ γηραιῷ (αὐτῷ): B καὶ εἶπαν ταῦτα οἱ δήμιοι τῷ γηραιῷ | καὶ ἀποκριθεὶς -- αὐτοῖς: C καὶ εἶπεν | A θυγατέραν | BC om μου |

Digitized by Google

μου· λαβόντες αὐτοὺς σφάξατε, μόνον ἐμὲ ἐάσατε. καὶ παρέδωκεν αὐτοῦ τὰ παιδία τοῖς ὑπηρέταις ἵνα σφάξωσιν αὐτά. ἔκλαιον δὲ τὰ παιδία πρὸς ἄλληλα, καὶ ἐδέοντο τῶν ὑπηρετῶν λέγοντα Δεόμεθα ὑμῶν, μὴ ἡμᾶς ἀποκτείνητε τῆς μικρᾶς ἡλικίας ταύτης· ἀλλ' ἐάσατε πληρῶσαι τὰς ἡλικίας ἡμῶν, καὶ οὕτως σφαγιάσατε ἡμᾶς. ἔθος γὰρ ἦν ἐν τῇ πόλει ἐκείνῃ καὶ τοὺς τελευτῶντας οὐκ ἐνεταφίαζον, ἀλλὰ κατήσθιον αὐτούς. οἱ δὲ ὑπηρέται οὐχ ὑπήκουσαν τοῖς παιδίοις οὐδὲ ἐσπλαγχνίσθησαν ἐπ' αὐτοῖς, ἀλλὰ ἐπέφερον αὐτὰ ἐπὶ τὴν ληνὸν κλαίοντα καὶ δεόμενα.

Καὶ ἐγένετο ὡς ἤγαγον αὐτὰ τοῦ σφάξαι, θεασάμενος Ἀνδρέας τὸ γεγονὸς ἐδάκρυσεν, καὶ κλαίων ἀνέβλεψεν εἰς τὸν οὐρανὸν καὶ εἶπεν Κύριε Ἰησοῦ Χριστέ, καθὼς ἐπήκουσάς μου εἰς τοὺς νεκροὺς καὶ οὐκ εἴασας καταβρωθῆναι αὐτούς, οὕτω καὶ νῦν ἐπάκουσόν μου τοῦ μὴ ὑπενεγκεῖν τοὺς δημίους τὸν θάνατον ἐπὶ τὰ παιδία ταῦτα, ἀλλὰ ἀπολυθῆναι τὰς μαχαίρας ἐκ τῶν χειρῶν τῶν δημίων. καὶ εὐθέως ἐλύθησαν αἱ μάχαιραι καὶ ἔπεσον ἐκ τῶν χειρῶν τῶν δημίων. καὶ τούτου γενομένου θεασάμενοι οἱ δήμιοι τὸ γεγονὸς ἐφοβήθησαν σφόδρα. καὶ ἰδὼν Ἀνδρέας

αὐτούς: C καὶ αὐτήν | μόν. ἐμὲ ἐάσατε (C καταλείψατε): B ἀντὶ ἐμοῦ | αὐτοῦ τὰ παιδία -- σφάξ. αὐτά: C αὐτὰ ὅπως σφαγῶσιν, B ὁ γέρων τὰ παιδία ἀντ' αὐτοῦ εἰς βρῶσιν | ἔκλαιον -- ἄλληλα (C om ἔκλαιον usque ἄλλ.) καὶ -- λέγοντα (C λέγοντες) -- μὴ ἡμᾶς usque ἡλικίας ἡμῶν (pro his C ἵνα ἐάσητε ἡμᾶς ἀνηλικιωθῆναι [codex ἀναλικ.]) καὶ οὕτως -- καὶ (A om) -- ἀλλὰ κατήσθιον (C ἀλλ' ἤσθιον) αὐτούς -- ὑπήκουσαν τ. παιδ. οὐδὲ ἐσπλαγχν. -- κλαίοντα καὶ δεόμενα (C ὑπήκ. αὐτῶν, ἀλλ' ἔκλαιον δεόμενοι αὐτούς): B καὶ ἔκλαιον τὰ παιδία κρατοῦντα ἄλληλα καὶ λέγοντα Δεόμεθα ὑμῶν, μὴ ἡμᾶς ἀποκτ. ἐν τῇ μικρᾷ ἡλικίᾳ ταύτῃ, ἀλλ' ἐάσατε -- καὶ οὕτως ἡμᾶς κατασφάξατε. καὶ οὐκ ἤκουσαν οἱ ὑπηρέται τῆς φωνῆς τῶν νηπίων, ἀλλὰ ἀπέφερον τοῦ κατασφάξαι αὐτὰ καὶ ἔθηκαν αὐτὰ ἐπὶ τὴν ληνόν.

Καὶ ἐγένετο -- καὶ εἶπεν: B Καὶ ἐγέν. ἐν τῷ ἐπᾶραι τοὺς δημίους τὴν χεῖρα τοῦ σφάξαι αὐτά, θεασάμενος ὁ Ἀ. ἐδάκρυσε καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπε | Κύριε (B add μου) Ἰ. Χρ. καθὼς ἐπήκουσας μ. (B εἰσήκ. μ., A om) εἰς τ. νεκρ. (B ἐπὶ τῶν φυλάκων) καὶ οὐκ εἴ. καταβρ. αὐτούς (ita B; A αὐτὰ βρωθῆναι: C om καὶ οὐκ εἴ. κ. α.) | οὕτω καὶ -- μαχαίρας ἐκ τ. χ. τ. δημίων: B οὕτω μηδὲ νῦν ποιήσῃς αὐτοὺς ὑπενεγκεῖν θάνατον ἐπὶ τὰ π. ταῦτα: C οὕτω κ. ν. ἐπάκ. μου καὶ μὴ ἐάσῃς τὰ παιδία ὑπὸ τῶν δημίων σφαγῆναι, ἀλλὰ τὰς μαχαίρας αὐτῶν ὥσπερ κηρὸν ἐναντίον πυρὸς ποίησον ἐκπεσεῖν | καὶ εὐθέως usque τῶν δημίων ex C: A om: B καὶ εὐχομένου τοῦ Ἀνδρέου εὐθέως ἐλύθησαν αἱ μάχ. ἐκ τῶν χειρῶν τ. δημ. ὥσπερ κηρὸς ἐν πυρί | BC om καὶ τούτου γεν. usque σφόδρα | καὶ ἰδὼν -- γενόμενον (C γεγονός) -- κύριον (C θεόν) -- ἐν παντὶ

τὸ γενόμενον ἐδόξασεν τὸν κύριον ὅτι ὑπήκουσεν αὐτοῦ ἐν παντὶ ἔργῳ.

[24] Καὶ θεασάμενοι οἱ ἄρχοντες τὸ γεγονὸς ἔκλαυσαν κλαυθμὸν μέγαν λέγοντες Οὐαὶ ἡμῖν, τί μέλλομεν ποιεῖν; καὶ ἰδοὺ ὁ διάβολος παρεγένετο ὁμοιωθεὶς γέροντι, καὶ ἤρξατο λέγειν ἐν μέσῳ πάντων Οὐαὶ ὑμῖν, ὅτι τελευτᾶτε νῦν μὴ ἔχοντες διατροφάς. τί ποιήσωσιν ὑμᾶς πρόβατα καὶ βόες; οὐ μὴ ἀρκέσουσιν ὑμῖν. ἀλλὰ ἀναστάντες ἐπιζητήσατε ὧδέ τινα ἐν τῇ πόλει ἐπιδημήσαντα ξένον ὀνόματι Ἀνδρέαν καὶ ἀποκτείνατε αὐτόν· εἰ δὲ μή γε, οὐκ ἐᾷ ὑμᾶς ταύτην ποιῆσαι τὴν πρᾶξιν ἔτι· αὐτὸς γὰρ ἀπέλυσεν τοὺς ἀνθρώπους ἐκ τῆς φυλακῆς. καὶ γὰρ ἔστιν ὁ ἄνθρωπος ἐν τῇ πόλει ταύτῃ, καὶ ὑμεῖς οὐκ οἴδατε αὐτόν. νῦν οὖν ἀναστάντες ἐπιζητήσατε αὐτόν, ἵνα τοῦ λοιποῦ δυνηθῆτε τὰς τροφὰς ὑμῶν ἐπισυνάξαι.

Ἦν δὲ ὁ Ἀνδρέας θεωρῶν τὸν διάβολον πῶς ὡμίλει τοῖς ὄχλοις· ὁ δὲ διάβολος οὐκ ἐθεώρει τὸν μακάριον Ἀνδρέαν. τότε ἀποκριθεὶς Ἀνδρέας πρὸς τὸν διάβολον εἶπεν Ὦ Βελία ἐχθρότατε, πάσης κτίσεως πολεμιστὴς ὑπάρχων· ἀλλ' ὁ κύριός μου Ἰησοῦς

ἔργῳ (C om ἐν π. ἔ.): B καὶ θεασάμενος Ἀνδρέας ἐδόξασε τὸν θεὸν ὅτι ἐπήκουσεν αὐτοῦ.

24. Καὶ θεασάμενοι -- τὸ γεγονὸς (C Οἱ δὲ ἄρχοντες) ἔκλ. κλαυθμὸν (A κλαθμὸν) -- ποιεῖν: B Τότε θεασ. οἱ τῆς πόλεως καὶ οἱ ἄρχοντες ἔκλαιον λέγοντες ἐν ἑαυτοῖς Οὐαὶ ἡμῖν, ὅτι τελευτῶμεν νῦν· τί ποιήσωμεν; τάχα γόητες εἰσῆλθον εἰς τὴν πόλιν ἡμῶν οἵτινες ἦραν τοὺς κατακλείστους καὶ νῦν τούτους ἐμάγευσαν. | καὶ ἰδοὺ -- ὁμοιωθεὶς (C ὁμοιοπαθὴς) γέροντι (C add τινι ἀνθρώπῳ) -- ἐν (A ἐμ) μέσῳ -- τί ποιήσωσιν ὑμᾶς (codex oimas) πρόβ. κ. βόες; (hoc loco in ipso codice A distinctum est) οὐ μὴ ἀρκ. ὑμῖν (C om τί ποιήσ. usque ὑμῖν): B καὶ ταῦτα αὐτῶν λεγόντων παραγίνεται ὁ διάβολος ὁμοιωθεὶς γέροντι παλαιῷ, καὶ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν Οὐαὶ ὑμῖν, ὅτι τελευτᾶτε νῦν μὴ ἔχοντες διατροφάς. τί ποιήσετε; πρόβατα καὶ βόες οὐκ ἀρκέσουσιν ὑμῖν. | ἀλλὰ (C om) ἀναστάντες ἐπ. ὧδέ τινα (C om ὧδ. τιν.) ἐν τ. πόλ. (C add ταύτῃ) -- ὀνόματι (A om) -- εἰ δὲ μή γε (A ἰδὲ γὲ sic; C εἰ δ' οὖν), -- ταύτην ποιῆσαι (C ποι. ταύτ.) τ. πρ. ἔτι (C om) -- ἀνθρώπους (C add τοὺς) ἐκ τ. φ. (C ἐν τῇ φυλακῇ) καὶ γὰρ ἔστιν -- ἐπισυνάξαι (C om καὶ γὰρ usque ἐπισυνάξαι): B ἀναστάντες ζητήσατε ἐν τῇ πόλει ξένον τινὰ ἐπιδημήσαντα ὀνόματι Ἀνδρέαν, καὶ εὑρόντες αὐτὸν ἀποκτείνατε, ἵνα κἂν τοῦ λοιποῦ δυνηθῆτε τὰς τροφὰς ὑμῶν ἐπισυνάξαι· εἰ δὲ μή γε, οὐκέτι ἐάσῃ (potius ἐάσει) ὑμᾶς ποιῆσαι τὴν πρ. ταύτ.

Ἦν δὲ ὁ (C om) -- τὸν διάβ. (C αὐτὸν) πῶς ὡμίλει (A ὁμηλει) -- ὁ δὲ διάβ. -- Ἀνδρέαν (C om ὁ δέ usque Ἀνδρ.). τότε ἀπ. Ἀνδρ. πρ. τ. δ. εἶπ. (C καὶ εἶπε πρὸς αὐτόν) Ὦ βελία (C om) ἐχθρότατε (C ἐχθρὲ) -- πολεμ. ὑπαρχ. (pro π. ὑπ. C: ἀεὶ πολεμεῖς κατὰ τὸ γένος τῶν Χριστιανῶν) -- Ἰησ. Χρ. (C om

Digitized by Google

Χριστὸς ταπεινώσει σε εἰς τὴν ἄβυσσον. καὶ ἀκούσας ταῦτα ὁ διάβολος εἶπεν Τῆς μὲν φωνῆς σου ἀκούω, καὶ ἐπίσταμαι τῆς φωνῆς σου· ποῦ δὲ ἕστηκας, οὐ γινώσκω. καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν τῷ διαβόλῳ Πρὸς τί οὖν ἐπικέκλησαι Ἀμαήλ, οὐχ ὅτι τυφλὸς εἶ, μὴ βλέπων πάντας τοὺς ἁγίους; καὶ ἀκούσας ταῦτα ὁ διάβολος εἶπεν τοῖς πολίταις Περιβλέψασθε νῦν τὸν λαλοῦντα πρὸς μέ, ὅτι αὐτός ἐστιν. καὶ διαδραμόντες οἱ πολῖται ἔκλεισαν τὰς πύλας τῆς πόλεως καὶ ἐζήτουν τὸν μακάριον, καὶ οὐκ ἐθεώρουν αὐτόν. τότε ὁ κύριος ἐφανέρωσεν ἑαυτὸν τῷ Ἀνδρέᾳ καὶ εἶπεν αὐτῷ Ἀνδρέα, ἀνάστηθι καὶ φανέρωσον σεαυτὸν εἰς αὐτούς, ἵνα μάθωσιν τὴν δύναμιν μοῦ καὶ τὴν ἀδυναμίαν τοῦ ἐνεργοῦντος αὐτοῖς διαβόλου.

[25] Τότε ἀναστὰς Ἀνδρέας ἐνώπιον πάντων εἶπεν Ἰδοὺ ἐγώ εἰμι Ἀνδρέας ὃν ζητεῖτε. ἐπέδραμεν δὲ ἐπ᾽ αὐτὸν οἱ ὄχλοι καὶ ἐκράτησαν αὐτὸν λέγοντες Ἃ σὺ ἐποίησας ἡμῖν, καὶ ἡμεῖς ποιή-

---

Ἰ. Χρ.) ταπεινώσει (A -σῃ): B Τότε περιέδραμον οἱ πολῖται τῆς πόλεως καὶ ἐζήτουν αὐτόν, καὶ οὐκ ἐθεώρουν αὐτόν. καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν Ὦ βελίαρ, ἐχθρὲ πάσης τῆς κτίσεως, ἀεὶ λῃστὴς ὑπάρχεις πολεμῶν τὸ γένος τῶν ἀνθρώπων· σὺ ἀπ᾽ ἀρχῆς ἐποίησας τὸν Ἀδὰμ ἐκβληθῆναι ἐκ τοῦ παραδείσου, σὺ ἐποίησας τοὺς ἄρτους τοὺς ἐπὶ τραπέζης λίθους γενέσθαι, καὶ πάλιν παρεγένου ἐν τῇ πόλει ταύτῃ ἵνα ποιήσῃς τοὺς ἐνταῦθα κατεσθίειν ἀνθρώπους· ἀλλ᾽ ὁ κύριός μου Ἰ. Χρ. ταπεινώσει σε ὑπὸ τὴν ἄβυσσον. | καὶ ἀκούσας ταῦτα (C om) ὁ διάβ. εἶπεν (C ἔφη) Τῆς μὲν (C om) -- ἐπίσταμαι τῆς φ. σ. (C αὐτήν pro τῆς φ. σ.) -- ἕστηκας (A εἱστηκης) -- καὶ ἀποκρ. Ἀνδρ. εἶπ. τ. διαβ. (C καὶ εἶπεν Ἀνδρέας) Πρὸς τί (C τίνα) -- Ἀμαήλ (C Σαμαήλ) οὐχ ὅτι -- ἁγίους (C om οὐχ ὅτι usque ἁγίους?): B τότε ἀποκριθεὶς ὁ διάβ. εἶπεν Ἐγὼ τῆς φωνῆς σου ἀκούω καὶ ἐπίσταμαί σε· ποῦ δὲ ἕστηκας, οὐ γιν. τότε ἀποκρ. Ἀ. εἶπ. πρὸς αὐτόν Διὰ τοῦτο κέκλησαι Σαμαήλ, ὅτι τυφλὸς εἶ, μὴ ὁρῶν τοὺς ἁγ. πάντας | καὶ ἀκούσας -- εἶπεν (C καὶ εἶπεν ὁ διάβ.) τοῖς πολίταις: B ὁ δὲ ἀναβοήσας εἶπε τοῖς πολ. λέγων | Περιβλ. νῦν (B om) τ. λ. πρός με (B μετ᾽ ἐμοῦ), ὅτι (B om) αὐτός (B αὐτοῦ) ἐστιν: C ἐμβλέψατε εἰς τὸν νῦν πρ. με λαλοῦντα, αὐτός ἐστ. ὁ ἀπολύσας τοὺς ἐν τῇ φυλακῇ ὄντας ἀνθρώπους | B om οἱ πολῖται | πύλας: A θύρας | μακάριον: BC add Ἀνδρέαν | τότε ὁ κύρ. εἶπεν αὐτῷ: BC τότε ὁ κύρ. εἶπε τῷ Ἀνδρέᾳ | Ἀνδρέα, ἀνάστηθι -- εἰς αὐτούς (A εἰς αὐτόν) -- τ. δύν. μοῦ καὶ τὴν ἀδυναμ. (A om μ. κ. τ. ἀδυναμ. Recepit eandem lectionem Thilo. Fluctuare possis inter ἀδυναμίαν et δύναμιν: ex hoc enim repetito facile explicatur scriptura codicum.) τοῦ: B ἀναστὰς φανέρωσον ἑαυτόν, ἵνα γνῶσι τὴν δύναμιν μοῦ καὶ τοῦ, C φανέρωσον σεαυτὸν αὐτοῖς, ἵνα ἴδωσι τὴν ἀδυναμίαν τοῦ | αὐτοῖς (B ἐν αὐτ.) διαβόλου: C αὐτὴν (?) σατανᾶ

25. Τότε -- ἐνώπιον πάντ. (C ἐναντίον παντὸς τοῦ ὄχλου) -- εἰμι Ἀνδρ. (C om εἰμι Ἀνδρ.) -- ἐπέδραμαν δὲ (C καὶ ἐπέδραμον) -- Ἃ σὺ (C Ὡς) --

Digitized by Google

σωμεν σοί. καὶ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες Ποίῳ θανάτῳ αὐτὸν ἀποκτένωμεν; καὶ ἔλεγαν πρὸς ἑαυτοὺς ὅτι ἐὰν ἄρωμεν αὐτοῦ τὴν κεφαλήν, ὁ θάνατος αὐτοῦ οὐκ ἔστιν βάσανος· εἰ δὲ καύσωμεν αὐτόν, οὐκ ἔσται εἰς βρῶσιν ἡμῖν. τότε ἀποκριθεὶς εἷς ἐξ αὐτῶν εἰσελθόντος εἰς αὐτὸν τοῦ διαβόλου ἔλεγε τοῖς ὄχλοις ὅτι καθὼς ἐποίησεν ἡμῖν, καὶ ἡμεῖς ποιήσωμεν αὐτῷ. ἀναστάντες οὖν περιάψωμεν σχοινίον ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ διασύρωμεν αὐτὸν ἐν πάσαις ταῖς πλατείαις καὶ ῥύμαις τῆς πόλεως, καὶ ὅταν τελευτήσῃ, διαμερισόμεθα αὐτοῦ τὸ σῶμα. καὶ ἐποίησαν καθὼς εἶπεν αὐτοῖς, καὶ περιάψαντες σχοινίον ἐπὶ τὸν τράχηλον αὐτοῦ διέσυρον αὐτὸν ἐν πάσαις ταῖς πλατείαις καὶ ῥύμαις τῆς πόλεως, καὶ αἱ σάρκες τοῦ μακαρίου Ἀνδρέου ἐκολλῶντο ἐν τῇ γῇ, καὶ τὸ αἷμα αὐτοῦ ἦν ῥέον ὥσπερ ὕδωρ ἐπὶ τὴν γῆν. ὀψίας δὲ γενομένης ἔβαλον αὐτὸν εἰς τὴν φυλακήν, δήσαντες αὐτοῦ τὰς χεῖρας εἰς τὰ ὀπίσθια, καὶ ἦν παραλελυμένος σφόδρα.

[26] Καὶ τῇ ἑωθεν πάλιν ἐξήνεγκαν αὐτὸν καὶ περιάψαντες σχοινίον περὶ τὸν τράχηλον αὐτοῦ διέσυρον αὐτόν, καὶ πάλιν αἱ σάρκες αὐτοῦ ἐκολλῶντο ἐν τῇ γῇ καὶ τὸ αἷμα αὐτοῦ ἦν ῥέον. καὶ ἔκλαιεν ὁ μακάριος καὶ ηὔχετο λέγων Μὴ ἐγκαταλείπῃς με,

---

ποιήσωμεν (C -σομεν) -- ἐν ἑαυτ. λέγ. (C om ἐν ἑ. λ.) -- αὐτὸν ἀποκτένωμεν (C ἀποκτείνωσιν αὐτόν). καὶ ἔλεγαν (C -γον) πρ. ἑαυτοὺς (C αὐτοὺς) ὅτι ἐὰν usque βάσανος (C pro his: ὅτι ἐὰν ἀποκεφαλίσωμεν αὐτόν, οὐκ ἔστιν αὐτῷ βάσανος)· εἰ δὲ -- εἰς βρῶσιν ἡμῖν: B Τότε ἀναστὰς Ἀνδρ. ἐφανέρωσεν αὐτοῖς ἑαυτόν· καὶ δραμόντες οἱ ἄνδρες ἐκράτησαν αὐτόν. καὶ διελογίζοντο ἐν ἑαυτοῖς ποίῳ ϑαν. ἀποκτείνωσιν αὐτόν. καὶ ἀποκριϑέντες ἔλεγον ὅτι ἐὰν ἄρωμεν αὐτοῦ τ. κεφ. καὶ δῶμεν αὐτοῦ τὸ σῶμα τοῖς ἄρχουσιν ἡμῶν, οὗτος ὁ ϑάνατος οὐκ ἔστι βάσανος αὐτῷ. ἕτεροι δὲ πάλιν ἔλεγον ὅτι ἐὰν κατακαύσωμεν αὐτὸν ἐν πυρί, οὗτος ὁ ϑάνατος οὐκ ἔστι βάσανος αὐτῷ. | Post verba ὁ ϑάνατος αὐτοῦ οὐκ ἔστιν cursus deficit codex A usque ad εἰ πεισϑῶσιν οἱ πολῖται sect. 30. | τότε ἀποκριϑεὶς εἷς usque ὕδωρ ἐπὶ τὴν γῆν ex B sunt; C sic: εἰσελϑόντος δὲ τοῦ σατανᾶ εἰς ἑνὸς (sic) ἐκ τούτων ἀπεκρίνατο Καϑὼς αὐτὸς ἡμᾶς πεποίηκε, καὶ ἡμεῖς αὐτῷ ϑανάτους πικροὺς ἐπιδειξώμεϑα. ἀναστάντες οὖν περιάψωμεν αὐτῷ σχοινίον (codex -νίοις) τῷ τραχήλῳ καὶ διασύρωμεν αὐτὸν εἰς πάσας τὰς πλατείας καὶ ῥύμας τῆς πόλ. καϑ' ἑκάστην ἡμέραν μέχρις ἂν τελευτήσει, καὶ οὕτως διαμερίσωμεν αὐτὸν τοῖς πολίταις πᾶσι. καὶ ἐποίησαν οὕτως. καὶ συρομένου τοῦ ἁγίου αἱ σάρκες αὐτοῦ ἐκολλῶντο τῇ γῇ καὶ τὸ αἷμα αὐτοῦ ἔρρεεν ὡσεὶ ὕδωρ. | C γενομένης et om τήν | C δήσαντες τὰς χεῖρας ὄπισϑεν | παραλελυμένος: B add ὁ μακάριος

26. Καὶ τῇ ἑωϑεν -- ἵνα μὴ λαλῇ: C Καὶ πρωὶ ἐξήνεγκαν αὐτὸν καὶ πάλιν ὁμοίως αὐτὸν διέσυρον ἐπὶ τῆς γῆς, καὶ αἱ σάρκες αὐτοῦ τῇ γῇ ἐκολλῶντο καὶ ἔκλαιεν ὁ μακάριος λέγων Κύριέ μου Ἰησοῦ Χριστέ, ἐλϑὲ καὶ ϑέασαι ἃ ἐποίη-

Digitized by Google

κύριέ μου Ἰησοῦ Χριστέ· ἐγὼ γὰρ γινώσκω ὅτι οὐκ εἰ μακρὰν ἀπὸ τῶν σῶν δούλων. καὶ εὐχομένου αὐτοῦ ὁ διάβολος ὄπισθεν περιεπάτει καὶ τοῖς ὄχλοις ἔλεγε Τύπτετε αὐτοῦ τὸ στόμα ἵνα μὴ λαλῇ.

Ὀψίας δὲ γενομένης ἦραν αὐτὸν πάλιν εἰς τὴν φυλακήν, δήσαντες αὐτοῦ τὰς χεῖρας ὄπισθεν, καὶ εἴασαν αὐτὸν εἰς τὴν αὔριον πάλιν. καὶ παραλαβὼν ὁ διάβολος μεθ' ἑαυτοῦ ἑπτὰ δαίμονας, οὓς ὁ μακάριος ἐξέβαλεν ἐκ τῶν πέριξ χωρῶν, καὶ εἰσελθόντες ἐν τῇ φυλακῇ ἔστησαν ἐνώπιον αὐτοῦ θέλοντες αὐτὸν ἀποκτεῖναι. καὶ ἀποκριθέντες οἱ δαίμονες εἶπον τῷ Ἀνδρέᾳ Νῦν ἐνέπεσες εἰς τὰς χεῖρας ἡμῶν· ποῦ ἔστιν ἡ δόξα σου καὶ ἡ ὕψωσίς σου; σὺ ἐπαίρων σεαυτὸν ἐφ' ἡμᾶς καὶ ἀτιμάζων ἡμᾶς καὶ διηγούμενος τὰ ἔργα ἡμῶν τοῖς κατὰ τόπον καὶ χώραν, καὶ ἐποίησας τὰ ἐργαστήρια ἡμῶν καὶ τοὺς ναοὺς ἐρήμους γενέσθαι ἵνα μὴ ἀναχθῶσι θυσίαι ἐν αὐτοῖς. διὰ τοῦτο οὖν καὶ ἡμεῖς ἀποκτενοῦμεν σὲ ὡς καὶ τὸν διδάσκαλόν σου τὸν λεγόμενον Ἰησοῦν καὶ Ἰωάννην ὃν Ἡρῴδης ἀπεκεφάλισεν.

[27] Καὶ ἔστησαν ἐνώπιον τοῦ Ἀνδρέου θέλοντες αὐτὸν ἀποκτεῖναι, καὶ θεασάμενοι τὴν σφραγῖδα ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ κύριος, ἐφοβήθησαν καὶ οὐ προσήγγισαν αὐτῷ,

---

σάν μοι, ἀλλ' ὑπομένω διὰ τὴν ἐντολὴν ἣν ἐνετείλω μοι λέγων μετ' ἐμοῦ ὑπάρχειν σε· εἰ δὲ μή γε, ποιῶ αὐτοὺς ἀπελθεῖν ἐν τῇ ἀβύσσῳ μετὰ τῆς πόλεως αὐτῶν. ἀλλ' οὐ μὴ παρίδω τὴν κέλευσίν σου μέχρι θανάτου, καὶ μὴ ἐάσῃς τὸν ἐχθρόν μου γελάσαι ἐπ' ἐμέ. καὶ ταῦτα τοῦ Ἀνδρέα λέγοντος ὁ σατανᾶς κατηκολούθει ὄπισθεν λέγων τοῖς ὄχλοις Τύπτετε -- ἵνα μὴ τὰ τοιαῦτα λαλεῖν.

Ὀψίας -- Νῦν ἐνέπεσες -- χεῖρ. ἡμῶν (B om Νῦν usque ἡμῶν) -- σὺ (B om) ἐπαίρων -- ἐν αὐτοῖς: C Ὀψ. δὲ γενομένης ἔδεντο τὸν Ἀνδρέαν εἰς τ. φ. δήσαντες τὰς χ. ὄπισθεν. ὁ δὲ διάβ. παραλαβὼν μεθ' -- ὁ μακάριος Ἀνδρέας ἐξέβαλεν ἀπὸ τῶν περιχώρων, καὶ -- φυλακῇ ἐκλεύαζον αὐτὸν καὶ εἶπον πρὸς αὐτόν Νῦν ἐνέπεσες εἰς τ. χ. ἡμῶν· ποῦ ἔστιν ἡ δύναμίς σου καὶ ἡ δόξα σου; σὺ ἀτιμάζων καὶ διηγούμενος τὰ ἔ. ἡ. κατὰ τόπους καὶ πόλεις, καὶ ἐποίησας τὰς οἰκίας ἡμῶν ἐρήμους γενέσθαι -- ἐν αὐτοῖς. | C διὰ τοῦτο ποιοῦμεν σὲ ἀποκτανθῆναι ὡς καὶ τ. διδάσκ. σου | τὸν λεγόμ. Ἰ. κ. Ἰωάννην (B om τὸν λεγόμ. usque Ἰω.) ὃν Ἡρ. ἀπεκεφ. (B ὃν ἀπέκτεινεν Ἡρ.) ex C. Ad haec B add καὶ ἀποκριθεὶς ὁ διάβολος ἔλεγε τοῖς ἑπτὰ πονηροῖς δαίμοσι Τεκνία μου, ἀποκτείνατε τοῦτον τὸν ἀτιμάζοντα ἡμᾶς.

27. Καὶ (B add ἐλθόντες οἱ ἑπτὰ δαίμονες) ἔστ. ἐν. τοῦ (B om) -- ἀποκτεῖναι, καὶ θεασάμενοι -- ἀλλ' ἔφυγον (B ἀποκτεῖναι, καὶ οὐκ ἠδυνήθησαν· οἴδασι γὰρ τὴν σφραγῖδα ἐπὶ τὸ πρόσωπον αὐτοῦ καὶ ἔφυγον) ex C (ex D huc adnotavi: θεασάμενοι τὴν σφραγῖδα ἐν τῷ μετώπῳ ἣν ἔδωκεν αὐτῷ ὁ κύριος). |

Digitized by Google

ἀλλ' ἔφυγον. καὶ ὁ διάβολος λέγει αὐτοῖς Τί ὅτι ἐφύγετε ἀπ' αὐτοῦ, τεκνία μου, καὶ οὐκ ἀπεκτείνατε αὐτόν; καὶ ἀποκριθέντες οἱ δαίμονες εἶπον τῷ διαβόλῳ ὅτι ἡμεῖς οὐ δυνάμεθα αὐτὸν ἀποκτεῖναι, ἀλλ' εἰ δυνατὸς εἶ σύ, ἀπόκτεινον αὐτόν· ἡμεῖς γὰρ ἐπιστάμεθα αὐτὸν πρὶν ἢ αὐτὸν ἐλθεῖν ἐν τῇ θλίψει τῆς ταπεινώσεως αὐτοῦ. τότε ἀποκριθεὶς εἷς τῶν δαιμόνων εἶπεν Οὐ δυνάμεθα αὐτὸν ἀποκτεῖναι, ἀλλὰ δεῦτε ἐπιγελάσωμεν αὐτῷ ἐν τῇ θλίψει τῆς ταπεινώσεως αὐτοῦ. καὶ ἐλθόντες οἱ δαίμονες ἔστησαν ἐνώπιον αὐτοῦ καὶ ἐχλεύαζον αὐτόν. καὶ ἀκούων ὁ μακάριος ἔκλαιε· καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα Ἀνδρέα, διὰ τί κλαίεις; ἦν δὲ ἡ φωνὴ τοῦ διαβόλου μετηλλαγμένη. καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπε Κλαίω ὅτι ἐνετείλατό μοι ὁ θεὸς λέγων Μακροθύμησον ἐπ' αὐτοῖς. καὶ ὁ διάβολος εἶπεν Εἴ τί σοί ἐστι δυνατόν, ποίησον. καὶ ἀποκριθεὶς ὁ Ἀνδρέας εἶπε Διὰ τοῦτο οὖν ταῦτά μοι ποιεῖτε; ἀλλὰ μὴ γένοιτό μοι παρακοῦσαι τῆς ἐντολῆς τοῦ κυρίου μου· ἐὰν γὰρ ὁ κύριος ἐπισκοπήν μοι ποιήσηται ἐν τῇ πόλει ταύτῃ, παιδεύσω ὑμᾶς καθὼς ἄξιοί ἐστε. καὶ ταῦτα ἀκούσαντες ἔφυγον.

[28] Πρωΐας δὲ γενομένης ἐξήνεγκαν αὐτὸν πάλιν καὶ περιάψαντες σχοινίον περὶ τὸν τράχηλον αὐτοῦ ἕσυρον αὐτόν, καὶ πά-

---

καὶ ὁ διάβ. λ. αὐτοῖς: C καὶ λέγει πρὸς αὐτοὺς ὁ διάβ. | Τί ὅτι (ex C; B Διὰ τί) -- τεκν. μου (C ante Τί ponit) -- οἱ δαίμονες (C om) εἶπ. τῷ διαβ. (C om) | ὅτι ἡμεῖς -- ἐλθεῖν ἐν τ. θ. τ. π. αὐτοῦ: C Εἴδομεν γὰρ αὐτοῦ τὴν σφραγῖδα καὶ ἐφοβήθημεν· ἐπιστάμεθα γὰρ πρὶν ἐλθεῖν ἐν τῇ θλίψει τῆς ταπεινώσεως αὐτοῦ ταύτης. ἀλλὰ σὺ ἀπελθὼν ἀπόκτεινον αὐτόν, εἰ δύνασαι. ἡμεῖς γὰρ οὐχ ὑπακούομέν σου, μή ποτε ὁ θεὸς ἰάσηται αὐτὸν καὶ παραδώσει ἡμᾶς εἰς βασάνους. | C καὶ ἀποκριθεὶς εἷς ἐκ τῶν δαιμόνων ἔφη Δεῦτε ἐπιγελάσωμεν τὴν θλῖψιν αὐτοῦ. τότε οἱ δαίμονες σὺν τῷ διαβόλῳ ἐχλεύαζον τὸν ἅγιον Τίς ἐστιν ὁ δυνάμενός σε ῥύσασθαι ἐκ τῶν βασάνων; ὁ δὲ μακάριος Ἀνδρέας ἐθρήνησε πικρῶς, καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα Ὦ Ἀνδρέα, ἕνεκεν τίνος κλαίεις; ἡ δὲ φωνὴ ἐκείνη μετηλαχθεῖσα (sic) παρὰ τοῦ διαβόλου. εἶπεν Ἀνδρέας Κλαίω ὅτι -- ἐπ' αὐτοῖς. καὶ εἶπεν αὐτῷ Εἰ -- δυνατ. ἐστι, ποίησον. ὁ δὲ Ἀνδρέας ἔφη Ἐὰν ἀποκτείνητέ με ἐνταῦθα, οὐ μὴ ἐκβῶ ἐξ ὧν ἐνετείλατό μοι κύριος· εἰ δὲ ἐπισκοπῇ ἐπισκέψηται κύριος τῇ πόλει ταύτῃ, παιδεύσω ὑμᾶς καθὼς ἔνεστι. ταῦτα ἀκούσαντες οἱ δαίμονες ἔφυγον σὺν τῷ διαβόλῳ.

28. Πρωΐας -- ἀρκεταί (B ἀρκεσταί) εἰσιν (B μού εἰσιν) -- σὺ δέ, κύριε usque ἐγκατέλιπες (haec ex C sunt; B σὺ γάρ, κύριε, ὥρας τρεῖς ἐποίησας ἐπὶ τὸν σταυρὸν καὶ ὀλιγοψύχησας λέγων Πάτερ, ἵνα τί με ἐγκατέλειπας) -- τί γεγόνασιν: C Πρωΐας δὲ γεν. ἐξήγαγον τὸν Ἀνδρέαν καὶ δήσαντες σχοινία περιέσυρον

Digitized by Google

λιν αἱ σάρκες αὐτοῦ ἐκολλῶντο ἐν τῇ γῇ, καὶ τὸ αἷμα αὐτοῦ ἔρρεεν ὥσπερ ὕδωρ ἐπὶ τὴν γῆν. καὶ συρόμενος ὁ μακάριος ἔκλαιε λέγων Κύριε Ἰησοῦ Χριστέ, μὴ ἀπευδοκήσεις μου. σὺ γὰρ οἶδας, κύριε, ὅσα ὁ ἐχθρὸς ἐνεδείξατό μοι μετὰ τῶν ἑαυτοῦ δαιμόνων. ἀρκεταί εἰσιν αἱ βάσανοι αὗται, κύριέ μου· ἰδοὺ γὰρ διασύρομαι ἐν τρισὶν ἡμέραις. σὺ δέ, κύριε, μνήσθητι ὅτι ἐποίησας τρεῖς ὥρας ἐπὶ τοῦ σταυροῦ καὶ πρὸς τὸν πατέρα ἐβόησας Πάτερ μου, ἵνα τί με ἐγκατέλιπες; ποῦ εἰσὶν οἱ λόγοι σου, κύριε, οὓς ἐλάλησας πρὸς ἡμᾶς ἐπιστηρίζων ἡμᾶς, ὅτε περιεπατήσαμεν μετὰ σοῦ, λέγων ἡμῖν Οὐ μὴ ἀπολέσητε μίαν τρίχα. πρόσχες οὖν, κύριε, ὅτι αἱ σάρκες μου καὶ αἱ τρίχες τῆς κεφαλῆς μου τί γεγόνασιν. τότε ὁ Ἰησοῦς εἶπε τῷ Ἀνδρέᾳ Ἡμέτερε Ἀνδρέα, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. στράφου οὖν, Ἀνδρέα, καὶ θέασαι τὰς πεσούσας σου σάρκας καὶ τρίχας, τί γεγόνασιν. καὶ στραφεὶς ὁ Ἀνδρέας εἶδε μεγάλα δένδρα φυέντα καρποφόρα, καὶ ἐδόξασε τὸν θεόν.

Ὀψίας δὲ γενομένης ἦραν αὐτὸν πάλιν καὶ ἐνέβαλον εἰς τὴν φυλακήν, δήσαντες αὐτοῦ τὰς χεῖρας ὄπισθεν, καὶ ἦν παραλελυμένος σφόδρα. καὶ ἔλεγον ἐν ἑαυτοῖς οἱ ἄνδρες τῆς πόλεως Τάχα τελευτᾷ ἐν τῇ νυκτί, καὶ οὐχ εὑρίσκομεν αὐτὸν ζῶντα ἐν τῇ ἑξῆς ἡμέρᾳ· ἠτόνησε γάρ, καὶ αἱ σάρκες αὐτοῦ ἐδαπανήθησαν.

τῷ τραχήλῳ. ὁ δὲ προσηύξατο πρὸς κύριον Κύριε Ἰ. Χρ., ἀρκεταί εἰσιν αἱ β. αὗται· ἐξητόνησα γάρ. ὁρᾷς ὅσα ὁ ἐχθρός ἐκδείκνυταί μοι μετὰ τῶν ἑαυτοῦ δαιμόνων. σὺ δέ, κύριε, -- ἐγκατέλιπες; ἰδού, κύριε, τρεῖς ἡμέραι (sic) εἰσὶ διασύροντες τὰς σάρκας μου ἐπὶ γῆς. ἐπίταξον οὖν ἀναλαβεῖν τὸ πνεῦμά μου ἀπ' ἐμοῦ ἵνα ἀναπαύσεως τύχω. ἐνέτειλάς μοι ὅτι ὁ περιπατῶν μετὰ σοῦ οὐ μὴ ἀπολέσῃ τρίχαν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ. πρόσχες, κύριε, ὅτι αἱ σάρκες μου καὶ αἱ τρίχες τῆς κεφαλῆς μου ἐκολλήθησαν τῇ γῇ. καὶ ταῦτα λέγων ὁ μακάριος Ἀνδρέας διεσύρετο. | τότε ὁ Ἰησοῦς ε. τ. Ἀ.: C τότε ἦλθεν αὐτῷ φωνὴ ἑβραϊστὶ λέγουσα | C Ἀνδρέα ἡμέτερε | στράφου -- γεγόνασιν: C πρόσχες οὖν ὄπισθέν σου καὶ θέασαι τὰς πεσούσας σου σάρκας καὶ τρίχας, τί ἐγένοντο | φυέντα καρποφόρα ex C (item D): A καρποφ. φυτευθέντα | καὶ ἐδόξ. τ. θεόν: C καὶ ἀποκριθεὶς εἶπεν Ἔγνων, κύριε, ὅτι [οὐ] κατέλιπές με

Ὀψίας -- εἰς τ. φυλ. (Thilo h. l. add ἤδη ἀτονήσαντα) -- ὄπισθεν (B h. l. add ἤδη ἀτονίσαντα) -- παραλ. σφόδρα: C Ὀψίας οὖν πάλιν ἀπήγαγον αὐτὸν εἰς φυλακήν. | κ. ἔλεγον -- ἐδαπανήθησαν: C κ. ἔλ. ἐν ἑαυτοῖς ὅτι ἠτόνησε, καὶ αἱ σάρκες αὐτοῦ ἐκολλήθησαν τῇ γῇ· τάχα τελευτᾷ ἐν τῇ νυκτὶ ταύτῃ.

Digitized by Google

[29] Ὁ δὲ κύριος παρεγένετο ἐν τῇ φυλακῇ, καὶ ἐκτείνας τὴν χεῖρα εἶπε τῷ Ἀνδρέᾳ Ἐπίδος μοι τὴν χεῖρα σου καὶ ἀνάστα ὑγιής. καὶ θεασάμενος ὁ Ἀνδρέας τὸν κύριον Ἰησοῦν ἐπέδωκεν αὐτῷ τὴν χεῖρα καὶ ἀνέστη ὑγιής, καὶ πεσὼν προσεκύνησεν αὐτῷ καὶ εἶπεν Εὐχαριστῶ σοι, κύριέ μου Ἰησοῦ Χριστέ, ὅτι ἐτάχυνας τὴν βοήθειάν σου ἐπ' ἐμέ. καὶ θεασάμενος ὁ Ἀνδρέας εἰς μέσον τῆς φυλακῆς εἶδε στῦλον ἑστῶτα, καὶ ἐπὶ τὸν στῦλον ἀνδριὰς ἀλαβαστρινὸς ἐφεστώς. καὶ ἀνελθὼν ὁ Ἀνδρέας ἐπὶ τὸν ἀνδριάντα ἤπλωσε τὰς χεῖρας αὐτοῦ ἑπτάκις, καὶ εἶπε τῷ στύλῳ καὶ τῷ ἐπ' αὐτοῦ ἀνδριάντι Φοβήθητι τὸν τύπον τοῦ σταυροῦ, ὃν φρίσσει ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ ἀναγαγέτω ὁ ἀνδριὰς ὁ ἐπικείμενος ἐπὶ τὸν στῦλον ὕδωρ πολὺ διὰ τοῦ στόματος αὐτοῦ, μέχρι οὗ παιδευθῶσιν οἱ ἐν τῇ πόλει πάντες. καὶ μὴ εἴπῃς ὅτι λίθος εἰμὶ καὶ οὐκ εἰμὶ ἄξιος αἰνέσαι τὸν κύριον· ἡμᾶς γὰρ ἔπλασεν ὁ κύριος ἀπὸ γῆς, ὑμεῖς δὲ καθαροί ἐστε· διὰ τοῦτο ἐξ ὑμῶν δέδωκε τὰς πλάκας τοῦ νόμου. ταῦτα εἰπόντος τοῦ μακαρίου Ἀνδρέα εὐθέως ἀπέβαλεν ὁ λίθινος ἀνδριὰς ἐκ τοῦ στόματος αὐτοῦ ὕδωρ εἰς πλῆθος ὡς ἐκ διώρυγος, καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τὴν γῆν, καὶ ἦν ἁλμυρὸν σφόδρα κατεσθίον σάρκας ἀνθρώπων.

[30] Πρωίας δὲ γενομένης θεασάμενοι οἱ ἄνδρες τῆς πόλεως ἤρξαντο φεύγειν λέγοντες ἐν ἑαυτοῖς Οὐαὶ ἡμῖν, ὅτι τελευτῶμεν νῦν. καὶ ἀπέκτεινε τὸ ὕδωρ τὰ κτήνη αὐτῶν καὶ τὰ τέκνα αὐ-

---

29. C Ὁ δὲ κύρ. εἰσελθὼν ἐν τῇ φυλ. καὶ ἐκτ. τὴν χ. εἶπεν Ἐπίδος (B Δός) -- ἀνάστα (B ἀνάστηθι) | καὶ θεασάμενος ὁ Α. τὸν κύριον -- ὑγιής: C καὶ ἐπιδοὺς τὴν χεῖρα αὐτοῦ ἀνέστη ὑγιής | αὐτῷ καὶ εἶπεν: C αὐτῷ λέγων | C om μου Ἰησ. Χρ. | κ. θεασάμενος -- εἶδε στῦλον: C καὶ ἰδὼν Ἀνδρέας ἐν μέσῳ τῆς φυλ. στῦλον | ἑστῶτα, καὶ -- ἐφεστώς ex C: B ἐπικείμενον ἀλαβαστρινόν | καὶ ἀνελθὼν -- τῷ ἐπ' αὐτοῦ ἀνδριάντι ex B: C καὶ λέγει αὐτῷ | ὃν (B praem καὶ) φρίσσει (C τρέμει) -- ἀναγαγέτω (B ἀποβαλέτω) -- ἐπικείμ. ἐπὶ τὸν στῦλ. (C ἐπικ. τῷ στύλῳ) -- στόμ. αὐτοῦ (B add ὡς κατακλυσμόν) μέχρι οὗ (C τοῦ) παιδευθ. (B ἵνα παιδευθ.) -- πόλει πάντες (B πόλ. ταύτῃ) | καὶ μὴ εἴπῃς ὅτι ex C: B μὴ φοβηθῇς ὦ λίθε καὶ εἴπῃς ὅτι ἐγώ | ἡμᾶς γὰρ -- πλάκας τοῦ νόμου ex C: B ναί· καὶ γὰρ καὶ ὑμεῖς τετιμημένοι ἐστέ. οὐ γὰρ ἔγραψεν ὁ θεὸς τὸν νόμον τῷ λαῷ αὐτοῦ ἐν πλαξὶ χρυσαῖς ἢ ἀργυραῖς, ἀλλ' ἐν πλαξὶ λιθίναις. νῦν οὖν ποίησον, ὦ ἀνδριά, τὴν οἰκονομίαν ταύτην. | ταῦτα -- Ἀνδρέα (C -έου) εὐθέως (C εὐθὺς) -- στόμ. αὐτοῦ (B om) ὕδ. εἰς πλῆθ. (B ὕδ. πολὺ) ὡς (B ὥσπερ) -- ἀνθρώπων

30. Πρωίας -- τελευτῶμεν νῦν: C om | C τὰ τέκνα αὐτῶν καὶ τὰ κτήνη.

Digitized by Google

τῶν, καὶ ἤρξαντο φεύγειν ἐκ τῆς πόλεως. τότε Ἀνδρέας ηὔξατο λέγων Κύριε Ἰησοῦ Χριστέ, ἐφ' ᾧ ἤλπισα γενέσθαι τὸ σημεῖον τοῦτο ἐν τῇ πόλει ταύτῃ, μή με ἐγκαταλείπῃς, ἀλλὰ ἀπόστειλον Μιχαὴλ τὸν ἀρχάγγελόν σου ἐν νεφέλῃ πυρός, καὶ περιτείχισον τὴν πόλιν ἵνα μὴ δυνηθῇ τις ἐκφυγεῖν τοῦ πυρός. καὶ εὐθέως κατῆλθε νεφέλη πυρὸς καὶ ἐκύκλωσε τὴν πόλιν ὡς τεῖχος, καὶ τὸ ὕδωρ ὑψώθη ἕως τοῦ τραχήλου τῶν ἀνδρῶν ἐκείνων καὶ ἦν κατεσθίον αὐτοὺς σφόδρα. καὶ ἔκλαιον λέγοντες Οὐαὶ ἡμῖν· ταῦτα γὰρ πάντα ἐπῆλθον ἐφ' ἡμᾶς διὰ τὸν ξένον τὸν ὄντα ἐν τῇ φυλακῇ· πορευθῶμεν καὶ ἀπολύσωμεν αὐτόν, μή ποτε ἀποθάνωμεν.

Καὶ ἐξῆλθον βοῶντες μεγάλῃ φωνῇ Ὁ θεὸς τοῦ ξένου ἀνθρώπου, ἆρον ἀφ' ἡμῶν τὸ ὕδωρ τοῦτο. καὶ ἔγνω ὁ ἀπόστολος ὅτι κατώδυνοι ἐγένοντο, καὶ εἶπε πρὸς τὸν ἀλαβαστρινὸν ἀνδριάντα Παῦσαι τὸ ὕδωρ, ὅτι μετενόησαν. λέγω δέ σοι ὅτι εἰ πεισθῶσιν οἱ πολῖται τῆς πόλεως ταύτης, οἰκοδομήσω ἐκκλησίαν καὶ στήσω σε ἐν αὐτῇ, ὅτι ἐποίησάς μοι τὴν διακονίαν ταύτην. καὶ ἐπαύσατο ὁ ἀνδριὰς τοῦ ῥέειν καὶ οὐκέτι ἐξήνεγκεν ὕδωρ. καὶ ἐξελθόντες οἱ τῆς πόλεως ἐπὶ τὰς θύρας τῆς φυλακῆς ἐβόησαν λέγοντες Ἐλέησον ἡμᾶς, ὁ θεὸς τοῦ ξένου ἀνδρός, καὶ μὴ ποιήσεις κατὰ τὴν ἀπιστίαν ἡμῶν καὶ καθ' ἃ ἐποιήσαμεν τῷ ἀνδρὶ τούτῳ, ἀλλ' ἔξελε ἀφ' ἡμῶν τὸ ὕδωρ τοῦτο. καὶ ἐξῆλθεν Ἀνδρέας ἐκ τῆς φυλακῆς, καὶ τὸ ὕδωρ διέτρεχεν ἀπὸ τῶν ποδῶν τοῦ μακαρίου Ἀνδρέου. τότε πᾶς ὁ ὄχλος ἰδὼν αὐτόν, ἐβόουν ἅπαντες Ἐλέησον ἡμᾶς.

καὶ ἤθελον φυγεῖν οἱ ἄνδρες ἐκ τῆς πόλεως | τότε Ἀ. ηὔξ. λέγων ex B: C καὶ εἶπεν Ἀ. πρὸς κύριον | ἐφ' ᾧ ἤλπισα -- τοῦτο ex C: B ἐφ' ἣν ἐπεχείρησα καὶ ἐποίησα τὸ σημ. τοῦτο | C om ἐν τ. πόλ. ταύτ. | C μὴ ἐγκαταλίπῃς με | περιτείχισον: ab hac inde voce media (περιτειχη) deficit codex B. Hinc ea quae sequuntur usque ad πεισθῶσιν οἱ πολῖται ex uno cod. C descripta sunt.

Pro πρὸς τὸν ἀλαβαστρινὸν ἀνδρ. in codice est πρὸς τὸν στῦλον τὸν ἀλαβ. ἀνδρ. | τῆς πόλεως ταύτης: haec non habet C; sed A rursus incipit -ως ταύτης | οἰκοδομήσω -- ἀπιστίαν (codex -στείαν) -- ἐβόουν ἅπαντες Ἐλέησ. ἡμᾶς (sed Ἐλέ. ἡμ. non sunt in codice) ex A. C sic: οἰκοδ. ἐκκλ. ἐπὶ σέ. καὶ παυσάμενον τὸ ὕδωρ, εἰσῆλθον οἱ πολῖται ἐν τῇ φυλακῇ βοῶντες Ἐλέησον ἡμᾶς, ὁ θ. τ. ξένου. καὶ ἀκούσας ὁ Ἀνδρέας ἐξῆλθεν ἐκ τῆς φυλακῆς, καὶ διέτρεχε τὸ ὕδωρ ἀπὸ τῶν ποδῶν αὐτοῦ· καὶ ἐβόησεν ὁ λαὸς Ἐλέησον ἡμᾶς, ὁ θεὸς τοῦ ξένου. Ex D huc pertinent haec: Πιστεύωμεν τῷ θεῷ· διάσωσον ἡμᾶς.

Digitized by Google

31 Καὶ ἐλθὼν ὁ γέρων ὁ παραδοὺς τὰ παιδία αὐτοῦ ἵνα σφάξωσιν αὐτὰ ἀντ' αὐτοῦ, ἐδέετο πρὸς τῶν ποδῶν τοῦ μακαρίου Ἀνδρέου λέγων Ἐλέησόν με. καὶ ἀποκριθεὶς ὁ ἅγιος Ἀνδρέας εἶπεν τῷ γηραιῷ Θαυμάζω πῶς σὺ λέγεις Ἐλέησόν με· σὺ οὖν οὐκ ἠλέησας τὰ τέκνα σου, ἀλλὰ παρέδωκας αὐτὰ ἀντὶ σοῦ τοῦ σφαγῆναι; λέγω οὖν σοι, οἵαν ὥραν ἀπέρχεται τὸ ὕδωρ τοῦτο, εἰς τὴν ἄβυσσον πορευθῇς μετὰ τῶν δεκατεσσάρων δημίων τῶν φονευόντων τοὺς ἀνθρώπους καθ' ἑκάστην ἡμέραν. καὶ ἦλθεν εἰς τὸν τόπον τῆς ληνοῦ ἔνθα τοὺς ἀνθρώπους ἐσφαγίαζον. καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ὁ μακάριος ηὔξατο ἀπέναντι παντὸς τοῦ ὄχλου, καὶ ἀνεῴχθη ἡ γῆ καὶ κατέπιε τὸ ὕδωρ σὺν τῷ γηραιῷ· εἰς τὴν ἄβυσσον κατηνέχθη σὺν τοῖς δημίοις. καὶ θεασάμενοι οἱ ἄνδρες τὸ γεγονὸς ἐφοβήθησαν σφόδρα καὶ ἤρξαντο λέγειν Οὐαὶ ἡμῖν, ὅτι ὁ ἄνθρωπος οὗτος ἐκ θεοῦ ἐστίν, καὶ νῦν ἀποκτενεῖ ἡμᾶς διὰ τὰς θλίψεις ἃς πεποιήκαμεν αὐτῷ. ἰδοὺ γὰρ τί εἶπεν τοῖς δημίοις καὶ τῷ γηραιῷ, συνέβη αὐτοῖς. νῦν οὖν κελεύσει τῷ πυρὶ καὶ καύσει ἡμᾶς. καὶ ἀκούσας Ἀνδρέας εἶπεν πρὸς αὐτούς Μὴ φοβεῖσθε, τεκνία· κἀκείνους γὰρ οὐ μὴ ἐάσω εἰς τὸν ᾅδην, ἀλλὰ ἐπορεύθησαν ἐκεῖνοι ἵνα ὑμεῖς πιστεύσητε εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

32 Τότε ἐκέλευσεν ὁ ἅγιος Ἀνδρέας ἐνεχθῆναι πάντας τοὺς

---

31. γέρων: C γηραιός | παιδία: C τέκνα | ἵνα σφ. α. ἀ. αὐτοῦ: C εἰς βρῶσιν | ἐδέετο πρὸς τῶν (haec tria verba conieci magis quam legi) -- Ἐλέησόν με: C ἐδέετο αὐτοῦ | καὶ ἀποκριθεὶς -- γηραιῷ: C καὶ εἶπεν αὐτῷ ὁ ἀπόστολος | Θαυμάζω -- λέγω οὖν σοι: C Θαυμάζω λέγειν μοι ἐλεῆσαί σε, σὺ δοὺς τέκνα εἰς σφαγήν | οἵαν ὥραν -- φονευόντων (codex φονέωντων) -- ἐσφαγίαζον: C ἐν ᾗ λέγω σοι ὅπως (sic apud Thilonem haec leguntur) πορευθῇς ἐν ἀβύσσῳ μετὰ τῶν τεσσάρων δημίων τῶν ἀποκτενόντων τοὺς ἀνθρώπους, καὶ μείνητε ἐν τῷ ᾅδῃ [ἕως] ἂν ἐπιστρέψω καὶ ἀνενέγκω ὑμᾶς, ἵνα ὑποδειχθῶσιν ὑμῖν οἱ τόποι τῆς φονεύσεως ὑμῶν, καὶ τῷ γηραιῷ τούτῳ τὸν τόπον (sic) τῆς ἀνελεημοσύνης καὶ τῆς παραδόσεως. ἀκολουθούντων δὲ τῶν ἀνδρῶν καὶ τὸ ὕδωρ διαχωριζόμενον ἐκ τῶν ποδῶν τοῦ ἁγίου, ἕως ὅτου ἦλθεν εἰς τὸν τόπον τῆς ληνοῦ ἐν ᾧ τοὺς ἀνθρώπους ἔσφαζον | ὁ μακάριος: C add Ἀνδρέας | ηὔξατο -- δημίοις: C ἤρξατο ἀπέναντι τοῦ ὄχλου εὔχεσθαι, καὶ ἠνεῴχθη ἡ γῆ, καὶ κατεπόθη τὸ ὕδωρ σὺν τοῖς δημίοις καὶ τῷ γηραιῷ εἰς τὴν ἄβυσσον | καὶ θεασάμενοι -- Ἰησοῦν Χριστόν: C οἱ δὲ ἄνθρωποι ἐφοβήθησαν μή πως ἀναλώσει (codex ἀνηλώσει) τούτους διὰ τὰ ἅπερ ἐνέδειξαν ἐν αὐτῷ. καὶ εἶπεν αὐτοῖς ὁ ἀπόστολος Μὴ φοβεῖσθε· οὐκ ἐάσω ἐν τῷ ᾅδῃ κἀκείνους· ἐπορεύθησαν γὰρ ἵνα ὑμεῖς πιστεύσητε.

32. ὁ ἅγιος Ἀνδρέας: C ὁ μακάριος | C om πάντας | ἴσχυσαν -- καὶ κτη-

Digitized by Google

τελευτήσαντας ἐν τῷ ὕδατι, καὶ οὐκ ἴσχυσαν ἐνέγκαι αὐτούς· πολὺς γὰρ ἦν τελευτήσας ὄχλος ἀνδρῶν τε καὶ γυναικῶν καὶ παιδίων καὶ κτηνῶν. τότε ηὔξατο Ἀνδρέας, καὶ πάντες ἀνέζησαν. καὶ μετὰ ταῦτα ἐχάραξε τύπον ἐκκλησίας καὶ ἐποίησεν οἰκοδομηθῆναι τὴν ἐκκλησίαν. καὶ βαπτίσας παρέδωκεν αὐτοῖς τὰς ἐντολὰς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγων πρὸς αὐτούς Στήκετε πρὸς ταῦτα ἵνα γνῶτε τὰ μυστήρια τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ ἐδέοντο αὐτοῦ πάντες Δεόμεθά σου, ποίησον πρὸς ἡμᾶς ὀλίγας ἡμέρας ἵνα κορεσθῶμεν τῆς σῆς πηγῆς, ὅτι ἡμεῖς νεόφυτοί ἐσμεν. καὶ δεομένων αὐτῶν οὐκ ἐπείθετο, ἀλλ' εἶπεν αὐτοῖς Πορεύσομαι πρῶτον πρὸς τοὺς μαθητάς μου. καὶ ἠκολούθουν ὄπισθεν τὰ παιδία κλαίοντα καὶ δεόμενα σὺν τοῖς ἀνδράσιν, καὶ ἔβαλαν σποδὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν· καὶ οὐκ ἐπείθετο αὐτοῖς ἀλλ' εἶπε Πορεύσομαι πρὸς τοὺς μαθητάς μου, καὶ μετὰ ταῦτα ἐπανέλθω πρὸς ὑμᾶς. καὶ ἐπορεύετο τὴν ὁδὸν αὐτοῦ.

[33] Καὶ κατῆλθεν ὁ κύριος Ἰησοῦς γενόμενος ὅμοιος μικρῷ παιδίῳ εὐπρεπεῖ, καὶ συναντήσας τὸν Ἀνδρέαν εἶπεν Ἀνδρέα, διὰ τί ἐξῆλθες ἐάσας αὐτοὺς ἀκάρπους, καὶ οὐκ ἐσπλαγχνίσθης ἐπὶ τοῖς παιδίοις τοῖς ἀκολουθοῦσιν ὄπισθέν σου καὶ τῶν δεομένων ἀνδρῶν ὅτι ποίησον μεθ' ἡμῶν ἡμέρας ὀλίγας; ἡ γὰρ βοὴ αὐτῶν καὶ ὁ κλαυθμὸς ἀνέβη εἰς οὐρανούς. νῦν οὖν ἐπιστρέψας εἴσελθε εἰς τὴν πόλιν καὶ παράμεινον ἐκεῖ ἡμέρας ἑπτά, ἕως οὗ ἐπιστη-

---

νῶν: C ἴσχυσαν ἀπὸ τοῦ πλήθους | τότε ηὔξ. Ἀνδρέας: C καὶ ηὔξατο | καὶ μετὰ τ. ἐχάρ. τύπ. ἐκκλ. (eadem ex D adnotavi) -- τὴν ἐκκλησίαν: C εἶτα διεχάραξε τύπον ἐκκλησίας ἐπὶ γῆς, καὶ ᾠκοδόμησαν αὐτήν | C om βαπτίσας | τοῦ κυρ. ἡμ. Ἰ. Χρ. -- τὴν ὁδὸν αὐτοῦ: C τοῦ θεοῦ· καὶ τὰ μυστήρια τοῦ Χριστοῦ οὐ παρέδωκεν αὐτοῖς, ἀλλ' εἶπε Πορεύομαι πρὸς τοὺς μαθητάς μου, καὶ πάλιν ἔρχομαι καὶ στηρίξω ὑμᾶς ἐν τῇ πίστει, καὶ ἀναγάγω τοὺς δημίους σὺν τῷ γηραιῷ ἐκ τῆς ἀβύσσου. ἐκεῖνοι δὲ εἶπον Δεόμεθά σου, ποίησον [πρὸς] ἡμᾶς ὀλίγας ἡμέρας ὅπως φωτίσῃς ἡμᾶς. καὶ οὐκ ἐπένευσεν, ἀλλ' ἠκολούθουν αὐτῷ κλαίοντες καὶ σποδὸν βάλλοντες ἐπὶ τὰς κεφαλὰς αὐτῶν.

33. C ὁ κύρ. ἡμῶν Ἰ. Χριστὸς ὅμοιος παιδὶ μικρῷ εὐπρ., καὶ συναντ. τῷ ἀποστόλῳ ἔφη | Ἀνδρέα -- ἐξῆλθες (codex ἐξελθών) ἐάσας -- κλαυθμὸς (codex κλαθμὸς) -- στηρίξω (codex στηρίζω) -- ἐν τῇ πίστει: C Ἀνδρέα, διὰ τί ἀναχωρεῖς ἐάσας -- καὶ διὰ τί οὐκ εὐσπλαγχνίσθης ἐπὶ τοῖς μικροῖς παιδ. τούτοις τοῖς κλαίουσιν ὄπισθέν σου καὶ δεομένοις σὺν τοῖς ἀνδράσιν ὅτι ποίησον -- εἰς οὐρανούς (C ἐν τοῖς οὐρανοῖς) -- εἰς τὴν πόλιν (C ἐν τῇ πόλει) -- ἐν τ. πίστει |

Digitized by Google

ρίξω τὰς ψυχὰς αὐτῶν ἐν τῇ πίστει· καὶ τότε ἀπελεύσει εἰς τὴν χώραν τῶν βαρβάρων σὺ καὶ οἱ μαθηταί σου. καὶ μετὰ τὸ εἰσελθεῖν σε ἐν τῇ πόλει ταύτῃ, καὶ κηρύξεις τὸ εὐαγγέλιόν μου καὶ ἀνενέγκῃς τοὺς ἄνδρας τοὺς ἐν τῇ ἀβύσσῳ, καὶ ποιήσεις ἃ σοι ἐντέλλομαι.

Τότε Ἀνδρέας ἐπιστρέψας εἰσῆλθεν ἐν τῇ πόλει λέγων Εὐλογήσω σε, κύριέ μου Ἰησοῦ Χριστὲ ὁ σῶσαι θέλων πᾶσαν ψυχήν, ὅτι οὐκ εἴασάς με ἐξελθεῖν ἐκ τῆς πόλεως ταύτης σὺν τῷ θυμῷ μου. καὶ εἰσελθόντος αὐτοῦ εἰς τὴν πόλιν ἰδόντες αὐτὸν ἐχάρησαν χαρὰν μεγάλην σφόδρα, καὶ ἐποίησεν ἐκεῖ ἡμέρας ἑπτὰ διδάσκων καὶ ἐπιστηρίζων αὐτοὺς ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστόν. καὶ πληρωθέντων τῶν ἑπτὰ ἡμερῶν ἐγένετο ἐν τῷ ἐκπορεύεσθαι τὸν μακάριον Ἀνδρέαν συνήχθησαν ἐπ' αὐτὸν πάντες ἀπὸ παιδίου καὶ ἕως πρεσβυτέρου, καὶ προέπεμπον αὐτὸν λέγοντες Εἷς θεὸς Ἀνδρέου, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς ὁ ποιῶν θαυμάσια μόνος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

καὶ τότε ἀπελεύσει (C - ση) -- ἐντέλλομαι ex C; A sic: καὶ ἐξέλθῃς ἐκ τῆς πόλεως ταύτης καὶ ἀπελεύσει εἰς τὴν πόλιν τῶν βαρβάρων, καὶ ἐξέλθῃς ἀπ' αὐτῶν καὶ πάλιν εἰσέλθῃς εἰς τὴν πόλιν ταύτην

Τότε -- ἐν τῇ (A om) πόλει -- ψυχήν: C Τότε ἐπιστρέψας ὁ μακάριος Ἀνδρ. ἦλθεν ἐν τῇ πόλει λέγων Εὐλογῶ σε, κύριε | εἴασας: A ἔασας | καὶ εἰσελθόντος -- σφόδρα: C καὶ ἰδόντες αὐτὸν οἱ πολῖται ἐχάρησαν σφόδρα | καὶ ἐποίησεν (A καὶ ποιήσας) ἐκεῖ -- Ἰησοῦν Χριστόν cum A et E; C καὶ ἐποίησεν -- ἐπιστηρίζων ἐν τῇ πίστει | καὶ πληρωθέντων -- ἐκπορεύεσθαι (E πορεύεσθαι) -- ἐπ' αὐτὸν πάντες (A πάντ. ἐπ' αὐτ.) ἀ π. καὶ (A om) ἕως -- προέπ. αὐτόν cum A et E; C καὶ πληρ. τ. ἑ. ἡμερῶν συνήχθησαν ἐπ' αὐτῷ πάντες ἀπὸ νηπίου μέχρι πρεσβύτου, καὶ προέπ. ἐν τῷ ἐκπορεύεσθαι αὐτόν | Verbis προέπεμπον (codex πρὸἐπεμπᾶν) αὐτόν codex A exit. Reliqua ex C (cum Thilone) ac fere etiam E addidimus: Εἷς (E add ὁ) θεὸς -- καὶ τὸ κράτος (E add σὺν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ καὶ ἁγίῳ πνεύματι) εἰς τ. αἰ. (E add τῶν αἰώνων), ἀμήν. In D vero ista acta finiuntur his: Τότε ὁ ἀπόστολος ἠθέλησεν ἐξελθεῖν πάλιν εἰς τὸ κήρυγμα· καὶ συναχθέντες ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν ἔλεγον Εἷς θεὸς καὶ πατὴρ πάντων, εἷς κύριος, μία πίστις, ἓν βάπτισμα· ὃ ἐδιδάχθημεν ὑπὸ τοῦ πατρὸς ἡμῶν Ἀνδρέου τοῦ πρωτοκλήτου ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Digitized by Google

ΠΡΑΞΙΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ.

Κατ' ἐκεῖνον τὸν καιρὸν ἦν ἐν τῷ ὄρει καταμόνας ἡσυχάζων ὁ ἅγιος ἀπόστολος καὶ εὐαγγελιστὴς τοῦ Χριστοῦ Ματθαῖος καὶ εὐχόμενος ἐν τῷ χιτῶνι καὶ τῇ στολῇ τῇ ἀποστολικῇ χωρὶς ὑποδήματος· καὶ ἰδοὺ ἐν σχήματι τῶν ψαλλόντων ἐν τῷ παραδείσῳ νηπίων ἦλθεν πρὸς τὸν Ματθαῖον ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ Εἰρήνη σοι, Ματθαῖε. ὁ δὲ Ματθαῖος ἀτενίσας εἰς αὐτὸν καὶ μὴ ἐγνωκὼς τίς εἴη εἶπεν Χάρις σοι καὶ εἰρήνη, ὦ παιδίον κεχαριτωμένον· καὶ τί ὧδε ἐλήλυθας ἐπ' ἐμοί, καταλιπὼν τοὺς ψάλλοντας ἐν τῷ παραδείσῳ καὶ τὴν ἐκεῖ τρυφήν; ὅτι ὧδε ὁ τόπος ἔρημός ἐστιν καὶ ὁποίαν παραθήσω σοι τράπεζαν ὦ παιδίον ἀγνοῶ, ὅτι ἄρτος οὐκ ἔστιν μοι οὔτε ἐν ἀγγείῳ ἔλαιον, ἀλλὰ καὶ οἱ ἄνεμοι ἡσυχάζουσιν τοῦ καταβαλεῖν ἐκ τῶν δένδρων τι ἐπὶ τὴν γῆν εἰς τροφήν· ὅτι μόνον εἰς συμπλήρωσιν τῆς νηστείας μου τῶν τεσσεράκοντα ἡμερῶν τῇ κινήσει τῶν ἀνέμων πιπτόντων τῶν

---

* Par Μαρτύριον τοῦ ἁγίου Μ. τ. ἀποστ. Vind Πρᾶξις καὶ μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου.

1. Κατ' ἐκεῖνον τὸν καιρὸν -- -- χιτῶνι cum Vind: Par Ὁ ἅγιος Ματθαῖος (adde ἦν) ἐν τῷ ὄρει καταμόνας μονάζων καὶ εὐχόμενος ἐν χιτῶνι | Ματθαῖε: Vind add ἠγαπημένε | εἰς αὐτόν ex Vind: Par αὐτῷ | Par om καὶ μὴ ἐγν. τ. εἴη | Χάρις ex Par: Vind Χαρά | Vind om κεχαριτωμένον | καταλιπών: Par -λειπών, Vind -λειπῶν | ὅτι ὧδε -- -- ἐστιν ex Par: Vind ὧδε ἔρημός ἐστιν ὁ τόπος | ὁποίαν -- -- ἀγνοῶ ex Par: Vind ὁποίαν τράπεζαν ἵνα ποιήσω σοι ἀγνοῶ | Vind ὅτι οὐκ ἔστ. μου ἄρτος | Vind om ἐν ἀγγείῳ | Par om ἀλλά, οἱ, τοῦ | τι ἐπὶ τ. γῆν: Vind καρπὸν ἐπὶ τῆς γῆς | τροφήν: Vind add ἡμῶν | ὅτι μόνον εἰς συμπλ. ex Par: Vind ἐπειδὴ γὰρ ἐν τῇ συμπληρώσει | τῆς νηστείας -- -- ἡμερῶν: Vind τῶν τεσσεράκοντα (Par τεσσαράκ.) ἡμερῶν τῶν νηστειῶν | πιπτόντων

Digitized by Google

καρπῶν μεταλαμβάνων δοξάζω μου τὸν Ἰησοῦν. νῦν οὖν τί προσενέγκω σοι, παιδίον καλόν; ἀλλ' οὔτε ὕδωρ ἐγγὺς ἵνα νίψω σου τοὺς πόδας.

[2] Καὶ εἶπεν τὸ παιδίον Τί λέγεις, ὦ Ματθαῖε; σύνες καὶ σοφίσθητι ὅτι λόγος ἀγαθὸς ὑπὲρ μόσχον, καὶ ῥήματα πραότητος ὑπὲρ πᾶν λάχανον τοῦ ἀγροῦ, καὶ φθέγμα γλυκὺ ὡς τὸ μύρον τῆς ἀγάπης, καὶ ἱλαρότης προσώπου ὑπὲρ χορτασίαν, καὶ ὄψις ἀγαθὴ ὡς εἶδος τῆς γλυκασίας. σύνες Ματθαῖε, καὶ γνώσει ὅτι ὁ παράδεισος ἐγώ, ὁ παράκλητος ἐγώ, ἡ δύναμις τῶν ἄνω δυνατῶν ἐγώ, ἡ ἰσχὺς τῶν ἐγκρατευομένων ἐγώ, ὁ στέφανος τῶν παρθένων ἐγώ, ἡ σωφροσύνη τῶν μονογάμων ἐγώ, τὸ καύχημα τῶν χηρευόντων ἐγώ, τὸ φυλακτήριον τῶν νηπίων ἐγώ, ὁ θεμέλιος τῆς ἐκκλησίας ἐγώ, ἡ βασιλεία τῶν ἐπισκόπων ἐγώ, ἡ δόξα τῶν πρεσβυτέρων ἐγώ, ἡ εὐλογία τῶν διακόνων ἐγώ. ἀνδρίζου καὶ ἴσχυε, Ματθαῖε, ἐν τούτοις τοῖς λόγοις.

[3] Ὁ δὲ Ματθαῖος εἶπεν Πάνυ με ἔτερψεν ἡ ὅρασίς σου, ὦ παιδίον, ἀλλὰ καὶ οἱ λόγοι σου ζωῆς μεστοί εἰσιν· καὶ γὰρ τὸ πρόσωπόν σου ὑπὲρ ἀστραπὴν λάμπει, καὶ οἱ λόγοι σου ἡδύτατοι πάνυ. καὶ ὅτι μὲν ἴδον σε ἐν τῷ παραδείσῳ ὡς ἔψαλλες μετὰ τῶν ἄλλων νηπίων τῶν ἀναιρεθέντων ἐν Βηθλεέμ, ἀκριβῶς ἐπίσταμαι· πῶς δὲ ἐνταῦθα ἐλήλυθας ἄφνω, πάνυ με τοῦτο θαυμάζει. ἓν δέ ἐρωτῶ σε, ὦ παιδίον· ἐκεῖνος ὁ ἀσεβὴς Ἡρῴδης ποῦ τυγχάνει; λέγει αὐτῷ τὸ παιδίον Ἐπεὶ ἠρώτησας, ἄκουσον τούτου τὸ οἰκητήριον. οἰκεῖ μὲν ἐν τῷ ᾅδῃ· κατεσκεύασται δὲ αὐτῷ πῦρ ἄσβεστον, γέεννα ἀτελεύτητος, βόρβορος κοχλάζων,

---

τῶν ex Vind: Par τῶν πιπτόντων | παιδίον καλόν: Vind παιδ. εὐλογημένον ἀγνοῶ | ἐγγύς: Vind add ὑπάρχει | Par om τούς

2. Vind Λέγει τὸ παιδ. πρὸς αὐτόν Ὦ Ματϑ. | Vind σοφίσϑητι, ὁ λόγος ὁ ἀγαϑὸς ὑπ. μόσχ. ὑπάρχει | Vind ῥῆμα | ἀγαϑή: Par om | τῆς γλυκασίας: Vind om τῆς | Vind σύνες ὦ Ματϑ. καὶ ἐπίγνωϑι ὅτι | Vind om ἄνω | Par om τὸ καύχ. τ. χηρ. ἐγώ | Vind om ἡ δόξα τ. πρεσβ. ἐγώ | Ματϑαῖε: Par Ματϑεία | Vind ἐν τοῖς λόγ. τούτοις

3. Vind Ὁ δὲ μακάριος Ματϑ. ἀκούσας ταῦτα εἶπεν Ὦ παιδίον τίμιον, πάνυ με ἔτ. ἡ ὅρ. σ. | ζωῆς μ. εἰσιν: Vind μεστοὶ ζωῆς πλήρης (sic) ὑπάρχουσιν | Par om καὶ οἱ λόγοι σου ἡδύτατοι πάνυ | Par om μέν | Vind Βεϑλεέμ | ϑαυμάζει: Vind ἐκπλήττει | ὦ παιδίον: Vind add τίμιον | ἄκουσον τούτου τὸ οἰκητήριον: haec coniungenda duxi. Manu scriptum est ἄκουσον· τούτου etc |

Digitized by Google

σκώληξ ἀκοίμητος, ὅτι τρισχίλια νήπια ἀνεῖλεν φονεῦσαι θέλων Ἰησοῦν τὸ παιδίον, τὸν τῶν αἰώνων πρεσβύτερον· ἀλλὰ τῶν αἰώνων τούτων πάντων πατὴρ ἐγώ εἰμι. [4] Νῦν οὖν, ὦ Ματθαῖε, δέξαι τὴν ῥάβδον μου ταύτην καὶ κάτελθε ἀπὸ τοῦ ὄρους καὶ εἴσελθε εἰς Μύρνην τὴν πόλιν τῶν ἀνθρωποφάγων καὶ φύτευσον αὐτὴν πρὸς τῷ πυλῶνι τῆς ἐκκλησίας ἧς ἐθεμελίωσας σύ τε καὶ Ἀνδρέας· καὶ ἅμα τῷ φυτεῦσαί σε ταύτην ἔσται δένδρον μέγα καὶ ὑψηλὸν καὶ πολύκλωνον, καὶ ἐκταθήσονται οἱ κλάδοι αὐτοῦ ἐπὶ πήχεις τριάκοντα, καὶ ἑνὸς ἑκάστου κλάδου ὁ καρπὸς ἔσται διαλλάσσων καὶ τῇ ὁράσει καὶ τῇ βρώσει, καὶ ἀπὸ ἄκρου τοῦ δένδρου ἔσται καταρρέον μέλι πολύ, καὶ ἐκ τῆς ῥίζης αὐτοῦ ἐξελεύσεται πηγὴ μεγάλη ποτίζουσα τὴν περίχωρον ταύτην κύκλῳ, καὶ ἐν αὐτῇ νηκτὰ καὶ ἑρπετά, καὶ ἀπολούσονται ἐν αὐτῇ οἱ ἀνθρωποφάγοι καὶ φάγονται ἀπὸ τοῦ καρποῦ τῶν δένδρων τῆς ἀμπέλου καὶ τοῦ μέλιτος, καὶ ἀλλαγήσονται τὰ σώματα αὐτῶν, καὶ αἱ εἰδέαι αὐτῶν μεταλλαγήσονται ὡς αἱ τῶν λοιπῶν ἀνθρώπων, καὶ αἰδεσθήσονται τὴν γυμνότητα τοῦ σώματος αὐτῶν καὶ ἐνδύσονται ἐνδύματα ἀπὸ τῶν κριῶν τῶν προβάτων, καὶ οὐκέτι ἀκάθαρτα φάγονται· ἔσται δὲ τὸ πῦρ αὐτοῖς εἰς ὑπηρεσίαν, ἑτοιμάζοντες τὰς θυσίας εἰς προσφοράς, καὶ τοὺς ἄρτους ὀπτήσουσιν ἐν πυρί, καὶ ὄψονται ἀλλήλους ἐν ὁμοιώματι τῶν λοιπῶν ἀνθρώπων, καὶ ἐπιγνώσονται μὲ καὶ δοξάσουσιν τὸν πατέρα μου τὸν ἐν τοῖς οὐρανοῖς. νῦν οὖν σπεῦσον Ματθαῖε καὶ κατάβηθι ἐντεῦθεν, ὅτι ἐγγύς ἐστιν διὰ πυρὸς τοῦ σώματός σου ἡ ἔξοδος καὶ τῆς ὑπομονῆς σου ὁ στέφανος.

σκώληξ: Vind καὶ σκώλ. | τρισχίλια νήπια: Vind ἕνδεκα χιλ. (per compendium scriptum est) παῖδας νηπίων | θέλων: Vind θελήσας | Vind om τὸν τῶν αἰ. πρ. ἀλλὰ τ. αἰ. | Vind τούτων δὲ πάντων πατὴρ καὶ ποιμὴν καὶ ὁδηγὸς ἐγώ εἰμι

4. ῥάβδ. μου: Par om μου | Μύρνην: Vind om | πρὸς τῷ πυλῶνι: Par πρὸς τὴν πύλην | Ἀνδρέας: Vind add ὁ πρωτόκλητος | φυτεῦσαί σε: Vind φυτεύσαι σει, Par om σε | ὁ καρπός: Vind add αὐτοῦ | Vind ἀπ' ἄκρου | δένδρ. ἔσται καταρρέον: Par δένδρ. καταρίσσον (i. e. -ρρῆσσον) | Vind om ταύτην | καὶ ἐν αὐτῇ νηκτὰ καὶ ἑρπετά: haec Par post μεγάλη ponit | Vind αἱ εἰδέαι (ita uterque codex) μεταστραφήσονται ὡς τῶν | Vind om καὶ αἰδεσθ. τ. γ. τ. σώματος αὐτῶν | Vind ἐνδυθήσονται | Vind om τῶν κριῶν | αὐτοῖς εἰς: Vind αὐτῷ εἰς | σπεῦσον: Vind πίστευσόν μοι | διὰ πυρ. τ. σ. σ. ἡ ἔξοδος: Vind ἡ διὰ π. τ. σ. σου ἔξοδος

Digitized by Google

[5] Καὶ ταῦτα εἰπὼν τὸ παιδίον καὶ δοὺς αὐτῷ τὴν ῥάβδον ἀνελήφθη εἰς τοὺς οὐρανούς. ὁ δὲ Ματθαῖος κατίει ἐκ τοῦ ὄρους σπεύδων ἐπὶ τὴν πόλιν. μέλλοντος δὲ αὐτοῦ εἰσιέναι ἐν τῇ πόλει ὑπήντησαν αὐτῷ Φουλβανὰ ἡ γυνὴ τοῦ βασιλέως καὶ ὁ υἱὸς αὐτοῦ Φουλβανὸς καὶ ἡ τούτου γυνὴ Ἐρβά, οἵτινες ὑπῆρχον ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἐπεβόουν κράζοντες Τίς σε ἤγαγεν ἐνταῦθα πάλιν, Ματθαῖε, ἢ τίς ἔδωκέν σοι τὴν ῥάβδον ἐπὶ τὸν ἡμῶν ὄλεθρον; ὁρῶμεν γὰρ καὶ τὸν παῖδα Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ σὺν σοὶ ὄντα. μὴ μέλλε οὖν, ὦ Ματθαῖε, φυτεῦσαι τὴν ῥάβδον εἰς τροφὴν καὶ εἰς μεταμόρφωσιν τῶν ἀνθρωποφάγων. εὗρον δὲ τί ποιήσω σοι· ἐπειδὴ γὰρ ἐφυγάδευσάς με ἐκ τῆς πόλεως ταύτης καὶ ἐκώλυσας μὴ ἐκτελεῖσθαί μου τὰ θελήματα ἐν τοῖς ἀνθρωποφάγοις, ἰδοὺ ἐγὼ ἐπεγερῶ ἐπὶ σὲ τὸν βασιλέα τῆς πόλεως ταύτης καὶ κατακαύσει σε ζῶντα. ὁ δὲ Ματθαῖος ἑνὶ ἑκάστῳ τῶν δαιμονιζομένων χεῖρας ἐπιθεὶς τοὺς μὲν δαίμονας ἐφυγάδευσεν, τοὺς δὲ ἀνθρώπους ἐποίησεν ὑγιεῖς· καὶ ἠκολούθησαν αὐτῷ.

[6] Οὕτως δὲ καταδήλου γεγονότος τοῦ πράγματος, μαθὼν ὁ ἐπίσκοπος Πλάτων τὴν παρουσίαν τοῦ ἁγίου ἀποστόλου Ματθαίου ὑπήντησεν αὐτῷ σὺν παντὶ τῷ κλήρῳ, καὶ πεσόντες εἰς τὴν γῆν κατεφίλουν τοὺς πόδας αὐτοῦ. ὁ δὲ Ματθαῖος ἤγειρεν αὐτοὺς καὶ ἀπίει σὺν αὐτοῖς εἰς τὴν ἐκκλησίαν· ἦν δὲ σὺν αὐτῷ καὶ τὸ παιδίον Ἰησοῦς. γενόμενος δὲ ὁ Ματθαῖος πρὸς τὸν πυλῶνα τῆς ἐκκλησίας, στὰς ἐπί τινος ὑψηλοῦ καὶ ἑδραίου λίθου,

---

5. Par εἰς τὸν οὐρανόν | Vind ὁ δὲ μακάριος Ματθ. | κατίει (Par κατείη) ἐκ: Vind κατῆλθεν ἀπό | Vind καὶ μέλλοντος αὐτοῦ | Par εἰς τὴν πόλιν | Vind ὑπήντησεν | ἐπεβόουν: Par ἐβόουν | Vind πάλιν ἐνταῦθα | ἐπὶ τ. ἡμ. ὄλεθρον: Vind ἐπὶ τῇ ἡμ. ἀπωλείᾳ καὶ συντριβῇ | μὴ μέλλε οὖν ὦ Ματθ.: Vind ὥστε ὦ Ματθ. μὴ μέλλε | εἰς τροφὴν καί: Vind ἥνπερ κατέχεις | εὗρον δὲ τί π. σοι: Vind ἐπεὶ εὕρωμα γνώσω τί μοι αὐτὸ τί σοι ποιήσω (sic) | Vind ἐφυγ. μοι ἅμα Ἀνδρέου ἀπὸ τῆς πόλ. | ταύτης: Par om | ἐκτελεῖσθαι: Par ἐντελεῖσθαι | ἀνθρωποφάγοις: Vind add τούτοις, καὶ νῦν πάνυ τὰ αὐτὰ βούλει πρᾶξαι | ἐγώ: Par om | Vind ὁ δὲ μακάριος Ματθ. ταῦτα ἀκούσας καὶ ἐπιτιμήσας αὐτὸν ἀπέκαμψεν μετ' αἰσχύνης· εἶτα ἐπιθεὶς ἑνὶ ἑκάστῳ τὰς χεῖρας τοὺς μὲν δαίμ. παραχρῆμα ἐφυγ.

6. Vind Ὡς δὲ καταδ. τοῦ πράγμ. γεγονότος | Par om ἀποστόλ. Ματθ. | Vind ὁ δὲ μακάριος Ματθαῖος | ἀπίει: Vind ἀπεί | ἦν δὲ — Ἰησοῦς: Par καὶ ἦν σὺν τῷ παιδίῳ | Vind γενόμενος οὖν ὁ ἀπόστολος τοῦ Χριστοῦ Ματθαῖος

Digitized by Google

καὶ τῆς πόλεως πάσης συνδραμούσης, μάλιστα τῶν πεπιστευκότων ἀδελφῶν, ἤρξατο λέγειν Ἄνδρες καὶ γυναῖκες οἱ συμπαρόντες τῇ ἡμετέρᾳ θέᾳ, οἱ τὸ πρὶν τὸ πᾶν πιστεύοντες, νῦν δὲ τὸν τὸ πᾶν συστησάμενον καὶ πεποιηκότα γνωρίζοντες, οἱ τὸν Σάτυρον μέχρι νῦν σεβόμενοι καὶ ὑπὸ μυρίων ψευδωνύμων θεῶν ἐμπαιζόμενοι, ἄρτι δὲ τὸν ἕνα καὶ μόνον θεὸν κύριον κριτὴν διὰ Ἰησοῦ Χριστοῦ ἐπεγνωκότες, οἱ τὸ ἀμέτρητον μέγεθος τῆς κακίας ἀποθέμενοι, τὸ δὲ ὁμοιοπαθὲς τῆς εἰς ἀνθρώπους φιλοστοργίας ἀγάπην ἐνδυσάμενοι, οἵ ποτε τοῦ Χριστοῦ ἀλλότριοι, νῦν δὲ κύριον καὶ θεὸν αὐτὸν ὁμολογοῦντες, οἱ τὸ πρὶν ἄμορφοι, νῦν δὲ διὰ Χριστοῦ μεμορφωμένοι· ἰδοὺ ἡ βακτηρία ἣν ὁρᾶτε ἐν τῇ χειρί μου, ἣν ἔδωκέν μοι ὁ Ἰησοῦς εἰς ὃν ὑμεῖς ἐπιστεύσατε καὶ μέλλετε πιστεύειν, κατανοήσατε νῦν τὰ γινόμενα δι' ἐμοῦ καὶ ἐπίγνωτε τὸν πλοῦτον τῆς μεγαλειότητος ὃν ποιήσει σήμερον ὑμῖν. ἰδοὺ γὰρ ἐγὼ τὴν ῥάβδον ταύτην φυτεύσω εἰς τὸν τόπον τοῦτον, καὶ ἔσται ὑπόδειγμα εἰς τὰς γενεὰς ὑμῶν, καὶ γενήσεται δένδρον μέγα καὶ ὑψηλὸν καὶ εὐθαλές, καὶ ὁ καρπὸς αὐτοῦ καλὸς τῇ ὁράσει καὶ ἀγαθὸς τῇ ὄψει, καὶ εὐωδία ἀρωμάτων ἐξελεύσεται ἀπ' αὐτοῦ, καὶ ἄμπελος ἔσται περιπεπλεγμένη αὐτῷ, πλήρης βοτρύων, καὶ ἀπὸ ἄκρου αὐτοῦ μέλι καταβαῖνον, καὶ πᾶν πετεινὸν ἐν τοῖς κλάδοις αὐτοῦ κατασκηνώσει, καὶ πηγὴ ὕδατος ἐξελεύσεται ἐκ τῆς ῥίζης αὐτοῦ ἔχουσα νηκτὰ καὶ ἑρπετά, ποτίζουσα τὴν κύκλῳ πᾶσαν χώραν.

[7] Καὶ ταῦτα εἰπὼν καὶ ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ ἔπηξεν τὴν ῥάβδον αὐτοῦ εἰς τὴν γῆν, καὶ εὐθέως ἐνεπήγη ἐπὶ πῆχυν ἕνα. καὶ ἦν τὸ θέαμα ξένον καὶ θαυμαστόν·

πρὸς τῷ πυλῶνι | καὶ τῆς πόλεως: Vind om καί | λέγειν: Vind add πρὸς αὐτοὺς οὕτως | συμπαρόντες: Par παρόντες | Vind οἱ τὸ πρὶν θρησκεύοντες πᾶν κακόν, νῦν δὲ τὸν τοῦ παντὸς κόσμου σύστημα πεποιηκότα γνωρίσαντες | Vind τὸν Σατούρην | Vind παιζόμενοι | κύριον: Vind καί (ut videtur) | Vind κριτὴν πάντων | Par om Ἰησοῦ | Vind ἐπιγινώσκοντες | διὰ Χριστοῦ: Vind διὰ Χριστόν | Par μορφούμενοι | Vind ἰδοὺ ἡ βακτ. μου αὕτη ἣν δέδωκέν μοι ὁ κύριος Ἰησοῦς | Vind φυτεύω τὴν ῥάβδ. ταύτην | ὑπόδειγμα: Par φύτευμα | γενήσεται: Par ἔσται | εὐθαλές: uterque codex εὐθαλῆ | Vind καὶ ἐξελεύσ. ἐξ αὐτοῦ εὐωδ. ἀρωμ. | Vind ἀπ' ἄκρου | Par om ἑρπετά

7. Καὶ ταῦτα εἰπών: Vind Ταῦτα εἰπὼν ὁ ἅγιος τοῦ Χριστοῦ ἀπόστολος Ματθαῖος καὶ πλείονα τούτων πρὸς τὸν ὄχλον | Par om εἰς τὴν γῆν, καὶ εὐθέως ἐνεπήγη | καὶ ἦν: Vind νῦν δέ | θέαμα ξένον: Par θαῦμα μέγα

Digitized by Google

ἡ γὰρ ῥάβδος εὐθέως βλαστήσασα ηὐξήθη καὶ ἐγένετο εἰς δένδρον μέγα, καθὰ ἐλάλησεν ὁ Ματθαῖος. εἶπεν δὲ ὁ ἀπόστολος Εἰσέλθατε εἰς τὴν πηγὴν καὶ πλύνατε ἐν αὐτῇ τὰ σώματα ὑμῶν, καὶ εἶθ' οὕτως μεταλάβετε καὶ τῶν καρπῶν τοῦ δένδρου καὶ τῆς ἀμπέλου καὶ τοῦ μέλιτος, καὶ ἀπὸ τῆς πηγῆς πίεσθε, καὶ μορφωθήσεσθε ἐν ὁμοιώματι ἡμῶν τῶν ἀνθρώπων· καὶ μετὰ ταῦτα εἰσελθόντες ἐν τῇ ἐκκλησίᾳ ἐπιγνώσεσθε ἀκριβῶς ὅτι ζῶντι καὶ ἀληθινῷ θεῷ ἐπιστεύσατε. καὶ ποιήσαντες ταῦτα πάντα ἴδον ἑαυτοὺς ἐνηλλαγμένους ἐν ὁμοιώματι τοῦ Ματθαίου· εἶθ' οὕτως προσελθόντες εἰς τὴν ἐκκλησίαν προσεκύνησαν καὶ ἐδόξασαν τὸν θεόν. καὶ ἐναλλαγέντων αὐτῶν ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔτρεχον ἕκαστος ἐν σπουδῇ ἐν τοῖς ἰδίοις οἴκοις σκεπάσαι τὴν γυμνότητα αὐτῶν, ὅτι ἠσχύνοντο.

[8] Ὁ δὲ Ματθαῖος καὶ ὁ Πλάτων ἔμειναν ἐν τῇ ἐκκλησίᾳ διανυκτερεύοντες καὶ δοξάζοντες τὸν θεόν. ἔμεινεν δὲ καὶ ἡ τοῦ βασιλέως γυνὴ καὶ ὁ υἱὸς αὐτοῦ καὶ ἡ τούτου γαμετή, καὶ ἐδεήθησαν τοῦ ἀποστόλου δοῦναι αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα. καὶ προσέταξεν ὁ Ματθαῖος τὸν Πλάτωνα· καὶ ἐξελθὼν ἐβάπτισεν αὐτοὺς ἐν τῷ ὕδατι τῆς πηγῆς τοῦ δένδρου εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ εἶθ' οὕτως εἰσελθόντες ἐν τῇ ἐκκλησίᾳ ἐκοινώνησαν τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων· καὶ ἦσαν ἀγαλλιώμενοι καὶ διανυκτερεύοντες καὶ αὐτοὶ μετὰ τοῦ ἀποστόλου, πολλῶν καὶ ἄλλων συνεληλυθότων· καὶ ἔψαλλον ἅπαντες οἱ ἐν τῇ ἐκκλησίᾳ ὅλην τὴν νύκτα δοξάζοντες τὸν θεόν.

καθὰ – – ὁ ἀπόστολος: Vind καθὰ προεῖπεν ὁ ἅγιος ἀπόστολος καὶ εὐαγγελιστὴς τοῦ Χριστοῦ Ματθαῖος. μετὰ δὲ ταῦτα πάντα γενέσθαι εἶπεν ὁ ἅγιος ἀπόστολος τοῦ Χριστοῦ Ματθαῖος πρὸς τὸν ἐληλυθότα πρὸς αὐτὸν ὄχλον | Par om εἶθ' οὕτως | Vind μεταλαμβάνετε | καὶ τῶν καρπων: Par τοῦ καρποῦ | πίεσθε: Par πίετε | μορφωθήσεσθε: Par μορφώθητε | Par om τῶν ἀνθρώπων | Par om μετὰ ταῦτα | Par εἰσελθόντ. εἰς τὴν ἐκκλησίαν ἐπίγνωτε ὅτι | ταῦτα πάντα: Par τοῦτο | εἶθ' οὕτως προσελθόντες: Par καὶ εἰσελθόντες | Vind προσεκύνησαν τὸν θεὸν ἐν ἀληθινῇ καρδίᾳ· | ἔγνωσαν: Vind add ἀληθῶς | Vind αἰσχύνοντο et add γυμνοὶ ὄντες

8. Vind Ὁ δὲ μακάριος Ματθαῖος καὶ ὁ ἐπίσκοπος Πλάτων ἅμα τῷ κλήρῳ ἔμειναν | Par om καὶ δοξάζ. τ. θεόν | γαμετή: Par γυνή | Vind ἐδεήθ. τῷ ἀποστόλῳ | Vind τότε προσέταξεν ὁ ἅγιος Ματθαῖος τῷ ἐπισκόπῳ Πλάτωνι | Par om εἶθ' οὕτως | Par εἰσελθ. εἰς τὴν ἐκκλησίαν | τῶν ἁγίων τ. Χρ. μυστηρίων: Par τῆς εὐχαριστείας | Par om καὶ αὐτοὶ μετὰ τ. ἀποστ. | Par συνελθόντων | Par πάντες

Digitized by Google

9 Ὡς δὲ ἐτελειώθη ὁ ὄρθρος, ἐλθὼν ὁ μακάριος Ματθαῖος ἅμα τῷ ἐπισκόπῳ Πλάτωνι ἔστη ἐν τῷ τόπῳ ἐν ᾧ ἡ ῥάβδος ἐφυτεύθη, καὶ ὁρᾷ τὴν ῥάβδον εἰς δένδρον μέγα γενομένην, καὶ πλησίον αὐτοῦ ἄμπελον συμπεπλεγμένην, καὶ μέλι καταβαῖνον ἀπὸ ἄνω ἕως τῆς ῥίζης αὐτοῦ· καὶ ἦν ἅπαξ ἐκεῖνο τὸ δένδρον καλὸν καὶ εὐθαλές, παρόμοιον τῶν ἐν τῷ παραδείσῳ φυτῶν, καὶ πόταμος ἐκπορευόμενος ἐκ τῆς ῥίζης αὐτοῦ ποτίζων πᾶσαν τὴν γῆν τῆς πόλεως Μύρνης. καὶ συνέτρεχον πάντες καὶ ἤσθιον ἀπὸ τοῦ καρποῦ τοῦ δένδρου καὶ τῆς ἀμπέλου, καθώς τις ἠβούλετο.

10 Ὡς δὲ τὰ γενόμενα διεδόθη ἐν τῷ παλατίῳ, μαθὼν ὁ βασιλεὺς Φουλβανὸς τὰ ὑπὸ τοῦ Ματθαίου πεπραγμένα περὶ τῆς γυναικὸς αὐτοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ καὶ τῆς νύμφης αὐτοῦ, ἠγαθύνθη πρὸς ὥραν ἐπὶ τῇ καθάρσει αὐτῶν· ἐπειδὴ δὲ ἀχώριστοι ἦσαν τοῦ Ματθαίου, ἐξήφθη θυμῷ καὶ ὀργῇ καὶ ἐσκέψατο ἀναλῶσαι αὐτὸν ἐν πυρί. τῇ δὲ νυκτὶ ἐκείνῃ, ἐν ᾗ ἤμελλεν ὁ βασιλεὺς χειροῦσθαι τὸν Ματθαῖον, ἴδεν ὁ Ματθαῖος τὸν Ἰησοῦν λέγοντα αὐτῷ Μετὰ σοῦ εἰμὶ πάντοτε τοῦ σώζειν σε, Ματθαῖε· ἴσχυε καὶ ἀνδρίζου.

11 Ὁ δὲ μακάριος Ματθαῖος διυπνισθεὶς καὶ κατασφραγίσας ἑαυτὸν καθ' ὅλου τοῦ σώματος ἀνέστη εἰς ὄρθρον καὶ ἐπορεύθη εἰς τὴν ἐκκλησίαν, καὶ κλίνας τὰ γόνατα προσηύχετο ἐκτενῶς. εἶτα ἐλθόντος τοῦ ἐπισκόπου καὶ τοῦ κλήρου ἔστησαν κοινῶς εἰς προσευχήν, δοξάζοντες τὸν θεόν. καὶ μετὰ τὸ τελέσαι αὐτοὺς τὴν εὐχὴν εἶπεν ὁ ἐπίσκοπος Πλάτων Εἰρήνη σοι, Ματθαῖε ἀπόστολε

---

9. Vind Ὡς δὲ ὄρθρος ἀλεύη (sic), προσελθών | Vind καταβαίνων | ἀπὸ ἄνω ἕως τῆς: Par ἐκ τῆς | Vind τὸ δένδρ. ἐκεῖνο | εὐθαλές: Vind εὐθαλή, Par εὐθαλήν | τῶν ἐν τ. π. φυτῶν: Par τῶν ὄντων ἐν τ. παραδ. | ἐκ τῆς ῥίζης αὐτοῦ: Par ἐκ τῆς πηγῆς | Μύρνης (cf. supra sect. 4.): Par Σμύρνης, nec aliter Vind, ut videtur. | ἀμπέλου: Vind add καὶ μέλιτος | καθώς τις ἠβούλετο: Vind καθόσον ἠβούλοντο

10. Ὡς δέ: Vind Καὶ ὡς | Par γινόμενα | διεδόθη ἐ. τ. π. μαθών: Par ἴδεν | τὰ ὑπὸ τ. (Vind add μακαρίου) Ματθ. πεπρ. περί: Par ὑπὸ τ. Ματθ. καὶ τὰ περί | υἱοῦ αὐτοῦ: Vind om αὐτοῦ | ἠγαθύνθη: Vind ἐχάρη | Vind τοῦ μακαρίου Ματθ. | ἐξήφθη θ. κ. ὀργῇ καί: Par καὶ πάλιν | Par om ἐκείνῃ | Vind τὸν μακάριον Ματθαῖον | Vind om ὁ Ματθαῖος | Μετά: Vind praem Ματθαῖε (postea om) δοῦλέ μου ἀγαπητὲ καὶ πιστέ | Par om πάντοτε

11. Tota haec sectio ex Vindobonensi codice desumta est: desideratur in Parisiensi.

κοινῶς: codex καινῶς

Digitized by Google

τοῦ Χριστοῦ. καὶ ὁ μακάριος Ματθαῖος εἶπεν αὐτῷ Εἰρήνη ὑμῖν. καὶ καθεσθέντων αὐτῶν εἶπεν ὁ ἀπόστολος τῷ ἐπισκόπῳ Πλάτωνι καὶ παντὶ τῷ κλήρῳ Βούλομαι τέκνα γνῶναι ὑμᾶς, τοῦ Ἰησοῦ φανερώσαντός μοι, ὅτι ὁ βασιλεὺς τῆς πόλεως ταύτης μέλλει ἐπιστέλλειν ἐπ' ἐμὲ στρατιώτας, εἰσελθόντος ἐπ' αὐτὸν τοῦ διαβόλου καὶ εἰς τὸ φανερὸν ὁπλίσαντος καθ' ἡμῶν. ἀλλὰ ἀναθώμεθα ἑαυτοὺς τῷ Ἰησοῦ, καὶ αὐτὸς ῥύσεται ἡμᾶς ἀπὸ παντὸς πειρατηρίου καὶ πάντας τοὺς πεποιθότας ἐπ' αὐτόν.

12 Διαβουλευομένου δὲ τοῦ βασιλέως κατὰ τοῦ μακαρίου Ματθαίου τὸ πῶς χειρώσηται αὐτόν, ὁρῶν δὲ καὶ τοὺς πιστεύοντας πλείστους ὄντας, μάλιστα ἠπόρει καὶ ἐν πολλῇ ἀμηχανίᾳ ὑπῆρχεν.

Ὁ οὖν πονηρὸς καὶ ἀκάθαρτος διάβολος ὁ ἐξεληλυθὼς ἀπὸ τῆς γυναικὸς τοῦ βασιλέως καὶ τοῦ υἱοῦ αὐτοῦ καὶ τῆς νύμφης αὐτοῦ, φυγαδευθεὶς ὑπὸ τοῦ Ματθαίου, μετασχηματίσας ἑαυτὸν ἐν ὁμοιώματι στρατιώτου ἔστη ἐνώπιον τοῦ βασιλέως καὶ λέγει αὐτῷ Ὦ βασιλεῦ, τί οὕτως ἠττήθης ὑπὸ τοῦ ξένου καὶ φαρμακοῦ τούτου; ἢ ἀγνοεῖς ὅτι τελώνης ἐστίν, νῦν δὲ ἐκλήθη ἀπόστολος ὑπὸ Ἰησοῦ τοῦ σταυρωθέντος ὑπὸ Ἰουδαίων; ἰδοὺ γὰρ ἡ γυνή σου καὶ ὁ υἱός σου καὶ ἡ νύμφη σου κατηχηθέντες ὑπ' αὐτοῦ ἐπίστευσαν εἰς αὐτὸν καὶ σὺν αὐτῷ ψάλλουσιν ἐν τῇ ἐκκλησίᾳ, καὶ νῦν ἰδοὺ ἐκπορεύεται ὁ Ματθαῖος καὶ ὁ Πλάτων σὺν αὐτῷ, καί εἰσιν εἰσπορευόμενοι ἐπὶ τὴν πύλην τὴν λεγομένην βαρείαν· ἀλλὰ σπεῦσον καὶ εὑρήσεις αὐτούς, καὶ ποιήσεις αὐτῷ πᾶν ὃ ἀρεστὸν ἦ ἐν ὀφθαλμοῖς σου.

13 Ταῦτα ἀκούσας ὁ βασιλεὺς καὶ πλέον παροξυνθεὶς ὑπὸ τοῦ δῆθεν στρατιώτου ἀπέστειλεν ἐπὶ τὸν μακάριον Ματθαῖον τέσσαρας στρατιώτας, ἐπαπειλήσας αὐτοῖς καὶ εἰπὼν ὅτι ἐὰν

ὁπλίσαντος; codex ὁπλήσαντας

12. Διαβουλευομένου (codex διαβουομένου) δὲ -- ὑπῆρχεν ex Vind: Par om πονηρὸς καὶ ἀκάθαρτος: Par om | ὁ ἐξεληλυθὼς: Vind ἐξελθών | Ὦ βασιλεῦ: Par om | Vind ὑπὸ τοῦ φαρμάκου (hoc accentu) τούτ. καὶ ξένου | ἐστίν: Vind ἦν | ὑπὸ Ἰησοῦ: Par ὑπὸ τοῦ κυρίου | Par om ἐπίστευσαν εἰς αὐτὸν καὶ | ἐκκλησίᾳ: Vind add καθ' ἑκάστην | Vind καὶ νῦν ἐξελήλυθεν ὁ Ματθ. | Vind πορευόμενοι | εὑρήσεις αὐτούς, καὶ -- ὀφθαλμ. σου: Par εὑρήσεις αὐτὸν καὶ ἐνοίξεις (sic) αὐτόν, καὶ ποιήσει πάντα τὰ ἀρεστά σου

13. 14. Post Ταῦτα ἀκ. ὁ βασ. καὶ (πλέον om) παρωξυν- in codice Pa-

Digitized by Google

μὴ ἀγάγητε τὸν Ματθαῖον πρὸς μέ, ζῶντας ὑμᾶς ἀναλώσω ἐν πυρί, καὶ τὴν τιμωρίαν ἣν μέλλει ἐκεῖνος ὑφίστασθαι, ὑμεῖς αὐτὴν ὑπομείνητε. οἱ δὲ στρατιῶται ταῦτα ἀπειληθέντες παρὰ τοῦ βασιλέως ἔρχονται ἐν ὅπλοις ὅπου ἦν ὁ ἀπόστολος Ματθαῖος καὶ ὁ ἐπίσκοπος Πλάτων· καὶ ὡς ἤγγισαν αὐτοῖς, τὴν μὲν λαλιὰν αὐτῶν ἤκουον, οὐδένα δὲ ἔβλεπον. καὶ ἐλθόντες εἶπον τῷ βασιλεῖ Δεόμεθά σου, βασιλεῦ· πορευθέντες οὐδένα εὕρομεν, ἀλλ' ἢ μόνον φωνὰς ἠκούομεν ὁμιλούντων. ὀργισθεὶς δὲ ὁ βασιλεὺς καὶ ἐξαφθεὶς ὡς πῦρ προσέθηκεν ἀποστεῖλαι ἄλλους δέκα στρατιώτας ἀνθρωποφάγους, εἰπὼν αὐτοῖς ὅτι ὑπελθόντες ὑμεῖς ἐπὶ τῷ τόπῳ ζῶντας διασπαράξετε καὶ καταφάγετε τὸν Ματθαῖον καὶ τὸν σὺν αὐτῷ ὄντα Πλάτωνα. ὡς δὲ ἤμελλον ἐγγίζειν τῷ μακαρίῳ Ματθαίῳ, ἐλθὼν ὁ κύριος Ἰησοῦς Χριστὸς ἐν ὁμοιώματι παιδίου ὡραιοτάτου κρατὼν λαμπάδα πυρὸς ἔδραμεν εἰς συνάντησιν αὐτῶν διακαίων τοὺς ὀφθαλμοὺς αὐτῶν. οἱ δὲ φωνηθέντες ῥίψαντες ἀφ' ἑαυτῶν τὰ ὅπλα ἔφυγον, καὶ ἦλθον πρὸς τὸν βασιλέα ἄλαλοι ὑπάρχοντες.

14 Ὁ δὲ δαίμων ὁ ἐν τῷ στρατιωτικῷ σχήματι ὀφθεὶς πρότερον τῷ βασιλεῖ, πάλιν σχηματισθεὶς ἐν σχήματι στρατιώτου ἔστη ἐνώπιον τοῦ βασιλέως καὶ λέγει αὐτῷ Ὁρᾷς, ὦ βασιλεῦ, τοὺς πάντας ἐμάγευσεν ὁ ξένος οὗτος· διανόησαι οὖν πῶς αὐτὸν ἀνελεῖς. λέγει αὐτῷ ὁ βασιλεύς Ἀνάγγειλόν μοι πρότερον ἐν τίνι ἡ ἰσχὺς αὐτοῦ, ἵνα γνῶ, καὶ τότε αὐτῷ παρατάξω ἐν πολλῇ δυνάμει. ὁ δὲ δαίμων ἀναγκαζόμενος ὑπ' ἀγγέλου λέγει τῷ βασιλεῖ Ἐπεὶ ἀκοῦσαι βούλει ἀκριβῶς περὶ αὐτοῦ, βασιλεῦ, ἐρῶ σοι πᾶσαν τὴν ἀλήθειαν· ὄντως εἰ μὴ θελήσῃ ἑκουσίως ὑπὸ σοῦ ἀναλωθῆναι, μάτην κοπιᾷς καὶ οὐ δυνήσῃ βλάψαι αὐτόν· εἰ δὲ καὶ σὺ θέλεις ἐπιβαλεῖν αὐτῷ χεῖρας, ἀορασίᾳ πληγήσῃ ὑπ' αὐτοῦ καὶ παράλυτος ἔσῃ· κἂν πλῆθος στρατιωτῶν ἀποστείλῃς πρὸς αὐτόν, ἀορασίᾳ πληγήσονται καὶ αὐτοὶ καὶ παράλυτοι ἔσονται. ἐλευσόμεθα δὲ καὶ ἑπτὰ ἀκάθαρτοι δαίμονες, καὶ εὐθέως ἀφανίσομεν σὲ καὶ ὅλον τὸ στρατόπεδόν σου καὶ πᾶσαν τὴν πόλιν κε-

risiensi folium excidisse videtur. Rursus incipit a verbo ἀτενίσαι, exeunte sect. 14.

13. ἀγάγητε: codex ἀγάγετε | εἰπ. αὐτοῖς: codex εἰπ. αὐτούς

14. ἀφανίσομεν σέ: codex ἀφανισομένος

Digitized by Google

ραυνῷ ἀπολέσομεν, παρὲξ τῶν ὀνομαζόντων τὸ φοβερὸν καὶ ἅγιον ἐκεῖνο τοῦ Χριστοῦ ὄνομα. ὅτι εἰ καί που ἴχνος αὐτῶν ἐπιβῇ, ἐκεῖθεν διωκόμενοι φεύγομεν· εἰ δὲ καὶ πῦρ προσάψεις αὐτῷ, ἔσται αὐτῷ τὸ πῦρ δρόσος· καὶ ἐν καμίνῳ αὐτὸν ἐὰν κατακλείσῃς, ἔσται αὐτῷ ἡ κάμινος ἐκκλησία· καὶ ἐν φυλακῇ ἐὰν δεσμεύσῃς αὐτὸν καὶ κατασφραγίσῃς τὰς θύρας, αὐτομάτως αὐτῷ ἀνοιγήσονται αἱ θύραι, καὶ πάντες οἱ πιστεύσαντες ἐκείνῳ τῷ ὀνόματι εἰσελεύσονται καὶ αὐτοὶ καὶ ἐροῦσιν Αὕτη ἡ φυλακὴ ἐκκλησία θεοῦ ζῶντος ὑπάρχει καὶ μοναζόντων σεμνὸν οἰκητήριον. ἰδού, βασιλεῦ, εἶπόν σοι πᾶσαν τὴν ἀλήθειαν. λέγει οὖν ὁ βασιλεὺς τῷ δῆθεν στρατιώτῃ Ἐπειδὴ τὸν Ματθαῖον οὐκ ἐπίσταμαι, δεῦρο σὺν ἐμοὶ καὶ ὑπόδειξόν μοι αὐτὸν πόρρωθεν καὶ λαβὲ παρ' ἐμοῦ χρυσίον ὅσον ἐὰν βούλει, ἢ ἀπελθὼν αὐτὸς ἐν τῇ σῇ βομφαίᾳ ἄνελε αὐτὸν καὶ Πλάτωνα τὸν σύμμορφον αὐτοῦ. λέγει αὐτῷ ὁ δαίμων Ἐγὼ οὐ δύναμαι αὐτὸν ἀνελεῖν, ἀλλ' οὐδὲ εἰς τὸ πρόσωπον αὐτοῦ τολμῶ ἀτενίσαι, ἐπειδὴ πᾶσαν ἡμῶν τὴν γενεὰν αὐτὸς ἐξηφάνισεν διὰ τοῦ ὀνόματος τοῦ κηρυττομένου δι' αὐτοῦ Χριστοῦ.

[15] Λέγει αὐτῷ ὁ βασιλεύς Σὺ δὲ τίς εἶ; ὁ δὲ λέγει Ἐγώ εἰμι ὁ δαίμων ὁ ἐνοικήσας ἐν τῇ γυναικί σου καὶ ἐν τῷ υἱῷ σου καὶ ἐν τῇ νύμφῃ σου, καὶ ὄνομά μοι Ἀσμοδαῖος· καὶ ὁ Ματθαῖος οὗτος ἐφυγάδευσέν με ἐξ αὐτῶν, καὶ νῦν ἰδοὺ ἡ γυνή σου καὶ ὁ υἱός σου καὶ ἡ νύμφη σου ψάλλουσιν σὺν αὐτῷ εἰς τὴν ἐκκλησίαν. ἐπίσταμαι δέ, βασιλεῦ, ὅτι καὶ σὺ μετὰ ταῦτα πιστεύσεις αὐτῷ. λέγει αὐτῷ ὁ βασιλεύς Ὅστις εἶ, πνεῦμα πολύμορφον, ὁρκίζω σε τὸν θεὸν ὃν κηρύσσει ὃν λέγεις Ματθαῖος, ὑποχώρησον ἐντεῦθεν μηδένα ἀδικήσας. καὶ εὐθέως ὁ δαίμων

ἐὰν δεσμεύσῃς: codex om ἐάν | λαβέ: hoc accentu in codice scriptum est | ἀτενίσαι: ab hoc verbo rursus incipit Par | ἐπειδὴ πᾶσαν ἡμ. τ. γ. αὐτός: Par ὅλην γὰρ τὴν γενεὰν ἡμῶν

15. Σὺ δέ: Vind om δέ | ὁ δὲ λέγει: Vind λέγει αὐτῷ ὁ δαίμων | καὶ ὄνομά μοι: Vind ἔστιν δέ μοι ὄνομα | Par Ἀσμόδεος | Vind καὶ ἐφυγάδευσέν με ἐξ. αὐτ. ὁ Ματθαῖος, καὶ νῦν ἡ | Par om καὶ ὁ υἱός σου | πιστεύσεις αὐτῷ: Vind πιστεύσεις ἐν μετανοίᾳ τῷ ὑπὸ τοῦ Ματθαίου κηρυττομένῳ θεῷ, ὅτι αὐτός ἐστι κύριος μόνος καὶ βασιλεὺς εἰς τοὺς αἰῶνας. | Vind ὁ δὲ βασιλεὺς πτοηθεὶς λέγει αὐτῷ | Ὅστις εἶ, πν. πολ., ὁρκ. σε: Par Ὁρκίζω σε, πνεῦμα πολύμ. | Ματθαῖος: Par Ματθαῖον | ἀδικήσας: Par ἀδικήσῃς | Par om εὐθέως

Digitized by Google

οὐκέτι ὡς στρατιώτης ἀλλ' ὡς καπνὸς γενάμενος ἀφανὴς κατέστη, φευγὼν δὲ ἐβόα Ὦ ὄνομα ἀπόκρυφον καθ' ἡμῶν ὁπλισθέν, δέομαί σου τοῦ ἁγίου δοῦλε θεοῦ Ματθαῖε, συγχώρησόν μοι καὶ οὐκέτι μένω εἰς τὴν πόλιν ταύτην· ἔχε σὺ τοὺς σούς, ἐγὼ δὲ ἀπέρχομαι εἰς τὸ πῦρ τὸ αἰώνιον.

16 Τότε φόβῳ μεγάλῳ συσχεθεὶς ὁ βασιλεὺς ἐπὶ τῇ ἀποκρίσει τοῦ δαίμονος, ἐκείνην μὲν τὴν ἡμέραν ἡσύχασεν· τῆς δὲ νυκτὸς ἐπελθούσης καὶ μηδὲ καθευδῆσαι δυνάμενος διὰ τὸ ἄσιτον αὐτὸν εἶναι, ἀναπηδήσας ὄρθρου μετὰ δύο μόνων στρατιωτῶν χωρὶς ὅπλων ἐπορεύετο εἰς τὴν ἐκκλησίαν δόλῳ λαβεῖν τὸν Ματθαῖον, ὅπως αὐτὸν ἀνέλῃ· καὶ προσκαλεσάμενος δύο τινὰς φίλους τοῦ Ματθαίου εἶπεν αὐτοῖς Δηλώσατε τῷ Ματθαίῳ, φησίν, ὅτι βούλομαι μαθητεῦσαι αὐτῷ. ἀκούσας δὲ ὁ Ματθαῖος καὶ γνοὺς τὸν δόλον τοῦ τυράννου, ὑπομνησθεὶς δὲ καὶ τὸ ὑπὸ τοῦ κυρίου ὁραθὲν αὐτῷ, ἐξῆλθεν ἐκ τῆς ἐκκλησίας χειραγωγούμενος ὑπὸ τοῦ Πλάτωνος, καὶ ἔστη ἐν τῷ πυλῶνι τῆς ἐκκλησίας.

17 Καὶ λέγουσιν τῷ βασιλεῖ Ἰδοὺ ὁ Ματθαῖος ἐν τῷ πυλῶνι. ὁ δέ φησιν Τίς ἐστιν ἢ ποῦ ἐστίν, οὐχ ὁρῶ. οἱ δὲ ἔλεγον αὐτῷ Ἰδοὺ αὐτὸς ἐν ὄψει σού ἐστιν. καὶ λέγει Ἐγὼ τέως οὐδένα ὁρῶ. θεοῦ γὰρ δυνάμει ἀπετυφλώθη. καὶ ἤρξατο βοᾶν Οὐαί μοι τῷ ἀθλίῳ· τί πέπονθα; ἀπετυφλώθησαν γάρ μου οἱ ὀφθαλμοὶ καὶ πάντα μου τὰ μέλη παρελύθησαν. ὦ Ἀσμοδαῖε βεελζεβοὺλ σα-

---

καπνός: Vind add καὶ ἀσβολή (hoc accentu) | Vind γενόμενος | φευγὼν δέ: Par καὶ φυγών | ἐβόα: Vind ἔλεγεν οὕτως | δοῦλε θεοῦ: Vind θεοῦ δοῦλε | καὶ οὐκέτι: Par om καί

16. Τότε φόβῳ: Par Φόβῳ δέ | ἐκείνην μ. τ. ἡμέραν: Par τῇ ἐκείνῃ ἡμέρᾳ | Vind καὶ μὴ δυνάμενος καθευδῆσαι· οὔτε γὰρ ἔφαγεν οὔτε ἔπιεν νῦν ἀδημονῶν περὶ τούτου· ὄρθρου δὲ γενομένου ἀναστὰς παρέλαβεν δύο μόνους στρατιώτας καὶ ἐπορεύθη εἰς | Vind τὸν μακάριον Ματθαῖον | ἀνέλῃ: Par ἀνελεῖ | τινὰς φίλ. τ. Ματθαίου: Par τινὰς ὄντας αὐτῷ φίλους | Vind ἔλεγεν αὐτοῖς | Vind Δηλώσατε τ. Ματθ. ὅτι ὁ βασιλεὺς πάρεστιν βουλόμενος μαθητεῦσαί σοι. οἱ δὲ εἰσελθόντες ἀπήγγειλαν τῷ ἁγίῳ κατὰ τὰ ῥήματα ταῦτα. ἀκούσας δὲ ταῦτα ὁ Ματθ. | Par om καὶ γνοὺς τ. δ. τ. τυράννου | ὑπομν. δὲ καί: Par καὶ ὑπομν. | ὁραθὲν αὐτῷ: Vind ἀποκαλυφθὲν αὐτῷ ὅραμα | Vind om ἐκ | Πλάτωνος: Vind ἐπισκόπου | ἔστη ἐν τῷ πυλ. τ. ἐκκλησίας: Vind ἔστη ἐνώπιον τοῦ βασιλέως

17. ἐν τ. πυλῶνι: Vind ὧδε ἵσταται | Vind ὁ δὲ βασιλεύς φησιν | ἐν ὄψει σού ἐστιν: Par ἔστηκεν ἐνώπιόν σου | καὶ λέγει Ἐγὼ – – παρελύθησαν: Par καί φησιν Οἴμοι, οὐδένα ὁρῶ· οὐαί μοι, οὐαί, ὅτι ἀπετυφλώθην ἐγὼ καὶ εἰμι παράλυτος ἐκ πάντων τῶν μελῶν. | Par om Ἀσμοδαῖε | βεελζεβούλ: Vind βελζε-

Digitized by Google

τανᾶ, πάντα ὅσα εἴρηκάς μοι ἀπέβησαν ἐν ἐμοί. ἀλλὰ δέομαι σοῦ, δοῦλε τοῦ θεοῦ Ματθαῖε, ἀμνησικάκησόν μοι ὡς ἀγαθοῦ θεοῦ κήρυξ· τάχα γὰρ ὁ διὰ σοῦ κηρυττόμενος Ἰησοῦς πρὸ τριῶν ἡμερῶν διὰ τῆς νυκτὸς ἐμφανισθείς μοι ὅλως ἐξαστράπτων ὥσπερ τις νεανίσκος εὔμορφος εἶπέν μοι Ἐπειδὴ παραλογίζει ἐν τῇ πονηρίᾳ τῆς καρδίας σου περὶ τοῦ δούλου μου Ματθαίου, γίνωσκε, ἐφανέρωσα αὐτῷ ὅτι διὰ σοῦ ἔσται ἡ ἀπαλλαγὴ τοῦ σώματος αὐτοῦ. καὶ εὐθὺς ἴδον αὐτὸν εἰς οὐρανοὺς ἀνελθόντα. εἰ οὖν οὗτός ἐστιν ὁ θεός σου καὶ θεὸς ἀληθινὸς ὑπάρχει, καὶ εἰ βούλεται τὸ σῶμά σου ἐν τῇ ἡμετέρᾳ ταφῆναι πόλει εἰς μνημόσυνον σωτηρίας τῶν μετὰ ταῦτα γενεῶν καὶ φυγαδευτήριον δαιμόνων, ἐν τούτῳ γνώσομαι τὸ ἀληθές, ἐν τῷ ἐπιθῆναί σε τὰς χεῖρας ἐπ' ἐμὲ καὶ ἀναβλέψω. ἐπιθεὶς δὲ ὁ ἀπόστολος τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἰπών Ἐφφαθὰ Ἰησοῦ, ἀναβλέψαι αὐτὸν ἐποίησεν παραχρῆμα.

[18] Εὐθὺς δὲ ὁ βασιλεὺς κρατῶν τὸν ἀπόστολον καὶ τῇ δεξιᾷ χειραγωγῶν αὐτὸν δόλῳ ἦγαγεν εἰς τὸ παλάτιον· ὁ δὲ Πλάτων ἦν ἐν τῇ ἀριστερᾷ τοῦ Ματθαίου συνπορευόμενος καὶ ἀποκρατῶν αὐτόν. τότε λέγει ὁ Ματθαῖος Τύραννε δόλιε, μέχρι πότε οὐκ ἐκτελεῖς τὰ ἔργα τοῦ πατρός σου τοῦ διαβόλου; καὶ ὀργίσθη ἐπὶ τοῖς εἰρημένοις· διενοεῖτο μὲν γὰρ πικροτέρῳ θανάτῳ τιμωρήσασθαι αὐτόν. ἐπεκράτησεν δὲ τοῦ ἀναλῶσαι αὐτὸν πυρί. καὶ

βούλ | πάντα ὅσα -- ἐν ἐμοί: Par ὅσα εἴρηκας γεγόνασίν μοι. | δοῦλε τοῦ θεοῦ: Par μακάριε | μοι: ita uterque codex | Vind θεοῦ ἀγαθοῦ | Ἰησοῦς: Vind θεός | Vind om διὰ τῆς νυκτός | Vind ἐμφανίσας ὅλος | Vind νεανίας | παραλογίζει -- περί: Vind πολλὰ λογίζῃ πονηρὰ ἐν τῇ καρδίᾳ σου περί | γίνωσκε (adde ὅτι?) ἐφανέρωσα: ita uterque codex | Vind καὶ εὐθέως ἴδον ἐκεῖνον τὸν νεανίσκον εἰς | καὶ θεός ἀλ. ὑπάρχει: Par θεὸς ἀληθής ἐστιν | Vind καὶ βούλεται τὸ λείψανόν σου ἐν τῇ ἡμ. πόλει ταφῆναι | σωτηρίας τῶν -- καὶ ἀναβλέψω: Par σωτηρίας φυγαδεύειν τοὺς ἀφανεῖς δαίμονας, τὸ ἀναβλέψαι με παράσχου ἰασάμενός με. | ἐπιθεὶς -- παραχρῆμα: Vind ὁ δὲ μακάριος Ματθ. ταῦτα ἀκούσας καὶ ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ ἐπέθηκεν αὐτῷ τὰς χεῖρας, καὶ εὐθέως ἀνέβλεψεν.

18. Vind Τότε ὁ βασιλεὺς χειραγωγῶν τὸν Ματθαῖον ἐν τοῖς δεξιοῖς μέρεσι, ὁ δὲ Πλάτων ἐν τοῖς ἀριστεροῖς, ἦγαγεν αὐτὸν ἐς τὸ παλάτιον. γνοὺς δὲ ὁ ἀπόστολος τὸν δόλον τοῦ τυράννου λέγει αὐτῷ Τύραννε καὶ αἱμοπότα, ἕως πότε κρύπτεις σου τὸν ἰὸν καὶ οὐ φανεροῖς αὐτὸν πράττων τὰ ἔργα τοῦ πατρός σου τοῦ σατανᾶ; διενοεῖτο γὰρ συμπορευόμενος αὐτῷ παίω θανάτῳ ἀναλῶσαι αὐτόν. καὶ προσκαλεσάμενος τὸν στρατὸν αὐτοῦ ἔφη αὐτοῖς Κρατήσαντες τὸν Ματθαῖον ἀπά-

Digitized by Google

προσέταξεν πλείονας ἐλθεῖν δημίους καὶ εἰς τὸν παραθαλάσσιον αὐτὸν ἀπαγαγεῖν τόπον, ἔνθα αἱ τῶν κακούργων ἀναιρέσεις γίνονται, εἰπὼν τοῖς δημίοις Ἀκούω, φησίν, ὅτι ὁ θεὸς ὃν κηρύσσει ἐκ πυρὸς τοὺς πιστεύοντας εἰς αὐτὸν ῥύεται. καταθέμενοι οὖν αὐτὸν εἰς γῆν κατὰ νῶτα καὶ ἐκτείναντες ἐν ἥλοις σιδηροῖς περονήσατε αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ καταστεγάσατε αὐτὸν παπύρῳ, συνβρέξαντες ἐλαίῳ τῶν δελφίνων· θείῳ δὲ καὶ ἀσφάλτῳ καὶ πίσσῃ συγχώσατε αὐτόν, καὶ στυππίον καὶ κληματίδας ἐπάνω· οὕτω τὸ πῦρ αὐτῷ προσάψατε· καὶ εἴ τις τῶν ὁμοφύλων ἀναστήσεται ὑμῖν, τῆς αὐτῆς τεύξεται τιμωρίας.

19 Ὁ δὲ ἀπόστολος παρεκάλεσεν τοὺς ἀδελφοὺς μεῖναι ἀταράχους, καὶ ἵνα μετὰ πολλῆς πραότητος χαίροντες ἐπακολουθῶσιν, ψάλλοντες καὶ εὐλογοῦντες τὸν θεόν, ὅτι κατηξιοῦντο ἔχειν τοῦ ἀποστόλου τὸ λείψανον. ἐλθόντες οὖν ἐπὶ τὸν τόπον οἱ δήμιοι ὡς κάκιστοι θῆρες κατεπερόνησαν ἐν ἥλοις μακροῖς εἰς γῆν τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ Ματθαίου, καὶ πάντα ποιήσαντες ὡς προσετάχθησαν προσῆψαν τὸ πῦρ· καὶ αὐτοὶ μὲν ἔκαμνον πυκνῶς ἐξάπτοντες κύκλῳ, ὅλον δὲ τὸ πῦρ μετεβάλλετο εἰς δρόσον, ὡς τοὺς ἀδελφοὺς χαίροντας ἐκβοᾶν Εἷς θεὸς ὁ τῶν Χριστιανῶν ὁ βοηθῶν τῷ Ματθαίῳ, εἰς ὃν καὶ ἡμεῖς ἐπιστεύσαμεν· εἷς θεὸς ὁ τῶν Χριστιανῶν ὁ τὸν ἴδιον ἀπόστολον ἐν πυρὶ διασώζων. καὶ ἀπὸ τῆς φωνῆς ἐσείσθη ἡ πόλις. καὶ ἐξελθόντες τινὲς τῶν δη-

---

γετε εἰς τὸν παραϑαλάσσιον τόπον, ἔνϑα τῶν κακούργων ἀναίρεσις γίνεται. ἤκουσα γάρ τινων λεγόντων ὅτι ὁ ϑεὸς αὐτοῦ ὃν κηρ. ἐκ τοῦ πυρὸς τοὺς αὐτῷ πιστ. ῥύεται. ἐκτείναντες οὖν αὐτὸν κατὰ νώτου εἰς τὴν γῆν κατασπείρατε ἥλοις τὰς χεῖρας αὐτοῦ καὶ τοὺς πόδας, καὶ εἶϑ' οὕτως καταστεγάσατε -- ἐλαίῳ δελφιναίῳ καὶ ϑείῳ καὶ ἀσφ. κ. πίσσῃ, καὶ συγχώσαντες αὐτὸν κληματίδες (-τίδας?) ἐξάψατε πυράν· καὶ εἴ τις τ. ὁμοφ. (Par om τ. ὁμοφ.) ἀναστήσ. ὑμῖν (Par ὑμ. ἀναστῇ), τ. αὐτῆς (Par ἴσης) τ. τιμ.

19. Vind Ὁ δὲ ἀπόστ. τοῦ Χριστοῦ Ματϑαῖος πολλὰ παρεκάλεσεν τ. ἀδ. μ. ἀταρ., παραινῶν αὐτοὺς καὶ λέγων ὅτι εἴ τις βούλεται ἐναντίον τι διαπράξασϑαι, τῇ οἰκονομίᾳ τοῦ Χριστοῦ τοιοῦτος ἀνϑέστηκεν. καὶ οὕτως ταῦτα ἀκούσαντες οἱ ἀδελφοὶ ἡσύχασαν, καὶ μετὰ πολλῆς τῆς πραότητος καὶ ἡσυχίας ἠκολούϑουν τῷ ἁγίῳ ἀπιόντι ἐπὶ τὴν τελείωσιν, ψάλλοντες καὶ εὐλογ. -- τοῦ ἁγίου ἀπόστ. τὸ λείψ. | Par om ἐπὶ τ. τόπον | Par om ἐν ἥλοις μακρ. | Vind τοῦ ἀποστόλου Ματϑ. | Vind καϑὼς προσετάχϑ. ἦψαν τὴν πυράν | ἐξάπτοντες: Vind add τὴν πυράν | ὅλον δέ: Vind add ϑεῖᾳ δυνάμει | χαίροντας: Vind praem πάντας ὁρῶντας τὸ γινόμενον | Vind βοᾶν | Par om ὁ βοηϑ. τ. Ματϑ. | εἰς ὃν καὶ ἡμεῖς: Par ὅτι οὕτως ἰδόντες ἀληϑῶς | Vind om εἷς ϑ. ὁ τ. Χρ. (loco secundo) | Vind ὁ καὶ διασώσας αὐτὸν ἐκ τοῦ πυρὸς ἄφλεκτον. | Vind ἀπὸ δὲ τῆς κραυγῆς ἐσει-

Digitized by Google

μίων εἶπον τῷ βασιλεῖ Ἡμεῖς μὲν ὦ βασιλεῦ πάσῃ τιμωρίας μηχανῇ ἤψαμεν τὸ πῦρ, ἀλλ' ἔν τινι ὀνόματι σβεννύει Χριστὸν ἐπικαλούμενος καὶ τὸν τούτου σταυρὸν ἐπονομάζων ὁ φαρμακός· οἱ δὲ Χριστιανοὶ κυκλοῦντες αὐτὸν προσπαίζουσιν τῷ πυρὶ καὶ γυμνοῖς ποσὶν πατοῦντες καταγελῶσιν ἡμῶν, καὶ ἡμεῖς αἰσχυνόμενοι πεφεύγαμεν.

[20] Τότε ἐκέλευσεν πλῆθος πυρὸς ἀνθρακιᾶς ἀπὸ τῆς καμίνου τοῦ ἐν τῷ παλατίῳ βαλανίου κομίζεσθαι καὶ τοὺς δεκαδύο θεοὺς τοὺς χρυσοῦς καὶ τοὺς ἀργυροῦς, καί Περιστήσατε, φησίν, αὐτοὺς κύκλῳ τοῦ φαρμακοῦ, μή πως καὶ τὸ ἀπὸ τῆς καμίνου τοῦ παλατίου μαγεύσει πῦρ. γενόμενοι δὲ πλείους δήμιοι καὶ στρατιῶται οἱ μὲν τὴν ἀνθρακιὰν ἀνεκόμιζον, οἱ δὲ τοὺς θεοὺς βαστάζοντες ἔφερον· καὶ ὁ βασιλεὺς ἐπηκολούθει τηρῶν μὴ κλέψῃ τις τῶν Χριστιανῶν ἕνα τῶν θεῶν αὐτοῦ ἢ μαγεύσει τὸ πῦρ. καὶ ὡς ἤγγισαν τῷ τόπῳ ὅπου ἦν ὁ ἀπόστολος προσπερονηθείς, ἦν τὸ

σθη ἡ πόλις ἅπασα καὶ ὁ τόπος ἐν ᾧ ἵσταντο. | καὶ ἐξελθόντες -- πάσῃ τιμωρίας μηχανῇ (codex πασα τιμωρια μηχανης) -- ὁ φαρμακός: Vind τότε ἐλθόντες τινὲς τῶν στρατιωτῶν ἀπήγγειλαν τῷ βασιλεῖ τὰ γεγενημένα λέγοντες οὕτως Βασιλεῦ, ἡμεῖς μὲν πάντα τὰ πραχθέντα ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ οὔτε ἀφηγήσασθαι δυνάμεθα. καθὼς γὰρ ἐκέλευσας, πάντα πεποιήκαμεν, καὶ εἶθ' οὕτως προσήψαμεν τὴν πυράν· ἀλλ' ἀγνοοῦμεν τί ἐστιν τὸ ἀποβάν· ὅσον γὰρ ἡμεῖς ἀνήπτομεν τὴν φλόγα καὶ ἐξεκαίομεν, ἐκεῖνος (sic) ἐπικλήσει τινὸς Ἰησοῦ λεγομένου καὶ τὸν τούτου σταυρὸν ἐπονομάζοντος ἡ φλὸξ ἐμαραίνετο καὶ εἰς δρόσον μετεβάλλετο. | οἱ δὲ Χριστιανοὶ -- πεφεύγαμεν: Vind ἔτι δὲ καὶ οἱ Χριστ. οἱ ὑπ' αὐτοῦ κατηχθέντες (corrige κατηχηθέντες) προσπαίζουσι τῷ πυρὶ γυμνοῖς τοῖς ποσὶν καὶ καταγελῶσιν ἡμῶν τοὺς θεούς· ἡμεῖς δὲ αἰσχυνθέντες φυγῇ ἐχρησάμεθα.

20. Τότε -- πυρὸς (Par om) -- ἀργυροῦς: Vind Ταῦτα ἀκούσας ὁ βασιλεὺς ἠλλοιώθη τῷ προσώπῳ καὶ ἐκέλευσε πλῆθος πυρὸς ἀνθρακιᾶς ἐνεχθῆναι ἀπὸ τῆς καμίνου τοῦ βαλανίου τοῦ ὄντος πλησίον τοῦ παλατίου, φέρειν δὲ καὶ τοὺς δώδεκα θεοὺς τ. χρ. καὶ ἀργυροῦς | καὶ Περιστήσατε -- ἔφερον: Vind καὶ ἐποίησαν οὕτως. γενόμενοι γὰρ πλῆθος στρατιωτῶν καὶ δημίων οἱ μὲν τὸ πῦρ ἐκόμιζον τῆς ἀνθρακιᾶς, οἱ δὲ τ. θ. βαστ. ἔφερον | καὶ ὁ βασιλεὺς -- μαγεύσει τὸ πῦρ: Vind καὶ ὁ μὲν βασιλεὺς συνεπορεύετο τοῖς θεοῖς, ἡ δὲ ἀνθρακιὰ ἐπηκολούθει. ὅθεν ἐλθὼν ὁ βασιλεὺς ἐπὶ τὸν τόπον οὗ ἦν (codex νῦν) ὁ ἅγιος ἀπόστολος τοῦ Χριστοῦ Ματθαῖος, ἐκέλευσε λέγων Περιστήσατε τοὺς θεοὺς κύκλῳ τοῦ φαρμακοῦ τούτου, καὶ τηρεῖτε μή τις κλέψῃ καῦσμα τῶν θεῶν, ὅτι πολλῆς ὀλκῆς τυγχάνουσι, καὶ ἀσφαλῶς αὐτοὺς τηρεῖτε ἵνα μὴ καταπέσωσιν ἐν τῇ ἀνθρακιᾷ· καὶ τότε διαράνατε τὴν ἀνθρακιὰν τοῦ πυρὸς κύκλῳ τοῦ μάγου, εἰπόντες Ἴδωμεν εἰ ἄρα καὶ τὸ πῦρ τοῦ παλατίου δύναται μαγεῦσαι. ὄψεσθε δὲ καὶ τοὺς θεοὺς τὴν ἑαυτῶν συνδίκησιν ποιουμένους, ὅτι πολλὰ ἐλοιδορήθησαν ὑπ' αὐτοῦ. | καὶ ὡς ἤγγισαν -- προσπερονηθείς: Vind καὶ τούτων πάντων γενομένων | ἦν τὸ

Digitized by Google

πρόσωπον αὐτοῦ βλέπον εἰς τὸν οὐρανόν, τὸ δὲ πᾶν σῶμα αὐτοῦ συγκεχωσμένον τῷ παπύρῳ, καὶ ὕλη πολλὴ φρυγάνων ἐπάνω τοῦ σώματος αὐτοῦ ὡς ἐπὶ πήχεις δέκα. ἐγκελεύσας δὲ τοῖς στρατιώταις περιστῆσαι τοὺς θεοὺς κύκλῳ τοῦ Ματθαίου ἀπὸ πηχῶν πέντε προσδεδεμένους ἀσφαλῶς ὅπως μὴ πέσωσιν, αὖθις προσέταξεν ἐπιριφῆναι τὴν ἀνθρακιὰν καὶ πανταχόθεν προσάψαι τὴν ὕλην.

21 Ὁ δὲ Ματθαῖος ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐβόησεν Ἀδωναῖ ἐλωὶ σαβαὼθ μαρμαρὶ μαρμούνθ· τοῦτ' ἔστιν Πάτερ θεέ, κύριε Ἰησοῦ Χριστέ, ῥῦσαί με καὶ κατάφλεξον τὰ σεβάσματα τῶν θεῶν αὐτῶν, ἐπιδιωξάτω δὲ καὶ τὸν βασιλέα μέχρι τοῦ παλατίου τὸ πῦρ, ἀλλὰ μὴ εἰς ἀφανισμόν, ἴσως γὰρ μετανοήσας ἐπιστρέψει. ἀφάτου δὲ πρὸς ὕψος τῆς φλογὸς ἑωραθείσης, νομίσας ὁ βασιλεὺς κατακαίεσθαι τὸν Ματθαῖον ἀνεγέλασεν καί φησιν Μή τι ὠφέλησέν σε ἡ μαγεία σου, Ματθαῖε; μή τι νῦν δύναταί σου ὁ Ἰησοῦς βοηθῆσαι;

Καὶ ὡς ταῦτα ἐλάλει, φοβερὸν ἐφάνη θαῦμα· ὅλον γὰρ τὸ πῦρ μετὰ τῆς ὕλης ὑποχωρῆσαν ἀπὸ τοῦ Ματθαίου περιεχύθη περὶ τοὺς θεοὺς αὐτῶν, ὡς μηδὲν τοῦ χρυσοῦ ἢ τοῦ ἀργύρου ἔτι ὁραθῆναι, καὶ τὸν βασιλέα φεύγοντα λέγειν Οἴμοι, ὅτι ἀπώλοντο οἱ

πρ. α. βλέπον: ita Vind; Par ἰδὼν (scribe ἴδον?) καὶ τὸ πρ. α. ἔβλεπεν | σῶμα αὐτοῦ: Vind om αὐτοῦ | Par κεχωσμένον | Vind τῶν φρυγάνων | ἐπάνω τοῦ σώμ. αὐτοῦ: Vind om τ. σώμ. | Vind κελεύσας | Vind παραστῆσαι | Vind ἵνα μὴ καταπέσωσιν ἐν τῷ πυρί | προσάψαι τ. ὕλην: Vind ἐξάψαι τ. ὕλ. ἑστῶτος αὐτοῦ

21. Vind Τότε ὁ μακάριος Ματθ. | ἐβόησεν: Vind ἀνεβόησεν καὶ εἶπεν | Πάτερ θεέ -- τ. θεῶν αὐτῶν: Vind Πατὴρ καὶ θεέ μου καὶ κύριος Ἰησοῦς Χριστός, εὐχαριστῶ σοι ὅτι κατηξίωσάς με τῶν ἁγαθῶν τούτων. καὶ τὰ νῦν δέομαί σου, ῥῦσαί με ἐκ τοῦ πυρὸς τῇ ὥρᾳ ταύτῃ καὶ αἴσχυνον τοὺς ἐχθρούς μου, καὶ πεσάτωσαν τὰ σεβάσματα αὐτῶν καὶ ἀναλωθήτωσαν ἐν τῷ πυρὶ τούτῳ, ἵνα γνῶσιν πάντες ὅτι οὐδὲν ἀδυνατεῖ τῇ σῇ ἐξουσίᾳ καὶ προστάξει | ἐπιδιωξάτω δὲ -- ἐπιστρέψει: Vind καταδιωξάτω δέ, κύριος, τὸ πῦρ καὶ τὸν δεινὸν βασιλέα μέχρι τ. παλ., μὴ εἰς ἀφανισμόν· ἴσως γὰρ ἐπιστρέψας μετανοήσει | ἀφάτου -- ἑωραθείσης: Vind μεγάλης δὲ τῆς φλογὸς ὁμαδείσης | ἀνεγέλασεν -- βοηθῆσαι: Vind μεγάλως γελάσας ἔφη Μή τι ὀφέλησαν αἱ μαγεῖαί σου, Ματθαῖε; μὴ ἐδυνήθη σε ῥύσασθαι Ἰησοῦς ὃν πιστεύεις;

Καὶ ὡς -- θαῦμα: Vind Ταῦτα δὲ αὐτοῦ λέγοντος ἐξαίφνης φοβερὸν καὶ ἔκθαμβον θέαμα γέγονεν, ὥστε πάντας βοᾶν καὶ λέγειν Εἷς θεὸς ὁ διὰ Ματθαίου καταγγελθεὶς ἐν τῇ πόλει ταύτῃ, ὃς ῥύεται ἐκ πυρὸς τοὺς δούλους αὐτοῦ | μετὰ τῆς: Vind om μετά | Vind διεχύθη | Vind τοῦ ἀργυρίου ἢ τοῦ χρυσίου | ἔτι: Par om | καὶ τὸν βασιλέα -- οἱ θεοί μου: Vind ἀλλά γε δὴ καὶ ὁ βασιλεὺς φυγῇ χρησάμενος ἐβόα οὕτως Οἴμοι τῷ ἀθλίῳ καὶ δυστύχῳ· ἀπώλοντό μοι (scribe

Digitized by Google

θεοί μου ἀπὸ ἐμβριμήσεως τοῦ Ματθαίου, ὧν ὁ σταθμὸς ὑπῆρχεν χιλίων ταλάντων χρυσίου καὶ χιλίων ταλάντων ἀργυρίου· κρείττονές εἰσιν οἱ λίθινοι καὶ οἱ ὀστράκινοι θεοί, ὅτι οὔτε χωνεύονται οὔτε κλέπτονται.

[22] Ἐπειδὴ δὲ οὕτως τὸ πῦρ κατανάλωσεν τοὺς θεοὺς αὐτῶν καὶ πολλοὺς στρατιώτας κατέφλεξεν, ἄλλο πάλιν ἐγένετο θαῦμα παραδοξότερον. τὸ γὰρ πῦρ ἀπεικασθὲν μεγάλῳ καὶ φοβερῷ δράκοντι ἐπεδίωκεν τὸν τύραννον μέχρι τοῦ παλατίου, καὶ διέτρεχεν κύκλῳ τοῦ βασιλέως μὴ ἐῶν εἰσελθεῖν εἰς τὸ παλάτιον. ὁ δὲ βασιλεὺς διωκόμενος ὑπὸ τοῦ πυρὸς καὶ μὴ συγχωρούμενος εἰσελθεῖν ἐν τῷ παλατίῳ αὐτοῦ ὑπέστρεψεν ὅπου ἦν Ματθαῖος, καὶ ἐβόησε λέγων Δέομαι σοῦ ὅστις εἶ ἄνθρωπε, ἢ μάγος ἢ φαρμακὸς ἢ θεὸς ἢ θεοῦ ἄγγελος, οὗ οὐκ ἥψατο ἡ τοσαύτη πυρά, ἀπόστησον ἀπ' ἐμοῦ τὸν φοβερὸν τοῦτον καὶ πύρινον δράκοντα· ἀμνησικάκησόν μοι ὡς ὅτε καὶ ἀναβλέψαι με ἐποίησας. ὁ δὲ Ματθαῖος ἐμβριμησάμενος τῷ πυρί, καὶ σβεσθείσης τῆς φλογὸς καὶ τοῦ δράκοντος ἀφανοῦς γενομένου, ἀνατείνας τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν καὶ εὐξάμενος ἑβραϊστὶ καὶ παραθέμενος τὸ πνεῦμα τῷ κυρίῳ εἶπεν Εἰρήνη ὑμῖν· καὶ δοξάσας τὸν κύριον ἀνεπαύσατο ὡσεὶ ὥρᾳ ἕκτῃ.

μου?) οἱ θεοί | Vind om ἀπὸ ἐμβρ. τ. Ματθ. | ὑπῆρχεν -- ἀργυρίου: Par ἦν χίλια τάλαντα χρυσίου | Vind τάχα κρείττονες | κλέπτονται: Vind add τοσαῦτα ἔκαμον οἱ προπάτορές μου καὶ ἐποίησαν ἐν κόπῳ πολλῷ τοὺς θεούς. καὶ νῦν ἴδου ὑπὸ ἑνὸς μάγου ἀνηλώθησαν.

22. Ἐπειδὴ -- φοβερῷ δράκοντι: Vind Καὶ ταῦτα λέγων δρομαίως ἀπίει (codex ἀπίη) ἐν τῷ παλατίῳ. ἐξαίφνης γὰρ ἐξῆλθεν ἐκ τῆς πυρᾶς ὡς ὁμοίωμα (codex ὁμοίω) δράκοντος καιομένου καὶ ἀνημωμένου (?) τὴν γῆν | ἐπεδίωκεν: Vind καὶ ἐδίωκεν | καὶ διέτρεχεν -- ὑπέστρεψεν ὅπου ex Vind; Par καὶ κύκλῳ διατρέχων καὶ περιηλούμενος (sic) εἰσελθεῖν εἰς τὸ παλάτιον οὐ συνεχωρεῖτο, ὡς ὑποστρέψαι διωκόμενον ὅπου | Vind ὁ μακάριος Ματθαῖος | καὶ ἐβόησε λέγων: Par καὶ βοῆσαι | θεοῦ ἄγγελος: Vind om θεοῦ | οὗ οὐκ -- δράκοντα: Vind εἰπέ μοι ὅτι (τί ὅτι?) καὶ τὸ πῦρ ἠδέσθη σε καὶ οὐχ ἥψατό σε ἡ τοσαύτη πυρά· λοιπὸν δέομαί σου | ἀμνησικ. μοι: Par ἀμνησικ. μου | ὡς ὅτε -- ἐποίησας: Vind καθὼς καὶ πρώην ὅτε ἐχαρίσω μοι τὸ βλέπειν, et add καὶ ἀπάλλαξόν με ἀπὸ τοῦ φοβεροῦ δράκοντος τούτου τοῦ πυρίνου, ὅπως κἀγὼ πιστεύσω τῷ ὑπὸ σοῦ κηρυττομένῳ θεῷ | ὁ δὲ Ματθαῖος -- ὥρᾳ ἕκτῃ: Vind τότε ὁ μακάριος Ματθ. ἐμβρ. τῷ πυρί, παραχρῆμα ἐσβέσθη, καὶ [ὁ] δράκων παραυτὰ ἀφανὴς γέγονε· καὶ εἶθ' οὕτως ἐντείνας τοὺς ὀφθαλμ. εἰς τ. οὐρ. (codex h. l. add εἶπεν) καὶ εὐξάμενος ἑβρ. ἐπὶ πολὺ καὶ παραθέμενος τοὺς ἀδελφοὺς πάντας τῷ κυρίῳ καὶ εἰπών Εἰρήνη ὑμῖν, ἀνεπαύσατο ἐν Χριστῷ ὥρᾳ ἕκτῃ δοξάσας τὸν κύριον.

Digitized by Google

[23] Τότε ὁ βασιλεὺς κελεύσας ἐλθεῖν πλείονας στρατιώτας καὶ τὴν ἀπὸ τοῦ παλατίου κλίνην κομισθῆναι, πολλὴν ἔχουσαν τὴν τοῦ χρυσίου φαντασίαν, προσέταξεν ἐπ' αὐτῆς ἐπιτεθῆναι τὸν ἀπόστολον καὶ ἀποκομισθῆναι εἰς τὸ παλάτιον. ἦν δὲ τὸ σῶμα τοῦ ἀποστόλου ὡς ἐν ὕπνῳ κείμενον, καὶ ἡ στολὴ αὐτοῦ καὶ ὁ χιτὼν αὐτοῦ ἀμίαντα ἀπὸ τοῦ πυρός· καὶ ποτὲ μὲν ἐπὶ τῆς κλίνης αὐτὸν ἐθεώρουν, ποτὲ δὲ ἀκολουθοῦντα, ποτὲ δὲ προηγούμενον τῆς κλίνης καὶ τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπὶ τὴν κεφαλὴν τεθεικότα Πλάτωνος καὶ συνψάλλοντα τῷ πλήθει, ὥστε καὶ τὸν βασιλέα καὶ τοὺς στρατιώτας ἅμα τῷ ὄχλῳ ἐκθάμβους γενέσθαι. πολλοὶ δὲ νοσοῦντες καὶ δαιμονιῶντες ἁψάμενοι μόνον τῆς κλίνης ἐσώθησαν, καὶ ὅσοι ἔτι ἦσαν τὴν μορφὴν ἄγριοι, ἐν αὐτῇ τῇ ὥρᾳ μετηλλάγησαν εἰς ὁμοιότητα τῶν λοιπῶν ἀνθρώπων.

[24] Καὶ ἐν τῷ εἰσέρχεσθαι τὴν κλίνην ἐν τῷ παλατίῳ ἐθεασάμεθα πάντες τὸν Ματθαῖον ὡς ἀπὸ τῆς κλίνης ἀναστάντα καὶ πορευόμενον εἰς τὸν οὐρανόν, χειραγωγούμενον ὑπὸ παιδίου εὐμόρφου, καὶ προσυπήντησαν αὐτῷ δώδεκα ἄνδρες ἐν στολαῖς λαμπραῖς, ἀμαραντίνους καὶ χρυσοῦς στεφάνους ἐπὶ τῆς κεφαλῆς ἔχοντες· καὶ ἴδομεν πῶς τὸ παιδίον ἐκεῖνο ἐν ὁμοιώματι τούτων ἐστεφάνωσεν τὸν Ματθαῖον, καὶ ἀστραπῆς φανείσης εἰς οὐρανοὺς ἐχώρησαν.

Ὁ δὲ βασιλεὺς σταθεὶς ἐπὶ τῆς πύλης τοῦ παλατίου καὶ μηδένα εἰσελθεῖν κελεύσας πλὴν τοὺς τὴν κλίνην βαστάζοντας στρατιώτας, κλείσας τὰς θύρας καὶ γλωσσόκομον ἐκ σιδήρου κε-

---

23. Vind Ὁ δὲ βασ. κελεύει παραχρῆμα | Vind καὶ κομισθῆναι τὴν ἀπὸ παλατίου κλίνην | τὴν τοῦ: Vind om τὴν | προσέταξεν -- εἰς τὸ παλάτιον: Vind καὶ ἐπιτεθῆναι ἐπ' αὐτῆς τὸ λείψανον τοῦ ἀποστόλου καὶ ἀποκομίσαι ἐν τῷ παλατίῳ. | ἦν δὲ τό: Vind καὶ τούτων γενομένων ἦν τό | καὶ ἡ: Vind ἡ δέ | ἀμίαντα: Vind add καὶ καθαρά | ποτὲ δὲ προηγούμενον -- δεξιάν: Vind καὶ πάλιν ποτὲ μὲν προηγ. τ. κλ. ποτὲ δὲ καὶ τὴν δεξιάν | Vind κεφαλ. αὐτοῦ τεθεικ. τοῦ ἐπισκόπου Πλάτ. | ὥστε καί: Par om καί | γενέσθαι: Par εἶναι | Par om μόνον | Vind ἦσαν ἔτι | Par om λοιπῶν

24. Καὶ ἐν: Vind Ἐν δέ | ἐν τῷ παλ. ἐθεασ.: Par εἰς τὸ παλάτιον ἴδομεν | τὸν Ματθαῖον: Vind τὸν ἀπόστολον τοῦ Χριστοῦ Ματθ. | εὐμόρφου: Vind ὡραιοτάτου | Vind προσαπήντησαν αὐτοῖς | λαμπραῖς: Vind λευκαῖς | Par om ἐκεῖνα | τούτων: Par αὐτῶν | Vind om καὶ ἀστραπῆς -- ἐχώρησαν

Vind ἐπὶ τὴν πύλην | καὶ μηδένα εἰσελθεῖν -- ἔρριψεν: Vind οὐδένα εἴασεν εἰσελθεῖν πλὴν τοὺς τὴν κλ. βαστάζοντας. καὶ εἰσελθόντες αὐτοὶ μόνοι ἐπέθεντο τὸ σῶμα τοῦ ἀποστόλου σὺν τῇ κλίνῃ ἐν τῷ παλατίῳ. τότε κλείσας τὰς θύρας ὁ

Digitized by Google

λεύσας γενέσθαι, τὸ σῶμα τοῦ Ματθαίου ἐν αὐτῷ βαλὼν καὶ μολίβδῳ κατασφραγίσας, διὰ τῆς πρὸς ἀνατολὰς τοῦ παλατίου πύλης μέσης νυκτὸς εἰς πλοῖον ἐπιθείς, μηδενὸς εἰδότος, εἰς τὸ βαθὺ τῆς θαλάσσης μέρος ἔρριψεν.

[25] Δι' ὅλης δὲ τῆς νυκτὸς προσκαρτερούντων τῶν ἀδελφῶν πρὸς τῇ πύλῃ τοῦ παλατίου διανυκτερευόντων καὶ ψαλλόντων, ὡς ἀνέβη ὁ ὄρθρος, φωνὴ ἐγένετο Πλάτων ἐπίσκοπε, βαστάσας τὸ εὐαγγέλιον καὶ τοῦ Δαυὶδ τὸ ψαλτήριον ἅμα τῷ πλήθει τῶν ἀδελφῶν ἐλθὲ κατὰ ἀνατολὰς τοῦ παλατίου, καὶ ψάλλετε τὸ ἀλληλούϊα καὶ ἀνάγνωτε τὸ εὐαγγέλιον καὶ προσενέγκατε προσφορὰν ἄρτον ἅγιον καὶ ἀπὸ τῆς ἀμπέλου τρεῖς βότρυας ἀποθλίψαντες ἐν ποτηρίῳ συγκοινωνήσατέ μοι, ὡς ὁ κύριος Ἰησοῦς ὑπέδειξεν τὴν ἄνω προσφορὰν τῇ τρίτῃ ἡμέρᾳ ἐγερθεὶς ἐκ νεκρῶν.

Δραμὼν δὲ ὁ ἐπίσκοπος εἰς τὴν ἐκκλησίαν λαβὼν τὸ εὐαγγέλιον καὶ τὸ τοῦ Δαυὶδ ψαλτήριον καὶ συναγαγὼν πρεσβυτέρους καὶ τὸ πλῆθος τῶν ἀδελφῶν ἦλθεν κατὰ ἀνατολὰς τοῦ παλατίου ὥρᾳ τοῦ ἀνατεῖλαι τὸν ἥλιον, καὶ ἐπί τινος ὑψηλοῦ λίθου κελεύ-

---

βασιλεὺς καὶ πλησίον στὰς τοῦ ἁγίου λειψάνου εἶπεν Κύριε ὁ Θεός, διὰ τοῦ ἀποστόλου τούτου ἐν τῇ πόλει ταύτῃ εὐχαριστῶ σοι ὅτι ἔγνων τὸ ὄνομά σου, καὶ ὅτι ἐκ πυρὸς ῥύεσαι πάντας τοὺς ἐλπίζοντας ἐπὶ σέ. καὶ νῦν ἐπειδὴ ἀπιστία μοι πρόσεστιν μικρά, αἰτοῦμαι τοῦτο ἵνα ἀναγάγῃς τὸ σῶμα τοῦ Ματθαίου ἀπὸ τῆς θαλάσσης. ἰδοὺ γὰρ ἐγὼ κελεύω ῥιφῆναι τὸ σῶμα ἐν τῷ βυθῷ τῆς θαλάσσης, καὶ ἐὰν ῥύσῃ αὐτὸ ὡς ἐν τῇ πυρᾷ ἐρρύσω, καταλείψω πάντας τοὺς θεούς μου εὐθέως καὶ σοὶ μόνῳ πιστεύσω. καὶ κελεύει γλωσσόκομον σιδηροῦν ἐνεχθῆναι ταχέως, καὶ ἐμβαλὼν τὸ σῶμα τοῦ ἁγίου ἐν αὐτῷ ἐσφράγισεν μολίβδῳ· εἶθ' οὕτως ἐκέλευσε τοὺς στρατιώτας ἆραι τὸ γλωσσόκομον ἐπὶ τῶν ὤμων αὐτῶν καὶ ἐξελθεῖν διὰ τῆς πρὸς ἀνατολὰς τοῦ παλατίου πύλης μέσης νυκτὸς καὶ βαλεῖν αὐτὸ ἐν πλοίῳ μηδενὸς εἰδότος καὶ ῥιφῆναι μέσον τοῦ πελάγους ἐν τῷ βυθῷ.

25. Δι' ὅλης δὲ --- ἐκ νεκρῶν: Vind Καὶ τούτων γενομένων τῇ ἑξῆς ὁρᾷ (codex ὥρᾳ?) ὁ Πλάτων ἐνύπνιον καὶ τὸν Ματθαῖον λέγοντα αὐτῷ Πλάτων δοῦλε Χριστοῦ, ἀναστὰς καὶ λαβὼν τὸν κλῆρον πάντα καὶ τὸ ἅγιον εὐαγγέλιον καὶ τὸ τοῦ Δαυὶδ ψαλτήριον ψάλλων κάτελθε κατ' ἀνατολὰς τοῦ παλατίου ἅμα καὶ τῷ πλήθει τῶν πιστῶν ἀδελφῶν καὶ στῆτε ἐκεῖ εἰς προσευχήν, ψάλλοντες τὸ ἀλληλούϊα· ἀνάγνωθι δὲ καὶ τὸ ἅγιον εὐαγγέλιον καὶ προσένεγκε ἐκεῖ ὑπὲρ ἐμοῦ τῷ κυρίῳ προσφοράν, καὶ κοινωνήσατέ μοι ὡς ὁ κύριος Ἰησοῦς Χριστὸς ὑπέδειξεν ἡμῖν ἐν τῇ τρίτῃ ἡμέρᾳ ἐγερθεὶς ἐκ νεκρῶν.

Δραμὼν δὲ -- κατὰ ἀνατ. τοῦ παλατίου: Vind Ἀναστὰς ὁ ἐπίσκοπος Πλάτων πορεύεται ἐν τάχει εἰς τὴν ἐκκλησίαν, καὶ λαβὼν τὸ ἅγιον εὐαγγέλιον καὶ τὸ τοῦ Δαυὶδ ψαλτήριον, συναγαγὼν δὲ καὶ τοὺς πρεσβυτέρους καὶ διακόνους καὶ τὸ λοιπὸν πλῆθος τῶν ἀδελφῶν παραγίνεται ἐπὶ τὸν ἀποκαλυφθέντα αὐτῷ τόπον | ὥρᾳ -- ἥλιον: Vind ὥρα δὲ ἦν μετὰ τὸ ἀνατεῖλαι τὸν ἥλιον | καὶ ἐπί τινος --

Digitized by Google

σας ἀνελθεῖν τὸν ψάλλοντα, ψάλλειν ἤρξατο ἐν ὕμνοις ᾠδῆς τῷ θεῷ Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ· καὶ πάλιν Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι κύριος ἀντιλήψεταί μου. καὶ ὑπήκουον ὕμνον ᾠδῆς τοῦ Δαυὶδ Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; νῦν ἀναστήσομαι, λέγει κύριος. καὶ πάντες ἐκέκραξαν Ἀλληλούϊα. καὶ ὁ ἐπίσκοπος ἀνέγνω τὸ εὐαγγέλιον, καὶ πάντες ἀνεβόησαν Δόξα σοι, ὁ δεδοξασμένος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. καὶ εἶθ' οὕτως προσέφερεν τὴν προσκομιδὴν τῆς ἁγίας προσφορᾶς ὑπὲρ τοῦ Ματθαίου, καὶ μεταλαβόντες ὑπὲρ εὐχαριστίας τῶν ἀχράντων καὶ ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων ἐδόξαζον τὸν θεὸν ἅπαντες.

[26] Καὶ ἦν ὡσεὶ ὥρα ἕκτη, καὶ ὁρᾷ ὁ Πλάτων ἄντικρυς τὴν θάλασσαν ὡς ἀπὸ σταδίων ἑπτά, καὶ ἰδοὺ ἦν ὁ Ματθαῖος ἑστηκὼς ἐπὶ τῆς θαλάσσης, καὶ δύο ἄνδρες ἑκατέρωθεν ἐν στολαῖς λαμπραῖς, καὶ παιδίον τὸ εὔμορφον ἔμπροσθεν αὐτῶν. ταῦτα δὲ καὶ πάντες οἱ ἀδελφοὶ ἐθεάσαντο, καὶ ἤκουον λαλούντων αὐτῶν Ἀμὴν ἀλληλούϊα. καὶ ἦν ἰδεῖν πεπηγμένην τὴν θάλασσαν ὡσεὶ λίθον κρυστάλλου, καὶ τὸ παιδίον τὸ εὔμορφον ἔμπροσθεν αὐτῶν, ὡς ἐκ βάθους τῆς θαλάσσης σταυρὸς ἀνέβαινεν καὶ πρὸς τὸ τέλος τοῦ σταυροῦ ὁ γλωσσόκομος ἀνερχόμενος ἐν ᾧ ἦν τὸ σῶμα τοῦ Ματθαίου, καὶ ἐν ὥρᾳ στιγμῆς ἐν τῷ σταυρῷ τὸ γλωσσόκομον τὸ παιδίον ἔθηκεν ἐπὶ τὴν γῆν ὄπιθεν τοῦ παλατίου κατὰ ἀνατο-

---

ψάλλειν (Par καὶ ψάλλ.) ἤρξατο -- τ. θεῷ: Vind καὶ κελεύσας ἀνελθεῖν τὸν ψάλλοντα ἐπὶ ὑψηλοῦ τινὸς λίθου, ἤρξατο ψάλλειν οὕτως | καὶ πάλιν: Par om | καὶ ὑπήκουον ὕμνον (codex ὕμνος) ᾠδ. τ. Δαυὶδ: Vind καὶ πάλιν | νῦν ἀναστ. λ. κύριος -- Ἀλληλούϊα: Vind καὶ πάντες ὑπέψαλλον εἶθ' οὕτως τὸ ἀλληλούϊα. καὶ ἀναστήσομαι, λέγει κύριος, θήσομαι ἐν σωτηρίᾳ, παρρησιάσομαι ἐν αὐτῷ. καὶ πάντες ἔκραξαν Ἀλληλούϊα. | καὶ ὁ ἐπίσκ.: Vind τότε ὁ ἐπίσκ. | Vind τὸ ἅγιον εὐαγγ. | Vind καὶ ἐβόησαν ἅπαντες | καὶ εἶθ' οὕτως -- προσφορᾶς ex Vind; Par καὶ προσήνεγκας (sic) τὰς προσφοράς | Ματθαίου: Vind praem μακαρίου | ὑπὲρ εὐχαριστ. -- μυστηρίων ex Vind; Par om | Par ἐδόξασαν et om ἅπαντες

26. Καὶ ἦν ὡσεὶ -- σταυρὸς ἀνέβαινεν: Vind Περὶ δὲ τὴν ἕκτην ὥραν τῆς ἡμέρας ὁρᾷ ὁ ἐπίσκοπος Πλάτων ἄντικρυς αὐτοῦ εἰς τὴν θάλασσαν ὡς ἀπὸ σταδίων ἑπτὰ τὸν μακάριον Ματθαῖον καὶ σὺν αὐτῷ δύο ἄνδρας ἐντεῦθεν καὶ ἐντεῦθεν, οἱ καὶ συνομίλουν αὐτῷ, λευκὰς στολὰς περιβεβλημένοι. ὡς δὲ περιχαρὴς ἐγένετο ὁ ἐπίσκοπος, μετὰ μίαν ὥραν ὁρᾷ ἐν ἐκείνῳ τῷ τόπῳ τύπον σταυροῦ ἀνερχόμενον ἐκ βάθους θαλάσσης | Vind καὶ πρὸς τὸ -- τὸ γλωσσόκομον ἐν ᾧ ἦν ὁ ἅγιος Ματθαῖος, καὶ ἠκολούθει τῷ σταυρῷ τὸ γλωσσόκομον ἕως οὗ ἤγαγεν αὐτὸ πρὸς τὴν γῆν ὄπιθεν -- τὴν προσφοράν (Par τὰς προσφοράς). Praeterea

Digitized by Google

λάς, ὅπου ὁ ἐπίσκοπος προσήνεγκεν ὑπὲρ τοῦ Ματθαίου τὴν προσφοράν.

[27] Ὁ δὲ βασιλεὺς ἐκ τοῦ ὑπερῴου ταῦτα θεασάμενος καὶ καταπλαγεὶς ἐξῆλθεν τοῦ παλατίου καὶ προσδραμὼν προσεκύνησεν κατὰ ἀνατολὰς ἐπὶ τὸ γλωσσόκομον, καὶ προσέπεσεν τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις καὶ διακόνοις ἐν μετανοίᾳ καὶ ἐξομολογήσει λέγων Ἀληθῶς πιστεύω τῷ ἀληθινῷ θεῷ Χριστῷ Ἰησοῦ. δέομαι, δότε μοι τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ δώσω ὑμῖν τὸ παλάτιόν μου εἰς μαρτύριον τοῦ Ματθαίου, καὶ θήσετε τὸ γλωσσόκομον ἐπὶ τὴν κλίνην μου τὴν χρυσῆν ἐν τῷ μεγάλῳ τρικλίνῳ· μόνον βαπτίσαντές με ἐν αὐτῷ κοινωνήσατέ μοι τῆς τοῦ Χριστοῦ εὐχαριστίας. ὁ δὲ ἐπίσκοπος εὐξάμενος καὶ κελεύσας αὐτὸν ἀποδύσασθαι καὶ ἐν αὐτῷ ἐπὶ πολὺ ἀνακρίνας, καὶ αὐτοῦ ἐξομολογησαμένου καὶ κλαύσαντος ἐφ' οἷς διεπράξατο, κατασφραγίσας αὐτὸν καὶ ἀλείψας ἐλαίῳ καθῆκεν εἰς τὴν θάλασσαν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. καὶ ὡς ἀνῆλ-

---

add haec: καὶ εὐχαριστήσαντες ἅπαντες τῷ κυρίῳ ἐχάρησαν χαρὰν μεγάλην σφόδρα, ὅθεν διεδόθη [τὸ] φοβερὸν καὶ παράδοξον τοῦτο [τὸ] θέαμα ἐν ὅλῃ τῇ πόλει. καὶ συνήχθη πᾶς ὁ λαός, κραζόντων πάντων μιᾷ φωνῇ Εἷς θεὸς ὁ διὰ τοῦ Ματθαίου καταγγελθείς ἐν τῇ πόλει ταύτῃ, ὃς καὶ ἐκ πυρὸς καὶ ὕδατος ῥύεται τοὺς εἰς αὐτὸν πεποιθότας.

27. Ὁ δὲ βασιλεὺς --- καὶ ἐξομολογήσει (codex ἐξομολογήσεως. An potius scribas ἐξ ὁμολογήσεως? ἐξομολογήσας?) -- βαπτίσ. με (codex non habet) -- τ. Χρ. εὐχαριστίας: Vind Ἤγγισεν δὲ ἡ βοὴ τοῦ ὄχλου πρὸς τὸν βασιλέα. καὶ ἐπυνθάνετο Τίς ἐστιν ἡ σύγχυσις τοῦ λαοῦ ἢ τίς ἡ κραυγή; καὶ ἔμαθεν ὅτι τὸ γλωσσόκομον Ματθαίου ἐλήλυθεν αὐτομάτως. τότε χαρᾶς πολλῆς πλησθεὶς ὁ βασιλεὺς εὐθέως παραγίνεται πρὸς τὸ γλωσσόκομον κράζων καὶ λέγων μεγάλῃ τῇ φωνῇ Εἷς θεὸς τοῦ Ματθαίου, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. καὶ προσέπεσεν ἐπ' ὄψιν πλησίον τοῦ γλωσσοκόμου λέγων Συγχώρησόν μοι, κύριε Ἰησοῦ Χριστέ, ὅσα ἐνεδειξάμην τῷ ἁγίῳ τούτῳ, διότι ἐν ἀγνοίᾳ ἦμην. ἰδὼν δὲ ὁ ἐπίσκοπος τὴν μετάνοιαν καὶ τὰ δάκρυα τοῦ βασιλέως, δοὺς αὐτῷ χεῖρα ἤγειρεν ἀπὸ τοῦ ἐδάφους καὶ εἶπεν αὐτῷ Ἀνάστα καὶ θάρσει· ἐδέξατο γὰρ κύριος ὁ θεὸς τὴν μετάνοιάν σου καὶ ἐπιστροφὴν διὰ πρεσβειῶν τοῦ δούλου αὐτοῦ καὶ ἀποστόλου Ματθαίου. καὶ ἀναστὰς ὁ βασιλεὺς ἀπὸ τοῦ ἐδάφους προσέπεσεν τοῖς τοῦ ἐπισκόπου ποσὶ καὶ εἶπεν αὐτῷ Δέομαί σου, πάτερ, εἰ εὗρον χάριν ἐνώπιόν σου, σπλαγχνισθεὶς ἐπ' ἐμὲ δός μοι τὴν τοῦ Χριστοῦ σφραγῖδα, καὶ δίδωμι τὸ παλάτιόν μου εἰς λόγον μαρτυρίου τοῦ ἁγίου ἀποστόλου Ματθαίου. τότε ὁ τοῦ κυρίου δοῦλος ἐπίσκοπος Πλάτων παραλαβὼν τὸ γλωσσόκομον τοῦ ἁγίου ἅμα τοῦ βασιλέως καὶ παντὸς τοῦ κλήρου καὶ τοῦ πιστοῦ λαοῦ μετὰ λαμπάδων καὶ μύρων καὶ ψαλμῳδίας πολλῆς ἔφερον αὐτὸ ἐν τῇ ἐκκλησίᾳ αἰνοῦντες καὶ δοξάζοντες τὸν θεόν. | ὁ δὲ ἐπίσκοπ. εὐξάμενος -- ἁγίου πνεύματος: Vind εἶτα λαβὼν ὁ ἐπίσκοπος κατ' ἰδίαν τὸν βασιλέα καὶ ἐπευξάμενος νουθετήσας τε [sequitur in codice εἶπον] καὶ

Digitized by Google

θεν ἀπὸ τοῦ ὕδατος, ἐκέλευσεν αὐτὸν ἐνδύσασθαι ἱμάτια λαμπρά· καὶ εἶθ' οὕτως εὐλογήσας καὶ εὐχαριστήσας ἄρτον ἅγιον καὶ ποτήριον κεκραμμένον κοινωνήσας πρῶτος ὁ ἐπίσκοπος ἔδωκεν τῷ βασιλεῖ εἰπών Τοῦτο τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ ποτήριον τοῦτο τὸ αἷμα αὐτοῦ τὸ ὑπὲρ ἡμῶν ἐκχυθὲν γενέσθω σοι εἰς ἄφεσιν ἁμαρτιῶν εἰς ζωήν. καὶ φωνὴ ἐξ ὕψους ἠκούσθη Ἀμὴν ἀμὴν ἀμήν. [28] Καὶ οὕτως ἐν φόβῳ καὶ ἀγαλλιάσει κοινωνήσαντος αὐτοῦ, ἐπιφανεὶς ὁ ἀπόστολος ἔφη Φουλβανὲ βασιλεῦ, οὐκέτι ἔσται τὸ ὄνομά σου Φουλβανός, ἀλλὰ κληθήσει Ματθαῖος· καὶ σὺ ὁ υἱὸς τοῦ βασιλέως οὐκέτι κληθήσει Φουλβανός, ἀλλὰ καὶ σὺ Ματθαῖος· καὶ σὺ Ζιφάγια ἡ γυνὴ τοῦ βασιλέως κληθήσει Σοφία· καὶ ἡ Ἐρβὰ ἡ γυνὴ τοῦ υἱοῦ ὑμῶν κληθήσεται Σύνεσις· καὶ ἔσονται αὐτὰ τὰ ὀνόματα ὑμῶν γεγραμμένα ἐν τοῖς οὐρανοῖς, καὶ οὐκ ἐκλείψουσιν ἐκ μηρῶν ὑμῶν εἰς γενεὰς καὶ γενεάς. καὶ ἐν αὐτῇ τῇ ὥρᾳ κατέστησεν ὁ Ματθαῖος τὸν μὲν βασιλέα πρεσβύτερον, ἦν δὲ ἐτῶν τριάκοντα ἑπτά· καὶ τὸν υἱὸν τοῦ βασιλέως κατέστησεν διάκονον, ἐτῶν δέκα ἑπτά· καὶ τὴν γυναῖκα τοῦ βασιλέως κατέστησεν πρεσβύτιδα, καὶ τὴν γυναῖκα τοῦ υἱοῦ αὐτοῦ κατέστησεν διακόνισσαν· ἦν δὲ καὶ αὐτὴ ἐτῶν δέκα ἑπτά. καὶ εἶθ' οὕτως εὐλόγησεν αὐτοὺς εἰπών Ἔσται ἡ

κατηχήσας ἐβάπτισεν αὐτὸν ἐς τὸ ὄνομα τοῦ πατρ. καὶ τοῦ υἱ. καὶ τοῦ ἁγ. πν. | ἐκέλευσεν αὐτόν: Vind add ὁ ἐπίσκοπος | λαμπρά: Vind λευκά | καὶ εἶθ' οὕτως ex Vind; om Par | εὐλογήσας -- Ἀμ. ἀμ. ἀμήν: Vind λαβὼν ἄρτον ἅγιον καὶ ποτήριον κεκραμμένον ἐκοινώνησεν αὐτὸν τῆς τοῦ κυρίου εὐχαριστίας καὶ εὐλογίας. καὶ εὐθέως ἦλθεν φωνὴ ἐξ οὐρανοῦ λέγουσα Εἰσηκούσθη ἡ δέησίς σου. ἀμὴν ἀμὴν ἀμήν.

28. Καὶ οὕτως -- Φουλβανὲ (cf. supra sect. 5, item codicem Vind: Par Βούλφαμνε, item postea Βούλφαμνος et Βουλφανδρός) -- Φουλβανός (vide ante) -- Φουλβανός (vide ante) --- Ἐρβὰ (cf. supra sect. 5.; h. l. codex Ὀρβᾶ habet) -- γενεὰς κ. γενεάς: Vind Τῇ δὲ νυκτὶ ἐκείνῃ ὀφθεὶς ὁ ἅγιος ἀπόστολος τοῦ Χριστοῦ Ματθαῖος τῷ βασιλεῖ εἶπεν αὐτῷ Φουλβανὲ βασιλεῦ, οὗ ἡ ἐπίγειος βασιλεία ἐν χερσίν, ἐδέξατο κύριος ὁ θεὸς τὴν μετάνοιάν σου· οὐκέτι δὲ κληθήσῃ Φουλβανός, ἀλλ' ἀπὸ τοῦ νῦν κληθήσεται τὸ ὄνομά σου ἐπὶ τῷ ἐμῷ ὀνόματι Ματθαῖος. ὁμοίως καὶ τῷ υἱῷ σου τοῦτο τὸ ὄνομα ἐπιθήσεις. καὶ ἡ γυνή σου οὐκέτι κληθήσεται Φουλβανά, ἀλλὰ Σοφία ἔσται τὸ ὄνομα αὐτῆς. ὁμοίως καὶ ἡ νύμφη σου ἀπὸ τοῦ νῦν κληθήσεται Σύνεσις. καὶ ἔσται τὰ ὀνόματα ὑμῶν γεγραμμένα ἐν τοῖς οὐρανοῖς ἐν τῇ βίβλῳ τῶν ζώντων ἕως τοῦ αἰῶνος. | καὶ ἐν αὐτῇ -- καὶ αὐτὴ ἐτῶν δέκα ἑπτά: Vind ἐχειροτόνησεν δὲ ὁ μακάριος Ματθ. τὸν μὲν βασιλέα πρεσβύτερον, τὸν δὲ υἱὸν αὐτοῦ διάκονον, ὁμοίως δὲ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὴν νύμφην εἰς διακονίσσας. | καὶ εἶθ' οὕτως -- ἐδόξασεν τ. θεόν ex Vind; Par sic: καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ ἐκκλησίᾳ, καὶ πάντες ἐφώνη-

Digitized by Google

εὐλογία καὶ ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὸν αἰῶνα χρόνον μεθ' ὑμῶν.

Τότε ἔξυπνος γενόμενος ὁ βασιλεὺς καὶ χαρεὶς πανοικὶ ἐπὶ τῇ ὀπτασίᾳ τοῦ ἁγίου ἀποστόλου Ματθαίου ἐδόξασεν τὸν θεόν.

[29] Καὶ εἰσελθὼν ὁ βασιλεὺς ἐν τῷ παλατίῳ αὐτοῦ ἅπαντα τὰ εἴδωλα συνέτριψεν, καὶ ἐθέσπισεν τοῖς ἐν τῇ βασιλείᾳ αὐτοῦ γράψας οὕτως Βασιλεὺς Ματθαῖος τοῖς ὑπὸ τὴν βασιλείαν μου πᾶσιν χαίρειν. Χριστοῦ ἐπὶ γῆς φανέντος καὶ τὸ πλάσμα τὸ ἀνθρώπινον διασώσαντος, εὑρηνται οἱ λεγόμενοι θεοὶ ψεῦσται καὶ ψυχοφθόροι καὶ ἐπίβουλοι τοῦ ἀνθρωπίου γένους. ὅθεν ἐπιλαμψάσης τῆς θείας χάριτος καὶ ἕως ἡμῶν ἐλθούσης, ἐπιγνόντες δὲ τὴν τῶν εἰδώλων πλάνην ὅτι ματαία καὶ ψευδὴς ὑπάρχει, ἔδοξεν τῇ ἡμετέρᾳ θειότητι μὴ εἶναι θεοὺς πολλοὺς ἀλλ' ἕνα καὶ μόνον ἐν τοῖς οὐρανοῖς. ὑμεῖς δὲ δεξάμενοι τόδε τὸ διάταγμα τὸν ἡμέτερον σκοπὸν θεραπεύοντες πᾶν εἴδωλον συντρίψατε καὶ ἀφανίσατε· εἰ δέ τις φωραθείη ἀπὸ τοῦ νῦν θεραπεύων εἴδωλα ἢ ἀποκρύπτων αὐτά, τῇ διὰ ξίφους τιμωρίᾳ ὑποβαλλέσθω ὁ τοιοῦτος. ἔρρωσθε πάντες, ὅτι καὶ ἡμεῖς ὑγιαίνομεν.

Διαδοθέντος δὲ τοῦ πράγματος τούτου πάντες χαίροντες καὶ ἀγαλλιώμενοι συνέτριβον ἑαυτῶν τὰ εἴδωλα κράζοντες καὶ λέγοντες Εἷς θεὸς μόνος ὁ ἐν τοῖς οὐρανοῖς ὁ εὐεργετῶν τοὺς ἀνθρώπους.

[30] Μετὰ δὲ τὸ ταῦτα πάντα γενέσθαι ὤφθη ὁ ἀπόστολος τοῦ Χριστοῦ Ματθαῖος τῷ ἐπισκόπῳ Πλάτωνι καὶ λέγει αὐτῷ Δοῦλε τοῦ θεοῦ Πλάτων καὶ ἡμέτερε ἀδελφέ, γνωστόν σοι ἔστω ὅτι μετὰ τρία ἔτη ἔσται σοι ἀνάπαυσις ἐν κυρίῳ καὶ ἀγαλλίασις

σαν (προσεφ.?) ἀλλήλοις Ἀμήν, δεδοξασμένη ἡ ἱερωσύνη καὶ εὐλογισμὲς τῷ Χριστῷ, ἀμήν.

29. Haec tota sectio ex Vindobonensi est: nihil eiusmodi in Parisiensi invenitur.

Καὶ εἰσελθών: codex om Καί | ἐπιγνόντες: codex ἐπιγνῶντες | τῇ διὰ ξίφ. τιμωρίᾳ: codex τὴν δ. ξ. τιμωρίαν

30. Μετὰ δὲ τὸ ταῦτα -- εἰς αἰῶνας αἰώνων ex Vind; Par eorum loco haec habet: Τότε λέγει ὁ Ματθαῖος Ἐν ἀριθμῷ τῶν ἐννέα ἡμερῶν καὶ τεσσαράκοντα καὶ εἰς συμπλήρωσιν ἐνιαυτῶν οὐ διαλείψετε τὰς προσφοράς μου, ἵνα ἀγαλλιάσεται ἡ ψυχή μου καὶ ὁ κύριος ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς δοξασθήσεται. τότε λέγει ὁ ἀπόστολος τῷ ἐπισκόπῳ Σὺ μέν, ὦ μακάριε καὶ ἀγαπητέ μου Πλάτων, ἐν τῷ τρίτῳ ἐνιαυτῷ ἔσῃ μετ' ἐμοῦ, καθὼς ἐλάλησεν μοι ὁ κύριος Ἰησοῦς ἐν τοῖς

Digitized by Google

εἰς αἰῶνας αἰώνων. λήψεται δέ σου τὸν θρόνον τῆς ἐπισκοπῆς οὗτος ὁ βασιλεύς, ὃν ἐπὶ τῷ ἐμῷ ὀνόματι ἐκάλεσα Ματθαῖον, καὶ μετὰ τοῦτον ὁ υἱὸς αὐτοῦ. καὶ εἰπόντος αὐτοῦ Εἰρήνη σοὶ καὶ πᾶσιν τοῖς ἁγίοις, ἐπορεύετο εἰς τὸν οὐρανόν.

[31] Μετὰ δὲ τρία ἔτη ἀνέλυσεν ὁ ἐπίσκοπος Πλάτων ἐν κυρίῳ. διεδέξατο δὲ αὐτὸν ὁ βασιλεὺς Ματθαῖος, παραχωρήσας τὴν βασιλείαν ἑκουσίως ἑτέρῳ, ὅθεν ἐδόθη αὐτῷ χάρις κατὰ δαιμόνων ἀκαθάρτων, καὶ πᾶν πάθος ἰᾶτο. προήγετο δὲ τὸν υἱὸν αὐτοῦ εἰς πρεσβύτερον, καὶ ἐποίησεν αὐτὸν δευτερεύειν αὐτῷ.

Ἐτελειώθη ὁ ἅγιος Ματθαῖος ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων ἐν πόλει Μύρνῃ μηνὶ Νοεμβρίῳ ἑξκαιδεκάτῃ, βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

οὐρανοῖς. | σου τ. θρ. τ. ἐπισκ.: Vind τ. θρ. τ. ἐπισκ. σου | Vind om οὗτος ὁ βασιλ. | μετὰ τοῦτον: Par μετ' αὐτόν | ὁ υἱὸς αὐτοῦ: Par h. l. add καὶ αὐτὸς ὁ υἱὸς αὐτοῦ λήψεται τὸν θρόνον τοῦ πατρὸς αὐτοῦ· καὶ οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ διαμεῖναι τὸν θρόνον τῆς βασιλείας σου καὶ τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. | καὶ εἰπόντος – – εἰς τ. οὐρανόν: Par καὶ εἰπὼν ὁ Ματθαῖος Εἰρήνη πᾶσιν τοῖς ἁγίοις, ὤφθη μετὰ δύο ἀγγέλων βαδίζων καὶ ἀναβαίνων εἰς οὐρανόν, ὅπου ὁ βασιλεὺς τῆς δόξης ἐν δεξιᾷ τοῦ πατρὸς Ἰησοῦς Χριστός· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

31. Secutus sum in hac sectione Vindobonensem codicem; satis diversa in Parisiensi legitur: videtur vero additamentum utrumque recentiorem auctorem prodere.

Μετὰ δὲ τρία – – δευτερεύειν αὐτῷ: Par Καὶ ἦλθεν φωνὴ Εἰρήνη ὑμῖν καὶ ἀγαλλίασις, ὅτι οὐκ ἔσται πόλεμος οὐδὲ πληγὴ ῥομφαίας ἐν πόλει ταύτῃ διὰ Ματθαῖον τὸν ἐκλεκτόν μου, ὃν ἠγάπησα εἰς γενεὰς αἰῶνος. μακάριοι οἱ ἐκτελοῦντες τὰ μνημόσυνα αὐτοῦ, ὅτι ἔσονται δεδοξασμένοι εἰς αἰῶνα αἰῶνος.

Ἐτελειώθη – – ἀμήν: Ἔστιν δὲ ἡ ἡμέρα τῆς ἀναμνήσεως αὐτοῦ μηνὸς Γορπιαίου τεσσαρεσκαιδεκάτη. δόξα τιμὴ καὶ προσκύνησις τῷ Θεῷ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Digitized by Google

ΠΡΑΞΕΙΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΘΩΜΑ.

Κατ' ἐκεῖνον τὸν καιρὸν ἤμεθα πάντες οἱ ἀπόστολοι ἐν Ἱεροσολύμοις, Σίμων ὁ λεγόμενος Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Κανανταῖος, καὶ Ἰούδας Ἰακώβου, καὶ διείλαμεν τὰ κλίματα τῆς οἰκουμένης, ὅπως εἷς ἕκαστος ἡμῶν ἐν τῷ κλίματι τῷ λαχόντι αὐτῷ καὶ εἰς τὸ ἔθνος ἐν ᾧ ὁ κύριος αὐτὸν ἀπέστειλε πορευθῇ. κατὰ κλῆρον οὖν ἔλαχεν ἡ Ἰνδία Ἰούδᾳ Θωμᾷ τῷ καὶ Διδύμῳ· οὐκ ἐβούλετο δὲ ἀπελθεῖν, λέγων μὴ δύνασθαι μήτε χωρεῖν διὰ τὴν ἀσθένειαν τῆς σαρκός, καὶ ὅτι ἄνθρωπος ὢν Ἑβραῖος πῶς δύναμαι πορευθῆναι ἐν τοῖς Ἰνδοῖς κηρῦξαι τὴν ἀλήθειαν; καὶ ταῦτα αὐτοῦ διαλογιζομένου καὶ λέ-

---

* Πράξεις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ: ita inscriptio legitur in BE. CD Περίοδοι τοῦ ἁγίου ἀποστ. Θωμᾶ (C add ἐν Ἰνδίᾳ). A Περίοδος καὶ μαρτύριον τοῦ ἁγίου Θωμᾶ τοῦ ἀποστόλου.

1. ἤμεθα cum A. BD ἦμεν. CE ἦσαν | πάντες: D om | Ἰάκωβος ὁ τ. Ζεβ. καὶ Ἰω. ὁ ἀδ. αὐτοῦ: E transpon post Βαρθολομαῖος. B nil nisi Ἰωάννης καὶ Ἰάκωβος habet, eaque post Ἰούδας Ἰακώβου ponit | A ὁ Κανανέος | Ἀλφαίου cum AB. CDE ὁ τοῦ Ἀλφ. | διείλαμεν: D διειλάμεθα. C διείλαντο, E διεῖλον | κλίματα: codd. ut videtur omnes (vidi in AE) κλήματα, itemque paullo post κλήματι | ἡμῶν: CE αὐτῶν | ἀπέστειλε cum BCDE: A ἀποστέλλει | κλῆρον: E κλῆμα | οὖν: E δέ | ἡ Ἰνδία: E post Δίδυμον ponit | Ἰούδᾳ (C om) Θωμᾷ τῷ (D om) καὶ Διδύμῳ: B Ἰούδαν Θωμᾶν τὸν καὶ Δίδυμον, E Ἰούδαν τὸν καὶ Θωμᾶν λεγόμενον Δίδυμον | οὐκ ἐβούλ. δέ: E ὁ δὲ οὐκ ἐβούλ. | λέγων μὴ (B οὐ) δύνασθαι (codd. duo om λέγ. μὴ δύν.) μήτε (BE μηδὲ) χωρ. (E add διδάξαι) | ὢν: B εἰμί | πῶς cum BCDE: A οὐ | πορευθῆναι (E ἀπελθεῖν) ἐν τοῖς (E om) Ἰνδοῖς (E add καὶ) κηρῦξαι: B πορευθεὶς κηρῦξαι τοῖς Ἰνδοῖς | καὶ

Digitized by Google

γοντος ὤφθη αὐτῷ ὁ σωτὴρ διὰ τῆς νυκτὸς καὶ λέγει αὐτῷ Μὴ φοβοῦ, Θωμᾶ, ἄπελθε εἰς τὴν Ἰνδίαν καὶ κήρυξον τὸν λόγον· ἡ γὰρ χάρις μου ἔσται μετὰ σοῦ. ὁ δὲ οὐκ ἐπείθετο, λέγων Ὅπου βούλει με ἀποστεῖλαι, ἀπόστειλον ἀλλαχοῦ· εἰς Ἰνδοὺς γὰρ οὐκ ἀπέρχομαι.

[2] Καὶ ταῦτα αὐτοῦ λέγοντος καὶ ἐνθυμουμένου ἔτυχεν ἔμπορόν τινα εἶναι ἐκεῖ ἀπὸ τῆς Ἰνδίας ἐλθόντα τοὔνομα Ἀββάνην, ἀπὸ τοῦ βασιλέως Γουνδαφόρου ἀποσταλέντα καὶ ἐντολὴν παρ' αὐτοῦ εἰληφότα τέκτονα πριάμενον ἀγαγεῖν αὐτῷ. ὁ δὲ κύριος ἰδὼν αὐτὸν ἐν τῇ ἀγορᾷ περιπατοῦντα τὸ μεσημβρινὸν εἶπεν αὐτῷ Βούλει τέκτονα πρίασθαι; ὁ δὲ εἶπεν αὐτῷ Ναί. καὶ ὁ κύριος ἔφη αὐτῷ Ἔχω δοῦλον τέκτονα καὶ βούλομαι αὐτὸν πωλῆσαι. καὶ ταῦτα εἰπὼν ὑπέδειξεν αὐτῷ τὸν Θωμᾶν ἀπὸ μακρόθεν, καὶ συνεφώνησεν μετ' αὐτοῦ τριῶν λιτρῶν ἀσήμου ἀργυρίου, καὶ ἔγραψεν ὠνὴν λέγων Ἐγὼ Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ τοῦ τέκτονος ὁμολογῶ πεπρακέναι τὸν ἐμὸν δοῦλον, Ἰούδαν ὀνόματι, σοὶ τῷ Ἀββάνῃ ἐμπόρῳ Γουνδαφόρου τοῦ βασιλέως τῶν Ἰνδῶν. τῆς δὲ ὠνῆς τελεσθείσης ὁ σωτὴρ παραλαβὼν Ἰούδαν τὸν καὶ Θωμᾶν ἦγαγε πρὸς Ἀββάνην τὸν ἔμπορον· καὶ ἰδὼν αὐτὸν ὁ Ἀββάνης εἶπεν πρὸς αὐτόν Οὗτός ἐστιν ὁ δεσπότης σου; καὶ ἀποκριθεὶς ὁ

ταῦτα αὐτοῦ cum AD (om αὐτοῦ) E: BC om καί | B λογιζομένου | ὁ σωτήρ: E ὁ κύριος | διὰ τῆς νυκτός cum ACE: BD om τῆς | E om Μὴ φοβοῦ | ἄπελθε εἰς τὴν (E om) Ἰνδ. καὶ κήρυξον: B ἀπελθεῖν καὶ κηρῦξαι | κήρυξον cum AE: alii add ἐκεῖ | C τὸν λόγον μου | χάρις μου: A om μου | ἔσται: E ἔστω | B βούλῃ | με ἀποστεῖλαι cum ACD (CD ἀποστ. με): BE om, sed E add κύριε | ἀπόστειλ. ἀλλαχοῦ cum AB (ἀπ. με ἀλλ.): CE ἀλλ. ἀπόστ. (E add με), D om ἀλλαχ.

2. λέγοντ. καὶ ἐνθυμ. (B ἐνθυμ. κ. λέγ.): E ἔχοντος ἐν εὐχῇ | ἔτυχεν etc: E ἐνέτυχεν ἐμπόρῳ τινὶ ὀν. Ἀβάνῃ, σταλέντι ἀπὸ τοῦ βασ. Γουνδ. καὶ ἐ. π. α. εἰληφότι | τοὔνομα cum A; B ᾧ ὄνομα: CDE ὀνόματι | AB Ἀββάνης | B ἀποσταλεὶς καὶ ἐντολὰς παρ' αὐτοῦ λαβών | πριάμενον: E πριάσασθαι καί | ἐν τῇ: C om τῇ | τὸ μεσημβρινὸν εἶπεν: E ἐν ὥρᾳ μεσημβρίας ἔφη | B βούλῃ | πρίασθαι (A -ᾶσθαι): E πριάσασθαι | καὶ ὁ κύρ. ἔφη (B εἶπεν) αὐτῷ: E εἶπε δὲ ὁ κύριος | E om ταῦτα εἰπών | C τρεῖς λίτρας | ἀσήμου (C om) ἀργυρίου (E ἀργύρου, A om) | E om ὠνήν | ὁ (A om) υἱὸς Ἰω. τ. τέκτονος: E ὁ κύριος τοῦ Θωμᾶ. B om | τὸν ἐμόν: A (item ut videtur alii) om τόν | Ἰούδαν: BCE Θωμᾶν | BC om ὀνόματι | E Ἀβάνῃ | τοῦ (E om) βασιλ. τῶν (A om) Ἰνδ. | E τῆς δὲ ὥνης (hoc accentu) πληρωθείσης | Ἰούδαν τὸν καὶ (A add τὸν) Θωμᾶν: C Θωμᾶν τὸν Δίδυμον. Alii Ἰούδαν Θωμᾶν τὸν καὶ Δίδυμον | ἦγαγε cum A: alii ἀπήγαγε | τὸν ἔμπορον: A om τόν | ὁ Ἀββάνης: B om ὁ |

Digitized by Google

ἀπόστολος εἶπεν Ναί, κύριός μού ἐστιν. ὁ δέ φησιν Ἠγόρασά σε παρ' αὐτοῦ. καὶ ὁ ἀπόστολος ἡσύχασεν.

[3] Τῇ δὲ ἑξῆς ὄρθρου εὐξάμενος καὶ δεηθεὶς τοῦ κυρίου εἶπεν ὁ ἀπόστολος Πορεύομαι ὅπου βούλει, κύριε Ἰησοῦ, τὸ θέλημα τὸ σὸν γενέσθω. ἀπῆλθεν δὲ πρὸς Ἀββάνην τὸν ἔμπορον μηδὲν ὅλως τι μεθ' ἑαυτοῦ κομισάμενος ἀλλ' ἢ τὸ τίμημα αὐτοῦ μόνον. δεδώκει γὰρ αὐτῷ ὁ κύριος λέγων Ἧτω μετὰ σοῦ καὶ ἡ τιμή σου μετὰ τῆς χάριτός μου, ὅπου ἂν ἀπέρχῃ. κατέλαβεν δὲ ὁ ἀπόστολος τὸν Ἀββάνην τὰ σκεύη αὐτοῦ ἀναφέροντα εἰς τὸ πλοῖον· ἤρξατο οὖν καὶ αὐτὸς συναναφέρειν αὐτῷ. ἐμβάντων δὲ αὐτῶν καὶ καθεσθέντων ἐξήταζεν ὁ Ἀββάνης τὸν ἀπόστολον λέγων Ποίαν ἐργασίαν οἶδας; ὁ δὲ ἔφη Ἐν μὲν ξύλοις ἄροτρα καὶ ζυγοὺς καὶ τρυτάνας καὶ πλοῖα καὶ κώπας πλοίων καὶ ἱστοὺς καὶ τροχίσκους, ἐν δὲ λίθοις στήλας καὶ ναοὺς καὶ πραιτώρια βασιλικά. εἶπε δὲ αὐτῷ ὁ Ἀββάνης ὁ ἔμπορος Τοιούτου γὰρ καὶ χρείαν ἔχομεν τεχνίτου. ἤρξαντο οὖν καταπλέειν· ἔσχον δὲ ἐπιτήδειον ἄνεμον, καὶ προθύμως ἔπλεον ἕως ὅτε κατήντησαν εἰς Ἀνδράπολιν, πόλιν βασιλικήν.

[4] Ἐξελθόντες δὲ ἀπὸ τοῦ πλοίου εἰσίεσαν εἰς τὴν πόλιν. καὶ ἰδοὺ φωναὶ αὐλητῶν καὶ ὑδραυλέων καὶ σάλπιγγες περιηχοῦ-

---

ὁ ἀπόστολος: B add Θωμᾶς | κύριος cum AB: C ὁ κύριος | ὁ δέ: B add ἔμπορος | ὁ ἀπόστολος: B add Θωμᾶς | ἡσύχασεν cum BC: A ἡσύχαζεν | ὁ σωτὴρ παραλαβών usque ὁ ἀπόστολος ἡσύχασεν: E pro his nil nisi haec habet: παρέλαβεν αὐτὸν ὁ ἔμπορος.

3. ὁ ἀπόστολος h. l. cum A; E post εὐξάμενος; alii ante εἶπεν (E ἔφη), praetereaque B add Θωμᾶς | B βούλῃ | E κύριε ὁ θεός, τὸ σὸν θέλημα | ἀπῆλθ. δέ (A om δέ): E καὶ ἀπῆλθε | E om Ἀββάνην | ὅλως τι: BCE om τι | ἀλλ' ἢ: BE εἰ μή | μόνον: E om; B μόνον ἔχων | δεδώκει (sic A; alii ἔδεδ.) γάρ: E ὃ δέδωκεν | Ἧτω -- μετὰ τῆς χάρ. μου: E Ἧτω τὸ τίμημα μετὰ σοῦ καὶ ἡ χάρις μου | ἂν: C ἐάν, E δ' ἄν | E τ. Ἀββάνην ἀναφέρ. τὰ σκεύη αὐτοῦ εἰς. A om τὰ σκεύη αὐτοῦ | οὖν καί: B δὲ καί | ἐμβ. δὲ αὐτῶν cum AE: alii add εἰς τὸ πλοῖον | E ἐξέταζεν (B ἐξήτασεν) ὁ ἀπόστολος τὸν ἔμπορον λέγων | BC λέγων αὐτῷ | ὁ δὲ ἔφη: B ἀποκριθεὶς δὲ ὁ ἀπόστολος Θωμᾶς ἔφη πρὸς αὐτόν | A om καὶ πλοῖα. E sic: ἄροτρα, ζυγούς, τρυτάνας, κώπας, πλοῖα, ἱστούς, τροχαλαίας | στήλας: ita A, alii add τε. E rursus στήλας, ναούς, πρετώρ. βασ. | εἶπ. δὲ αὐτ. ὁ (ita AC; B om) Ἀββ. ὁ ἔμπ. (C om ὁ ἔμπ.): E καὶ ἀποκριθεὶς ὁ ἔμπορος ἔφη | γὰρ καί: E καὶ γάρ | BE χρ. ἔχω | ἔσχον δὲ etc: E καὶ εἶχον ἄνεμον ἐπιτήδειον· προθύμως δὲ πλέοντες κατήντησαν εἰς | ἕως ὅτε: B ἕως ὅτου

4. Ἐξελθόντες -- εἰσίεσαν (A εἰσίησαν, alii εἰσίεσαν, B ἀπίεσαν, Th. (ut E) εἰσήεσαν -- καὶ ὑδραυλέων (C om κ. ὑδρ.) σάλπιγγες (ita E; A σάλπιγγαι;

Digitized by Google

σαι αὐτούς· ἐξήταζεν δὲ ὁ ἀπόστολος λέγων Τίς ἐστιν αὕτη ἡ ἑορτὴ ἡ ἐν τῇ πόλει ταύτῃ; ἔλεγον δὲ αὐτῷ οἱ ἐκεῖσε ὅτι καὶ σὲ οἱ θεοὶ ἤγαγον ἵνα εὐωχηθῇς ἐν τῇ πόλει ταύτῃ. ὁ γὰρ βασιλεὺς θυγατέρα μονογενῆ ἔχει, καὶ νῦν αὐτὴν ἐκδίδωσιν ἀνδρὶ πρὸς γάμον· τῶν οὖν γάμων ἡ χαρὰ καὶ ἡ πανήγυρίς ἐστιν αὕτη σήμερον, ἣν εἶδες ἑορτήν. ὁ δὲ βασιλεὺς κήρυκας ἀπέστειλε κηρῦξαι πανταχοῦ πάντας παρατυχεῖν εἰς τοὺς γάμους, πλουσίους καὶ πένητας, δούλους καὶ ἐλευθέρους, ξένους καὶ πολίτας· εἴ τις δὲ παραιτήσηται καὶ μὴ παρατύχῃ εἰς τοὺς γάμους, ὑπεύθυνος ἔσται τῷ βασιλεῖ. Ἀββάνης δὲ ἀκούσας εἶπε τῷ ἀποστόλῳ Ἀπέλθωμεν οὖν καὶ ἡμεῖς, ἵνα μὴ προσκρούσωμεν τῷ βασιλεῖ, καὶ μάλιστα ξένοι ὄντες. ὁ δὲ εἶπεν Ἀπέλθωμεν. καὶ καταλύσαντες ἐν τῷ ξενοδοχείῳ καὶ ὀλίγον ἀναπαύσαντες ἀπῆλθον εἰς τοὺς γάμους. καὶ ἰδὼν ὁ ἀπόστολος ἀνακεκλιμένους πάντας, ἀνεκλίθη καὶ αὐτὸς ἐν τῷ μέσῳ· ἀπέβλεπον δὲ εἰς αὐτὸν πάντες ὡς εἰς ξένον καὶ ἐξ ἀλλοδαπῆς ἐλθόντα γῆς· Ἀββάνης δὲ ὁ ἔμπορος ὡς ἅτε δεσπότης εἰς ἄλλον τόπον ἀνεκλίθη.

5 Δειπνησάντων δὲ αὐτῶν καὶ πιόντων ὁ ἀπόστολος οὐδενὸς ἐγεύσατο· οἱ οὖν περὶ αὐτὸν ὄντες ἔλεγον αὐτῷ Τί ἦλθες ἐνθάδε,

---

alii σαλπίγγων) περιηχοῦσαι (CE περιήχουν) αὐτούς (ita A; E aliique αὐτοῖς): B ὡς δὲ ἀπέβησαν εἰς τὴν γῆν καὶ ἀπίεσαν εἰς τὴν πόλιν, φωνῆς ἤκουον συρίγγων καὶ ἰδραυλέων καὶ αὐλούντων | ἐξήταζεν (E ἐπηρώτησε) -- ἡ (ita E; A aliique om) ἐν τ. π. ταύτῃ: B ὁ δὲ Θωμᾶς ἠρώτα τὴν πρόφασιν τῆς κατὰ πόλιν τέρψεως | ἔλεγον (E εἶπον) -- οἱ ἐκεῖσε (ita CE; A οἱ ἐκεῖ) ὅτι (E om): B οἱ δὲ ἐρωτηθέντες ἀπεκρίναντο ὅτι | ἵνα -- ταύτῃ (E om ταύτῃ): B ὅπως μεθ' ἡμῶν εὐφρανθῇς | βασιλεύς: B add ἡμῶν, φασί | E θυγατέραν ἔχει μονογενῆ | νῦν αὐτήν: B ταύτην | E ἐκδίδει πρὸς γάμον (B om πρ. γάμ.) ἀνδρί | τῶν οὖν -- ἑορτήν: E om; B καὶ ἡ φωνὴ αὕτη γαμήλιός ἐστιν | ὁ δὲ βασιλ. -- πάντας (C πᾶσι τοῦ) π. ε. τ. γάμους: E ἀπέστειλε δὲ ὁ βασιλ. κήρυκας παντα-χοῦ εἰς τοὺς γάμους ὥστε παρατυχεῖν | CE πλουσ. τε καί | C δούλ. τε καί | CE ξένους τε καί | καὶ μὴ παρατύχῃ: E καὶ οὐ τύχῃ (codex -χει) | Ἀββ. δὲ ἀκούσας: E καὶ ἀκούσας ὁ ἔμπορος | οὖν καὶ: CE om οὖν | καὶ μάλιστα: E om καί | καὶ καταλύσαντες: CE καταλ. δέ | A ξενοδοχίῳ | E om καὶ ὀλίγ. ἀναπαύσαντες (C ἀναπαέντες) | C εἰς τὸ μέσον | ὡς εἰς (A om) ξένον καὶ ἐξ (A om) ἀλλοδ. ἐλθόντα γῆς (C χώρας ἐλθόντα): E ὡς ἀπὸ ξένης καὶ ἀλλοδ. χώρας ἐλθόντα | E Ἀβάνης | ὡς ἅτε: E om ὡς | E δεσπότης ὢν | ἄλλον: E ἕτερον | E ἐκλίθη

5. πιόντων: E εὐφρανθέντων | E οἱ οὖν συνανακείμενοι αὐτῷ ἔλεγον Τί |

Digitized by Google

μήτε ἐσθίων μήτε πίνων; ὁ δὲ ἀπεκρίνατο αὐτοῖς λέγων Διὰ μεῖζόν τι τῆς βρώσεως ἢ καὶ τοῦ πότου ἦλθον ἐνθάδε, καὶ ἵνα τὸ θέλημα τοῦ βασιλέως τελέσω. οἱ γὰρ κήρυκες κηρύσσουσι τὰ τοῦ βασιλέως, καὶ ὃς ἂν μὴ ἀκούσῃ τῶν κηρύκων, ὑπόδικος ἔσται τῇ τοῦ βασιλέως κρίσει. δειπνησάντων οὖν αὐτῶν καὶ πιόντων, καὶ στεφάνων καὶ μύρων προσενεχθέντων, λαβόντες μύρον ἕκαστος, ὃς μὲν τὴν ὄψιν αὐτοῦ κατήλειφεν, ὃς δὲ τὸ γένειον, ὃς δὲ καὶ ἄλλους τόπους τοῦ σώματος αὐτοῦ· ὁ δὲ ἀπόστολος τὴν κορυφὴν ἤλειψε τῆς ἑαυτοῦ κεφαλῆς, καὶ ὀλίγον τι εἰς τοὺς μυκτῆρας ἐπέχρισεν ἑαυτοῦ, κατέσταξεν δὲ καὶ εἰς τὰς ἀκοὰς τὰς ἑαυτοῦ, προσῆπτε δὲ καὶ τοῖς ὀδοῦσιν αὐτοῦ, καὶ τὰ περὶ τὴν καρδίαν ἑαυτοῦ συνέχρισεν ἐπιμελῶς· καὶ τὸν στέφανον δὲ τὸν προσενεχθέντα αὐτῷ ἐκ μυρσίνης καὶ ἄλλων ἀνθέων πεπλεγμένον λαβὼν ἐπέθετο τῇ ἑαυτοῦ κεφαλῇ, κλάδον δὲ καλάμου ἔλαβεν ἐν τῇ χειρὶ αὐτοῦ καὶ κατεῖχεν.

Ἡ δὲ αὐλήτρια κατέχουσα ἐν τῇ χειρὶ αὐτῆς τοὺς αὐλοὺς περιήρχετο πάντας· ὅτε δὲ ἦλθε καθ' ὃν τόπον ἦν ὁ ἀπόστολος, ἔστη ἐπάνω αὐτοῦ, καταυλοῦσα πρὸς τὴν κεφαλὴν αὐτοῦ ὥραν πολλήν. ἦν δὲ Ἑβραία τῷ γένει ἡ αὐλήτρια ἐκείνη.

ἀπεκρίν. α. λέγων: E ἔφη | E Διὰ τὸ μεῖζον | ἢ καί: CE om ἤ | ἐνθάδε: E ὧδε | καὶ ἵνα: E ἀλλ' ἵνα | τελέσω· οἱ γὰρ κήρ. κηρύσσουσι (h. l. cum A: alii post βασιλέως) τὰ -- βασιλέως κρίσει: E τελέσω, ἦλθον· ἵνα μὴ ὑπόδικος φανῶ τῇ τοῦ βασ. κρίσει | δειπνησάντων -- καὶ πιόντων (E om κ. πι.), κ. στεφ. κ. μύρ. (E κ. μύρ. κ. στεφ.) -- μύρον (E om) ἕκαστος, -- ὄψιν αὐτοῦ (C ἑαυτοῦ) -- ὃς (E ἄλλος) δὲ καὶ ἄλλους τόπους (E δέ τινα μέρη) τ. σ. αὐτοῦ (E om): B ἐπεὶ δὲ τοῦ ἐσθίειν καὶ πίνειν κόρον ἔσχον, λοιπὸν περὶ τοῦ ἀλείφεσθαι σπουδαῖοι ἐγίγνοντο, καὶ οἱ μὲν τὰς ὄψεις ἐχρίοντο, οἱ δὲ τὸ γένειον, ἕτεροι δὲ τὰ ἄλλα μέρη. | ὁ δὲ ἀπόστολος -- τῆς ἑαυτοῦ (E αὐτοῦ) κεφαλῆς, κ. ὀλ. τι εἰς τ. μ. ἐπέχρ. ἑαυτοῦ (E τι ἐπέχρισε τοὺς αὐτοῦ μυκτ.), κατέσταξεν (C κατένυξε) -- ἀκοὰς τὰς (E om) ἑαυτοῦ (E αὐτοῦ), προσῆπτε δ. κ. τ. ὀδ. αὐτοῦ (E om προσῆπτε usque ὀδ. αὐτοῦ) -- καρδ. ἑαυτοῦ (E αὐτοῦ) συνέχρισεν (E ἐπέχρ.) -- στέφ. δὲ (E om) τ. προσενεχθέντα (E δοθέντα) -- λαβὼν (E om) ἐπέθετο (E ἐπέθηκε) τῇ ἑαυτ. κεφ. (E τῇ κεφ. αὐτοῦ), κλάδον δὲ καλ. ἔλαβ. (E καὶ λαβὼν κλάδον κατεῖχεν) ἐν τ. χ. α. καὶ κατεῖχ. (E om κ. κατ.): B Ἰούδας δὲ τῆς κεφαλῆς τὸ μέσον ἠλείψατο καὶ τὰς ῥῖνας μικρὸν ὑπέχριεν, ἐπήλειφε δὲ καὶ τὰ ὦτα, προσέφερε δὲ καὶ τοῖς ὀδοῦσι καὶ τὴν καρδίαν κατέβρεχε, στέφανον δὲ μυρσίνης ἐπὶ τῆς κεφαλῆς ἐπικείμενον καὶ τῇ χειρὶ φύλλον καλάμου κατεῖχεν.

Ἡ δὲ αὐλήτρια -- χειρὶ αὐτῆς (E αὐτ. χειρ.) -- περιήρχετο πάντας (E add αὐλοῦσα, C καὶ ηὔλει): B Ἦν δὲ ἐκεῖ αὐλήτρια περιερχομένη πάντας τοὺς ἑστιάτορας | E ὅτε δὲ ἦλθεν εἰς τὸν τόπον ἐν ᾧ ἦν ὁ ἀπόστολος | καταυλοῦσα: E αὐλοῦσα | E om πρὸς τ. κ. α. ὥραν πολλήν

Digitized by Google

[6] Τοῦ δὲ ἀποστόλου εἰς τὴν γῆν ἀφορῶντος εἷς τις τῶν οἰνοχόων ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐράπισεν αὐτόν. ἐπάρας δὲ ὁ ἀπόστολος τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ προσχὼν τῷ τύψαντι αὐτὸν εἶπεν Ὁ θεός μου ἀφήσει σοι εἰς τὸν μέλλοντα αἰῶνα τὴν ἀδικίαν ταύτην, εἰς δὲ τὸν κόσμον τοῦτον δείξει αὐτοῦ τὰ θαύματα, καὶ θεάσομαι ἤδη τὴν χεῖρα ἐκείνην τὴν τύψασάν με ὑπὸ κυνὸς συρομένην. καὶ εἰπὼν ταῦτα ἤρξατο ψάλλειν καὶ λέγειν τὴν ᾠδὴν ταύτην.

Ἡ κόρη τοῦ φωτὸς θυγάτηρ, ᾗ ἐνέστηκε καὶ ἔγκειται τὸ ἀπαύγασμα τῶν βασιλέων τὸ γαῦρον, καὶ ἐπιτερπὲς ταύτης τὸ θέαμα, φαιδρῷ κάλλει καταυγάζουσα· ἧς τὰ ἐνδύματα ἔοικεν ἐαρινοῖς ἄνθεσιν, ἀποφορὰ δὲ εὐωδίας ἐξ αὐτῶν διαδίδοται, καὶ ἐν τῇ κορυφῇ ἵδρυται ὁ βασιλεὺς τρέφων τῇ ἑαυτοῦ ἀμβροσίᾳ τοὺς ἐπ' αὐτὸν ἱδρυμένους· ἔγκειται δὲ ταύτης τῇ κεφαλῇ ἀλήθεια, χαρὰν δὲ τοῖς ποσὶν αὐτῆς ἐμφαίνει· ἧς τὸ στόμα ἀνέῳκται πρεπόντως αὐτῇ· τριάκοντα καὶ δύο εἰσὶν οἱ ταύτην ὑμνολογοῦντες, ὧν ἡ γλῶττα παραπετάσματι ἔοικε τῆς θύρας ὃ ἐκτινάσσεται τοῖς εἰσιοῦσιν· ἧς ὁ αὐχὴν εἰς τύπον βαθμῶν ἔγκειται ὃν ὁ πρῶτος δημιουργὸς ἐδημιούργησεν, αἱ δὲ δύο αὐτῆς χεῖρες σημαίνουσι καὶ ὑποδεικνύουσι τὸν χόρον τῶν εὐδαιμόνων αἰώνων

---

6. E om ἀποστόλου | E ὁρῶντος | ἐράπισεν cum A; E aliique ἐρράπασεν | E om τοὺς ὀφθ. αὐτοῦ | προσχών cum C (προσσχ.) E: A προσέχων | E τῷ τύψαντι αὐτῷ ἔφη | Ὁ θε. μου: E om μου | E σοι τὴν ἁμαρτίαν ταύτην ἐν τῷ μέλλοντι αἰῶνι· ἐνταῦθα δὲ δείξει (A δείξῃ) κύριος τὰ θαυμάσια αὐτοῦ | ἤδη: A ἰδεῖν, E om | A χεῖραν | E om ἐκείνην | CE ὑπὸ κυνῶν

BE hymnum non habent. B sic: καὶ ἤρξατο ψάλλειν ἑβραϊστὶ ἐπὶ ὥραν μίαν· καὶ ὅτε ἐπαύσατο, πάντες αὐτῷ ἠτένιζον etc. Item E: καὶ εἰπὼν ταῦτα ἤρξατο ψάλλειν καὶ αἰνεῖν τῷ Χριστῷ· καὶ πάντες οἱ ἐκεῖ παρόντες ἀπέβλεπον εἰς αὐτήν. C vero maximam hymni partem omittit, ut post indicabimus.

Ἡ κόρη τ. φ. (C add ἡ. Item D?) θυγ., ᾗ ἐνέστηκε (C ἔνεστι. Item D?) | C om τὸ γαῦρον usque καταυγάζουσα | καὶ ἐπιτερπὲς ταύτης τὸ θέαμα cum A; Th. codicem D secutus sic edidit: καὶ ἐπατερπὲς (ταύτης τῷ θεάματι), ita ut quae uncis inclusit male assuta haberet. | κάλλει καταυγάζουσα cum D; A κάλῃ κατακλύζουσα | C om ἀποφορὰ δέ usque ἱδρυμένους | τῇ ἑαυτ. ἀμβροσίᾳ cum D; A τὴν ἑαυτ. ἀμβροσίαν | ταύτης τῇ κεφ. cum A; C(D?) αὐτῆς τ. κ. | πρεπόντως αὐτῇ· τριάκοντα cum A; D καὶ πρεπόντως τριάκοντα. Th. edidit πρεπ. αὐτῇ, καὶ τριάκ. | Post πρεπόντως C pergit ᾗ λειτουργοῦσι λευχειμονοῦντες ἄγγελοι, δοξάζουσι δὲ σὺν τῷ ζῶντι πνεύματι etc. (vide extrema verba hymni), ita ut quae interposita sunt plane omittat | ὃ ἐκτινάσσ. τ. εἰσιοῦσιν cum D; A corrupte ἕως ἐκτινάσις τοῖς ἰοῦσιν | ἧς ὁ αὐχὴν cum D; in A de-

Digitized by Google

κηρύσσουσαι, οἱ δὲ δάκτυλοι αὐτῆς τὰς πύλας τῆς πόλεως ὑποδεικνύουσιν· ἧς ὁ παστὸς φωτεινὸς ἀποφορὰν ἀπὸ βαλσάμου καὶ παντὸς ἀρώματος διαπνέων ἀναδιδούς τε ὀσμὴν ἡδεῖαν σμύρνης τε καὶ φύλλου, ὑπέστρωνται δὲ ἐντὸς μυρσίναι καὶ ἄνθη πάμπολλα ἡδύπνοα, αἱ δὲ παστάδες ἐν καλάμῳ κεκόσμηνται. [7] Περιεστοιχισμένην δὲ αὐτὴν ἔχουσιν οἱ ταύτης νυμφίοι, ὧν ὁ ἄριθμος ἑβδομός ἐστιν, οὓς αὐτὴ ἐξελέξατο· αἱ δὲ ταύτης παράνυμφοί εἰσιν ἑπτά, αἳ ἔμπροσθεν αὐτῆς χορεύουσιν· δώδεκα δέ εἰσι τὸν ἄριθμον οἱ ἔμπροσθεν αὐτῆς ὑπηρετοῦντες καὶ αὐτῇ ὑποκείμενοι, τὸν σκοπὸν καὶ τὸ θέαμα εἰς τὸν νυμφίον ἔχοντες, ἵνα διὰ τοῦ θεάματος αὐτοῦ φωτισθῶσιν, καὶ εἰς τὸν αἰῶνα σὺν αὐτῷ ἔσονται εἰς ἐκείνην τὴν χαρὰν τὴν αἰωνίαν, καὶ καθήσονται ἐν τῷ γάμῳ ἐκείνῳ ἐν ᾧ οἱ μεγιστᾶνες συναθροίζονται, καὶ παραμενοῦσιν τῇ εὐωχίᾳ ἧς οἱ αἰώνιοι καταξιοῦνται, καὶ ἐνδύσονται βασιλικὰ ἐνδύματα καὶ ἀμφιάσονται στολὰς λαμπράς, καὶ ἐν χαρᾷ καὶ ἀγαλλιάσει ἔσονται ἀμφότεροι, καὶ δοξάσουσι τὸν πατέρα τῶν ὅλων· οὗ τὸ φῶς τὸ γαυρὸν ἐδέξαντο, καὶ ἐφωτίσθησαν ἐν τῇ θέᾳ αὐτοῦ τοῦ δεσπότου αὐτῶν, οὗ τὴν ἀμβροσίαν βρῶσιν ἐδέξαντο μηδεμίαν ὅλως ἀπουσίαν ἔχουσαν, ἔπιον δὲ καὶ ἀπὸ τοῦ οἴνου τοῦ μὴ δίψαν αὐτοῖς παρέχοντος καὶ ἐπιθυμίαν σαρκός· ἐδόξασαν δὲ καὶ ὕμνησαν σὺν τῷ ζῶντι πνεύματι τὸν πατέρα τῆς ἀληθείας καὶ τὴν μητέρα τῆς σοφίας.

[8] Καὶ ὅτε ὕμνησε καὶ ἐτέλεσε τὴν ᾠδὴν ταύτην, πάντες οἱ ἐκεῖ παρόντες εἰς αὐτὸν ἀπέβλεπον καὶ ἡσύχαζον· ἔβλεπον δὲ

---

sunt, sed spatium vacuum relictum est | κηρύσσουσαι: D κηρύσσοντες | ἀναδιδ. τε cum A; D ἀναδιδ. δέ | ἡδεῖαν et φύλλου: A (item D?) ἰδίαν et φύλου | ὑπέστρωνται – – ἡδύπνοα cum D: A vitiose ὑπέστρωτε δὲ ἐντὸς μυρσίνες καὶ ἄνθεων παμπόλλων ἡδυπνόων | αἱ δὲ παστάδες: ita ex Thilonis coniectura edidi. Codex D αἱ δὲ κλεῖς (idque Th. edidit); A vero ἐνδεκεστάδες. Praeter illud αἱ δὲ παστάδες proposuit Th. αἱ δὲ κλεισιάδες (κλισιάδες): quae lectio si et ipsa de lecto nuptiali accipi posset, pro scriptura codicum A et D praeferenda esset. | ἐν καλάμῳ: ita A; D ἐν καλάμοις. Th. proposuit ἐν θαλάμῳ, item (κλεῖς servato) ἐν καλάθῳ.

7. αἱ δὲ ταύτης: D οἱ δὲ αὐτῆς; similiter postea A οἳ ἔμπροσθεν | καὶ αὐτῇ: D καὶ αὐτοί | καὶ τὸ θέαμα: A om τό | καθήσονται cum D: A ἔσονται | παραμενοῦσιν: A παραμένουσιν | τὸ γαυρὸν ἐδέξαντο cum D; A τὸν σταυρὸν ἐδέξατο | ἐδέξαντο: A ἐδέξατο | μηδεμίαν cum D; A μηδέν | παρέχοντος: D ἐπάγοντος | σαρκός: A om | ἐδόξασαν δέ: A om δέ

8. πάντες οἱ ἐκεῖ – – ἔβλεπον (A ἀπέβλεπον) – – ὑπὸ (ita A; D ὑπ') αὐτοῦ

καὶ τὸ εἶδος αὐτοῦ ἐναλλαγέν, τὰ δὲ ὑπὸ αὐτοῦ λεχθέντα οὐκ ἐνόουν, ἐπειδὴ αὐτὸς Ἑβραῖος ἦν καὶ τὰ λεχθέντα ὑπ' αὐτοῦ ἑβραϊστὶ ἐλέχθη. ἡ δὲ αὐλήτρια πάντα ἤκουσεν μόνη, Ἑβραία γὰρ ἦν τὸ γένος, καὶ ἀποστᾶσα ἀπ' αὐτοῦ ηὔλει τοῖς ἄλλοις, εἰς αὐτὸν δὲ τὰ πολλὰ ἀφεώρα καὶ ἀπέβλεπεν· πάνυ γὰρ ἠγάπησεν αὐτὸν ὡς ἄνθρωπον ὁμόεθνον αὐτῆς, ἦν δὲ καὶ τῇ εἰδέᾳ ὡραῖος ὑπὲρ πάντας τοὺς ἐκεῖσε ὄντας. καὶ ὅτε ἐτέλεσεν ἡ αὐλήτρια πάντα αὐλήσασα, ἄντικρυς αὐτοῦ καθεσθεῖσα ἀφεώρα καὶ ἠτένιζεν εἰς αὐτόν· αὐτὸς δὲ ὅλως εἰς οὐδένα ἑώρα οὐδὲ προσεῖχέ τινι, εἰ μὴ μόνον εἰς τὴν γῆν εἶχε τοὺς ὀφθαλμοὺς αὐτοῦ, προσδεχόμενος πότε ἀναλύσῃ ἐκεῖθεν. ὁ δὲ οἰνοχόος ἐκεῖνος ὁ ῥαπίσας αὐτὸν κατῆλθεν εἰς τὴν πηγὴν ἀντλῆσαι ὕδωρ· ἔτυχε δὲ ἐκεῖ εἶναι λέοντα, καὶ ἐξελθὼν ἐθανάτωσεν αὐτὸν καὶ ἀφῆκε κεῖσθαι ἐν τῷ τόπῳ κατακόψας τὰ μέλη αὐτοῦ· κύνες δὲ εὐθὺς ἔλαβον τὰ μέλη αὐτοῦ, ἐν οἷς καὶ εἷς μέλας κύων τὴν δεξιὰν αὐτοῦ χεῖρα τῷ στόματι κρατῶν εἰς τὸν τόπον τοῦ συμποσίου εἰσήνεγκεν.

9 Ἰδόντες δὲ ἐξεπλάγησαν πάντες, ἐξετάζοντες τίς ὁ ἐξ αὐτῶν ἀπολειφθείς. ὡς δὲ φανερὸν ἐγένετο ὅτι τοῦ οἰνοχόου ἐστὶν ἡ χεὶρ τοῦ πατάξαντος τὸν ἀπόστολον, ἡ αὐλήτρια τοὺς αὐλοὺς αὐτῆς κατεάξασα ἔρριψε, καὶ πρὸς τοὺς πόδας τοῦ ἀποστόλου ἀπελθοῦσα ἐκαθέσθη λέγουσα ὅτι οὗτος ὁ ἄνθρωπος ἢ θεός ἐστιν

-- γὰρ ἦν (A om) τὸ γένος (C τῷ γένει) -- ἀφεώρα καὶ (C om ἀφ. καί) ἀπέβλεπεν· πάνυ -- εἰδέᾳ (A ἡδέᾳ) -- ὄντας. καὶ ὅτε: pro his E (vide supra) καὶ πάντες οἱ ἐκεῖ παρόντες ἀπέβλεπον εἰς αὐτήν· ἦν δὲ τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἐναλλαγέν. ὅτε δέ | πάντα (A add καὶ) αὐλήσασα: E πάντας | ἄντικρ. α. καθεσθ. ἀφ. καὶ ἠτένιζεν (D ἀπέβλεπεν?) cum A; C ἀντ. α. ἐκαθέσθη ἀφορῶσα καὶ ἀτενίζουσα: E ἐκαθέσθη ἀντικρὺ τοῦ ἀποστόλου ἀτενίζουσα | εἰς αὐτόν: E αὐτῷ | E om ὅλως | εἰς οὐδένα ἑώρα (C ἀφεώρα?): E οὐδενὶ ἑώρα | οὐδέ: E ἤ | E om εἰ μὴ μόνον usque ἐκεῖθεν | εἶχε τ. ὀφθ. αὐτοῦ (C om) cum C: A ἔχων τ. ὀφθ. αὐτ. προσεῖχε | ἀναλύσῃ cum A; C ἀναλύσει | E ὁ δὲ ῥαπίσας αὐτὸν οἰνοχόος | ἐξελθών ex E est | καὶ ἀφῆκε -- ἔλαβον τὰ μέλη αὐτοῦ (C τὰ τούτου μέλη), ἐν οἷς -- χεῖρα (A χεῖραν) -- εἰσήνεγκεν: E κατακόψας τοίνυν τὰ μέλη αὐτοῦ καὶ διασκορπίσας, λαβόντες οἱ κύνες ἤσθιον· εἷς δὲ μέλας κύων τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐν τῷ στόματι κρατῶν ἐν τῷ τόπῳ τοῦ συμποσίου ἤγαγε.

9. E Καὶ ἰδόντ. πάντ. ἐξεπλάγ. καὶ ἠρώτων τίς ἐστιν ὁ ἐξ | C ὅτι τίς ἐστιν ὁ ἐξ | ἀπολειφθείς: AE ἀποληφθείς | τοῦ πατάξαντος cum AE; Th. om τοῦ | ἡ (A add δὲ) αὐλ. τ. α. αὐτ. κατεάξασα (BC συντρίψασα) ἔρριψε: E βίψασα ἡ αὐλ. τοὺς αὐλούς | E καὶ εἰς τοὺς πόδας αὐτοῦ πεσοῦσα ἐκαθέσθη βοῶσα

Digitized by Google

ἢ ἀπόστολος θεοῦ· ἐγὼ γὰρ ἤκουσα αὐτοῦ ἑβραϊστὶ εἰπόντος τῷ οἰνοχόῳ ὅτι ἤδη θεάσομαι τὴν χεῖρα τὴν τύψασάν με ὑπὸ κυνῶν συρομένην, ὅπερ καὶ ὑμεῖς ἐθεάσασθε νῦν· ὡς γὰρ εἶπεν, οὕτως καὶ συνέβη. καὶ τινὲς μὲν ἐπίστευον αὐτῇ, τινὲς δὲ οὔ. ὁ δὲ βασιλεὺς ἀκούσας προσελθὼν εἶπεν αὐτῷ Ἀναστὰς ἐλθὲ μετ' ἐμοῦ καὶ εὔξαι ὑπὲρ τῆς θυγατρός μου· μονογενῆ γὰρ αὐτὴν ἔχω, καὶ σήμερον αὐτὴν ἐκδίδωμι. ὁ δὲ ἀπόστολος οὐκ ἐβούλετο ἀπελθεῖν σὺν αὐτῷ· οὐδέπω γὰρ ἦν ἐκεῖ αὐτῷ ὁ κύριος ἀποκαλυφθείς· ὁ δὲ βασιλεὺς ἄκοντα αὐτὸν ἀπήγαγεν εἰς τὸν νυμφῶνα, ὅπως εὔξεται ὑπὲρ αὐτῶν.

10 Στὰς δὲ ὁ ἀπόστολος ἤρξατο εὔχεσθαι καὶ λέγειν οὕτως Ὁ κύριός μου καὶ ὁ θεός μου, ὁ συνοδοιπόρος τῶν αὐτοῦ δούλων, ὁ ὁδηγῶν καὶ εὐθύνων τοὺς εἰς αὐτὸν πιστεύοντας, ἡ καταφυγὴ καὶ ἡ ἀνάπαυσις τῶν τεθλιμμένων, ἡ ἐλπὶς τῶν πενήτων καὶ λυτρωτὴς τῶν αἰχμαλώτων, ὁ ἰατρὸς τῶν ἐν νόσῳ κατακειμένων ψυχῶν καὶ σωτὴρ πάσης κτίσεως, ὁ τὸν κόσμον ζωοποιῶν καὶ τὰς ψυχὰς ἐνδυναμῶν, σὺ ἐπίστασαι τὰ μέλλοντα, ὃς καὶ δι' ἡμῶν τελειοῖς ταῦτα· σὺ κύριε ὁ ἀποκαλύπτων μυστήρια ἀπόκρυφα καὶ ἐκφαίνων λόγους ἀπορρήτους ὄντας· σὺ κύριε ὁ φυτουργὸς τοῦ ἀγαθοῦ δένδρου, καὶ διὰ τοῦ δένδρου ἔργα ἀπογεννᾶται· σὺ κύριε ὁ ἐν πᾶσιν ὢν καὶ διερχόμενος διὰ πάντων καὶ

Οὗτος | ἀπόστολος (A add τοῦ) Θεοῦ: E Θεοῦ ἀπόστ. | C τὴν χεῖρα (A χεῖραν) ταύτην | ὅπερ usque νῦν: E καθὼς οἴδατε | E οὕτω καὶ ἐγένετο | αὐτῇ: A αὐτήν | ἀκούσας cum AE; Th. add ταῦτα | E om προσελθών | εἶπεν αὐτῷ cum AE: Th. εἶπε τῷ ἀποστόλῳ | Ἀναστάς cum AE; alius ἀνάστα | E om μονογενῆ (A -γενῆν) γ. α. ἔχω | καὶ σήμερον: E ὅτι σήμερον | E οὐκ ἠβουλήθη ἀπ. μετ' αὐτοῦ· οὔπω | E om ἐκεῖ | ὅπως εὔξεται (ita A; Th. -ξηται) ὑπ. αὐτῶν: E τοῦ εὔξασθαι τῷ οἴκῳ αὐτοῦ

10. Haec sectio, in A et D plene lecta, in codicibus BCE in breve contracta est: preces enim tantum non omittuntur. C sic habet: Σταθεὶς δὲ ὁ ἀπόστολος ἠῦξατο λέγων Κύριε ὁ θεός μου, τὰ συμφέροντα τοῖς νέοις τούτοις ποίησον ἐν τῇ χρηστότητί σου. καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας καὶ εἰπών Κύριος ἔσται etc. B sic: Ὁ δὲ ἀπόστολος ἐπευξάμενος αὐτοῖς καὶ στηρίξας ἐξῆλθεν εἰπὼν αὐτοῖς Ἡ εἰρήνη τοῦ κυρίου καὶ ἡ χάρις ἔσται μεθ' ὑμῶν. καὶ ταῦτα εἰπὼν ἐξῆλθε πορευθεὶς τὴν ὁδὸν αὐτοῦ. E vero ita: Ὁ δὲ εἶπεν Κύριε ὁ θεός μου, ἡ ἐλπὶς τῶν πενήτων καὶ λυτρωτὴς τῶν αἰχμαλώτων, ὁ τὸν κόσμον ζωοποιῶν καὶ τὰς ψυχὰς θυναμῶν (sic), δέομαί σου, κύριε Ἰησοῦ Χριστέ, ὑπὲρ τῶν νυμφίων τούτων, ἵνα τὰ συμφέροντα αὐτοῖς ποιήσεις. καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῦ καὶ εἰπὼν τὸ ἀμήν, καὶ ἀπῆλθεν.

ὃς καὶ δι' cum D: A ὡς κ. δ. | σὺ κύριε ὁ φυτουργὸς τοῦ -- ἀπογεννᾶ-

Digitized by Google

ἐγκείμενος πᾶσι τοῖς ἔργοις σου καὶ διὰ τῆς πάντων ἐνεργείας φανερούμενος· Ἰησοῦ Χριστὲ ὁ τῆς εὐσπλαγχνίας υἱὸς καὶ τέλειος σωτήρ, Χριστὲ υἱὲ τοῦ θεοῦ τοῦ ζῶντος, ἡ δύναμις ἡ ἀπτόητος ἡ τὸ ἐχθρὸν καταστρέψασα, καὶ ἀκουσθεῖσα ἡ φωνὴ τοῖς ἄρχουσιν ἡ σαλεύσασα τὰς ἐξουσίας αὐτῶν ἁπάσας, ὁ πρεσβευτὴς ὁ ἀπὸ τοῦ ὕψους αὐτοῖς ἀποσταλεὶς καὶ ἕως τοῦ ᾅδου καταντήσας, ὃς καὶ τὰς θύρας ἀνοίξας ἀνήγαγες ἐκεῖθεν τοὺς ἐγκεκλεισμένους πολλοῖς χρόνοις ἐν τῷ τοῦ κόσμου ταμιείῳ καὶ τούτοις τὴν ἄνοδον ὑποδείξας τὴν εἰς τὸ ὕψος ἀνάγουσαν· δέομαί σου, κύριε Ἰησοῦ Χριστέ, ἱκετηρίαν σοι προσφέρω ὑπὲρ τῶν νεωτέρων τούτων, ἵνα τὰ βοηθοῦντα αὐτοῖς καὶ συμβαλλόμενα καὶ συμφέροντα ποιήσῃς. καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας αὐτοῦ καὶ εἰπών Ὁ κύριος ἔσται μεθ' ὑμῶν, κατέλιπεν αὐτοὺς ἐν τῷ τόπῳ καὶ ἀπῆλθεν.

11 Ὁ δὲ βασιλεὺς ἠξίου τοὺς παρανύμφους ἐξέρχεσθαι ἀπὸ τοῦ νυμφῶνος. πάντων δὲ ἐξελθόντων καὶ τῶν θυρῶν κλεισθεισῶν ὁ νυμφίος τὸ καταπέτασμα τοῦ νυμφῶνος ἐπῆρεν ἵνα τὴν νύμφην πρὸς ἑαυτὸν ἀγάγῃ. καὶ εἶδε τὸν κύριον Ἰησοῦν τὴν ἀπεικασίαν Ἰούδα Θωμᾶ ἔχοντα καὶ ὁμιλοῦντα τῇ νύμφῃ, τοῦ πρὸ βραχέως εὐλογήσαντος αὐτοὺς καὶ ἐξελθόντος ἀπ' αὐτῶν, καί φησιν αὐτῷ Οὐχὶ πρὸ πάντων ἐξῆλθες; καὶ πῶς εὑρέθης ὧδε; ὁ δὲ κύριος εἶπεν αὐτῷ Ἐγὼ οὐκ εἰμὶ Ἰούδας ὁ καὶ Θωμᾶς, ἀδελφὸς αὐτοῦ εἰμί. καὶ ἐκαθέσθη ὁ κύριος ἐπὶ τῆς κλίνης, ἐκέλευσε δὲ καὶ αὐτοῖς καθεσθῆναι ἐπὶ τοῖς δίφροις, καὶ ἤρξατο αὐτοῖς λέγειν.

ται: D om | σωτήρ: D πατήρ | πρεσβευτής: A πρεσβύτης | πολλοῖς χρόνοις: sic A et D (Th. edidit πολλοὺς χρόνους) | τοῦ κόσμου: D τοῦ σκότους | ταμιείῳ: ita A et D (Th. edidit ταμείῳ) | ὑποδείξας: D ὑπανοίξας | δέομαί σου (ita A; item E): Th. om σου | A κατέλιπεν δὲ αὐτούς

11. ἠξίου: E ἠξίωσε | νυμφῶνος: E κοιτῶνος | E καὶ πάντων ἐξελθόντων κ. τ. λ. ἀπῆρεν ὁ νυμφ. τὸ καταπ. τοῦ κοιτῶνος ἵνα ἄγῃ τὴν νύμφ. πρὸς αὐτόν | κύριον Ἰησοῦν: E σωτῆρα Χριστόν | τὴν ἀπεικασίαν Ἰούδα (C om) Θωμᾶ -- τοῦ (A τῷ) πρὸ βρ. εὐλογήσαντος (A -ντι) -- ἀπ' αὐτῶν (C add ἀποστόλου, A τοῦ ἀποστόλου): E nil nisi ἐν σχήματι τοῦ Θωμᾶ | φησιν: E λέγει | καὶ (E om) πῶς cum A(E): Th. (ex C videtur) πῶς οὖν | E ὧδε; εἶπε δὲ αὐτῷ ὁ Χριστός Οὐκ εἰμὶ ἐγὼ ὁ Θωμᾶς, ὃν προσδοκᾶς ὅτι μαθητής ἐστιν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ τοῦ ζῶντος, ἀλλ' ἀδελφός (C ἀδελφὸς δέ) αὐτοῦ εἰμί. καὶ ἐκαθέσθη ἐπὶ τῆς αὐτοῦ κλίνης, καὶ ἐκέλευσεν αὐτοὺς καθεσθῆναι etc. | E λέγειν αὐτοῖς

Digitized by Google

12 Μνημονεύετε, τεκνία μου, ὧν ὁ ἀδελφός μου ἐλάλησεν ὑμῖν καὶ τίνι ὑμᾶς παρέθετο· καὶ τοῦτο γνῶτε, ὅτι ἐὰν ἀπαλλαγῆτε τῆς ὑπαρᾶς κοινωνίας ταύτης, γίνεσθε ναοὶ ἅγιοι, καθαροί, ἀπαλλαγέντες πλήξεων καὶ ὀδυνῶν φανερῶν τε καὶ ἀφανῶν, καὶ φροντίδας οὐ περιθήσεσθε βίου καὶ τέκνων, ὧν τὸ τέλος ἀπώλεια ὑπάρχει. ἐὰν δὲ κτήσησθε παῖδας πολλούς, διὰ τούτους γίνεσθε ἅρπαγες καὶ πλεονέκται, ὀρφανοὺς δέροντες, χήρας πλεονεκτοῦντες, καὶ ταῦτα ποιοῦντες ὑποβάλλετε ἑαυτοὺς εἰς τιμωρίας κακίστας. οἱ γὰρ πολλοὶ παῖδες ἄχρηστοι γίνονται, ὑπὸ δαιμονίων ὀχλούμενοι, οἱ μὲν φανερῶς, οἱ δὲ καὶ ἀφανῶς· γίνονται γὰρ ἢ σεληνιαζόμενοι ἢ ἡμίξηροι ἢ πηροὶ ἢ κωφοὶ ἢ ἄλαλοι ἢ παραλυτικοὶ ἢ μωροί· ἐὰν δὲ καὶ ὦσιν ὑγιαίνοντες, ἔσονται πάλιν ἀποίητοι, ἄχρηστα καὶ βδελυκτὰ ἔργα διαπραττόμενοι· εὑρίσκονται γὰρ ἢ ἐν μοιχείᾳ ἢ ἐν φόνῳ ἢ ἐν κλοπῇ ἢ ἐν πορνείᾳ, καὶ ἐν τούτοις πᾶσιν ὑμεῖς συντριβήσεσθε. ἐὰν δὲ πεισθήσεσθε καὶ τηρήσετε τὰς ψυχὰς ὑμῶν ἁγνὰς τῷ θεῷ, γεννήσονται ὑμῖν παῖδες ζῶντες, ὧν αἱ βλάβαι αὗται οὐ θιγγάνουσι, καὶ ἔσεσθε ἀμέριμνοι ἄσκυλτον διάγοντες βίον χωρὶς λύπης καὶ μεριμνης, προσδοκῶντες ἀπολήψεσθαι ἐκεῖνον τὸν γάμον τὸν ἄφθορον καὶ ἀληθινόν, καὶ ἔσεσθε ἐν αὐτῷ παράνυμφοι συνεισερχόμενοι εἰς τὸν νυμφῶνα ἐκεῖνον τὸν τῆς ἀθανασίας καὶ φωτὸς πλήρη.

13 Ὡς δὲ ἤκουσαν ταῦτα οἱ νεώτεροι, ἐπίστευσαν τῷ κυρίῳ καὶ ἑαυτοὺς ἐκδότους ἔδωκαν αὐτῷ, καὶ ἀπέσχοντο τῆς ῥυ-

12. Pro tota hac oratione E habet τὰ συμφέροντα ψυχῆς καὶ σώματος. | τεκνία: C τέκνα | τίνι cum C; E τί | ὅτι ἐὰν ἀπαλλαγῆτε -- πλήξεων (C τῶν πλήξ.) -- περιθήσεσθε (codex περισθήσεσθε) -- ἀπώλεια ὑπάρχει: B ὅτι ἐὰν τηρήσητε ἑαυτοὺς ἀμέμπτους τὸ λοιπὸν τοῦ βίου τούτου, ἔσεσθε ναοὶ ἅγιοι, ῥυσθέντες ἀπὸ πάσης φθορᾶς φανερᾶς τε καὶ ἐναποκρύφου καὶ φροντίδων ἀνωφελῶν καὶ ἐπιβλαβῶν | ἐὰν δὲ (C add καὶ) κτήσησθε -- τιμωρ. κακίστας (C μεγίστας): B ἐὰν γένωνται ὑμῖν παιδία, ἕνεκεν αὐτῶν μέλλετε τύπτειν καὶ ἁρπάζειν ὀρφανοὺς καὶ καταπονεῖν χήρας, καὶ ταῦτα ποι. ὑποβ. ἑαυτ. εἰς δεινὰς τιμωρίας. Idem reliqua usque finem sectionis paucis complectitur his: ἀλλὰ μείνατε ἁγνίσαντες ἑαυτοὺς ἀπὸ πάντων, προσδοκῶντες ἀπολαβεῖν παρὰ τοῦ ἀληθινοῦ ἡμῶν νυμφίου τοὺς στεφάνους τοὺς ἀφθάρτους. ταῦτα διδάξας αὐτοὺς ἐξῆλθεν. | πολλοὶ παῖδες: A πολύπαιδες | δαιμονίων cum A; Th. δαιμόνων | ἄχρηστα: A ἄχρηστοι | A μοιχίᾳ | συντριβήσεσθε cum A; Th. συντρίβεσθε | πεισθήσεσθε κ. τηρήσετε: C πεισθῆτε καὶ τηρήσητε | πλήρη: A πλήρης

13. E om ταῦτα οἱ νεώτεροι | E ἐπίστ. τῷ Χριστῷ | E καὶ ἑαυτοὺς ἐκ-

Digitized by Google

παρᾶς ἐπιθυμίας, καὶ ἔμειναν οὕτως ἐν τῷ τόπῳ διανυκτερεύσαντες. ὁ δὲ κύριος ἐξῆλθεν ἀπ' ἔμπροσθεν αὐτῶν λέξας οὕτως αὐτοῖς Ἡ χάρις τοῦ κυρίου ἔσται μεθ' ὑμῶν. ὄρθρου δὲ ἐπιστάντος ἀπήντησεν ὁ βασιλεύς, καὶ πληρώσας τὴν τράπεζαν εἰσήγαγεν ἔμπροσθεν τοῦ νυμφίου καὶ τῆς νύμφης· εὗρεν δὲ αὐτοὺς ἀντικρὺ ἀλλήλων καθεζομένους, τῆς δὲ νύμφης τὴν ὄψιν ἀσκέπαστον εὗρεν, καὶ ὁ νυμφίος πάνυ ἱλαρὸς ὑπῆρχεν. ἡ δὲ μήτηρ προσελθοῦσα τῇ νύμφῃ εἶπεν Διὰ τί οὕτως καθέζῃ, τέκνον, καὶ οὐκ αἰδῇ, ἀλλ' οὕτως εἰ ὡς πολὺν χρόνον συμβιώσασα τῷ ἰδίῳ ἀνδρί; καὶ ὁ πατὴρ αὐτῆς εἶπεν Διὰ τὴν πολλὴν ἀγάπην τὴν πρὸς τὸν ἄνδρα σου οὐδὲ σκεπάζει;

[14] Ἀποκριθεῖσα δὲ ἡ νύμφη εἶπεν Ἀληθῶς, πάτερ, ἐν πολλῇ ἀγάπῃ ὑπάρχω, καὶ τῷ κυρίῳ μου εὔχομαι παραμεῖναί μοι τὴν ἀγάπην ἧς ἠσθόμην ταύτῃ τῇ νυκτί, καὶ αἰτήσομαι τοῦτον τὸν ἄνδρα οὗ ἠσθόμην σήμερον. διὸ δὴ οὐκέτι σκεπάσομαι, ἐπειδὴ τὸ ἔσοπτρον τῆς αἰσχύνης ἀπ' ἐμοῦ ἀφῄρηται, καὶ οὐκέτι αἰσχύνομαι οὐδὲ αἰδοῦμαι, ἐπειδὴ τὸ ἔργον τῆς αἰσχύνης καὶ τῆς αἰδοῦς ἐξ ἐμοῦ μακρὰν ἀπέστη· καὶ ὅτι οὐκ ἐκπλήσσομαι, ἐπειδὴ ἡ ἔκπληξις ἐμοὶ οὐ παρέμεινεν· καὶ ὅτι ἐν ἱλαρότητι καὶ χαρᾷ ὑπάρχω, ἐπειδὴ ἡ ἡμέρα τῆς χαρᾶς οὐκ ἐταράχθη· καὶ ὅτι ἐξουθένισα τὸν ἄνδρα τοῦτον καὶ τοὺς γάμους τούτους τοὺς παρερχομένους ἀπ' ἔμπροσθεν τῶν ὀφθαλμῶν μου, ἐπειδὴ

δόντες ἀπέσχον καὶ σαρκικῶν ἐπιθυμιῶν καὶ πάντων: B om καὶ ἑαυτούς usque ἐπιθυμίας | E καὶ ἔμειναν διανυκτηρεύοντες (ita etiam C) καὶ εὐχαριστοῦντες τῷ θεῷ: B καὶ ἔμειναν δι' ὅλης τῆς νυκτὸς μηδ' ὅλως ὑπνώσαντες | κύριος: E σωτήρ | ἐξῆλθεν (C ἀπῆλθεν) -- οὕτως (C om) αὐτοῖς: E ἐξελθὼν ἔφη | τοῦ κυρίου (ita etiam A): Th. μου | δέ: E τοίνυν | ἀπήντησεν: E εἰσῆλθεν | E ἔμπροσθεν τῶν νυμφίων, καὶ εὗρεν αὐτούς | ἀντικρύ cum AE: Th. ἀντικρύς | E ἀντικρὺ (om ἀλλήλων) καθεζομένων | E om τῆς δὲ νύμφης usque προσελθοῦσα, et pergit καὶ λέγει τῇ νύμφῃ Τί οὕτως | E om τέκνον | αἰδῇ: A εδει, E αἰδοῖ | E om ἀλλ' οὕτ. εἰ | συμβιώσασα: E συζήσασα | CE om ἰδίῳ | E om καὶ ὁ πατήρ usque σκεπάζει | σκεπάζει cum A; Th. -ζῃ

14. E Καὶ ἀποκριθεῖσα ἔφη | E ἐν πολλ. χαρᾷ καὶ ἀγαπῇ | κυρίῳ μου: E Χριστῷ | ἧς (ita A): Th. ἣν | αἰτήσομαι: C κτήσομαι | τοῦτον τόν (ita A): Th. om τόν | E om δή | ἐπειδὴ -- ἀφῄρηται: E ὅτι τὸ αἰσχος ἀφῄρ. ἀπ' ἐμοῦ. Idem om sequentia; pergit enim statim: τοὺς δὲ παρόντας γάμους παρέρχομαι, ἐπειδὴ ἑτέρῳ γάμῳ ἡρμόσθην. | οὐδὲ αἰδοῦμαι: C ἢ αἰδ. | ἐμοί (ita A): Th. μοι | ἱλαρότητι: C ἱλαρίᾳ | ἐξουθένισα: C ἐξουθένωσα | ἀπ' ἔμπροσθεν:

Digitized by Google

ἕτερον γάμον ἡρμόσθην· καὶ ὅτι οὐ συνεμίγην ἀνδρὶ προσκαίρῳ, οὗ τὸ τέλος μετὰ λαγνείας καὶ πικρίας ψυχῆς ὑπάρχει, ἐπειδὴ ἀνδρὶ ἀληθινῷ συνεζεύχθην.

15 Καὶ ἔτι πλείονα λεγούσης τῆς νύμφης ἀποκρίνεται ὁ νυμφίος καὶ λέγει Εὐχαριστῶ σοι, κύριε, ὁ διὰ τοῦ ξένου ἀνδρὸς κηρυχθεὶς καὶ ἐν ἡμῖν εὑρεθείς, ὁ μακράν με τῆς φθορᾶς ποιήσας καὶ σπείρας ἐν ἐμοὶ τὴν ζωήν, ὁ τῆς νόσου με ἀπαλλάξας ταύτης τῆς δυσιάτου καὶ δυσθεραπεύτου καὶ παραμενούσης εἰς τὸν αἰῶνα καὶ ὑγείαν σώφρονα ἐγκαταθέμενός μοι, ὁ σαυτόν μοι ὑποδείξας καὶ πάντα τὰ κατ' ἐμέ, ἐν οἷς εἰμί, ἀποκαλύψας μοι, ὁ λυτρωσάμενός με ἀπὸ τῆς πτώσεως καὶ εἰς τὸ κρεῖττον παραγαγών, καὶ τῶν μὲν προσκαίρων ἀπαλλάξας, καταξιώσας δέ με τῶν ἀθανάτων καὶ ἀεὶ ὄντων, ὁ σεαυτὸν κατευτελίσας ἕως ἐμοῦ καὶ τῆς ἐμῆς σμικρότητος, ἵνα ἐμὲ τῇ μεγαλοσύνῃ παραστήσας ἑνώσῃς σεαυτῷ, ὁ τὰ ἴδια σπλάγχνα μὴ ἐπισχὼν ἐξ ἐμοῦ τοῦ ἀπολλυμένου, ἀλλὰ ὑποδείξας μοι ζητῆσαι ἐμαυτὸν καὶ γνῶναι τίς ἤμην, καὶ τίς καὶ πῶς ὑπάρχω νῦν, ἵνα πάλιν γένωμαι ὡς ἤμην· ὃν ἐγὼ μὲν οὐκ ᾔδειν, αὐτὸς δὲ ἐπεζήτησας, ὃν οὐκ ἠπιστάμην, αὐτὸς δὲ προσελάβου· οὗ ἠσθόμην καὶ νῦν οὐ δύναμαι ἀμνημονεῖν, οὗ ἡ ἀγάπη ἐν ἐμοὶ βράσσει· καὶ εἰπεῖν μὲν ὡς δεῖ οὐ δύναμαι, ἃ δὲ χωρῶ λέγειν περὶ αὐτοῦ, βραχέα καὶ πάνυ ὀλίγα, καὶ ἀνάλογα οὐ τυγχάνει πρὸς τὴν ἐκείνου δόξαν·

C ἀπὸ ἔμπροσθεν | ἕτερον γάμον: C (item E; vide ante) ἑτέρῳ γάμῳ | οὗ τὸ τέλ. μ. λαγνείας (A -γνίας) κ. πικρ. ψ. (C φθορᾶς pro πικρ. ψ.) ὑπάρχει) -- συνεζεύχθην: E ἀλλὰ τῷ Χριστῷ προσῆλθον

15. Καὶ ἔτι πλ. (ita A; Th. add τούτων) -- λέγει: E ὁ δὲ νυμφίος τοῦ λόγου δραξάμενος εἶπεν | ὁ -- ἀνδρὸς (E om) κηρυχθεὶς etc: C τὸν -- κηρυχθέντα etc | καὶ σπείρας ἐν ἐμοί: E καὶ ἐνέσπειράς μοι et pergit αἰώνιον ζωήν, sed praeterit quicquid sequitur usque ad sectionis finem. Item BC om omnia quae post ἀεὶ ὄντων usque ταῦτα λέγω leguntur. | ὑγείαν: A ὑγίαν | ἐγκαταθ. μοι: C om μοι | ὁ σαυτόν: A ὡς αὐτόν | ἀποκαλύψ. μοι: C om μοι | παραγαγών (ita A): Th. praem με | ὁ (A om) σεαυτόν: D (ὁ?) ἑαυτόν | μεγαλοσύνῃ (ita A): Th. μεγαλωσύνῃ | ἑνώσῃς σεαυτῷ cum D; A om σεαυτῷ | ὁ τὰ ἴδια: A ὅτε (τε ex tai ortum) δια | ὑποδ. μοι: A ὑποδ. με | καὶ τίς καὶ πῶς (ita A): Th. (ex D?) om καὶ τίς | ὡς ἤμην: D ὃ ἤμην | οὐκ ἠπιστάμην cum D; A μὴ ἐπιστάμην | ἀμνημονεῖν (ita A): Th. add (ex D?) τούτου | βράσσει cum A: D βράζει | βραχέα cum D: A βραχία | τυγχάνει cum A: D τυγχάνοντα | πρὸς τήν: om D: A περὶ τήν

Digitized by Google

οὐκ αἰτιᾶται δέ με ἀναιδευόμενον πρὸς αὐτὸν λέγειν καὶ ἃ μὴ οἶδα· διὰ γὰρ τὴν αὐτοῦ ἀγάπην καὶ ταῦτα λέγω.

16 Ἀκούσας δὲ ὁ βασιλεὺς παρὰ τοῦ νυμφίου καὶ τῆς νύμφης ταῦτα, τὴν ἐσθῆτα αὐτοῦ διέρρηξε καὶ τοῖς παρεστῶσιν ἐγγὺς αὐτοῦ ἔλεγεν Ἐξέλθετε ταχέως καὶ περιέλθατε ὅλην τὴν πόλιν, καὶ συλλαβόντες φέρετέ μοι ἐκεῖνον τὸν ἄνδρα τὸν φαρμακὸν τὸν κακῶς παρατυχόντα ἐν τῇ πόλει ταύτῃ· ἐγὼ γὰρ εἰσήγαγον αὐτὸν ἰδίαις χερσὶν εἰς τὸν οἶκόν μου, καὶ ἐγὼ εἶπον αὐτῷ ἵνα εὔξηται ἐπὶ τῇ ἀτυχεστάτῃ μου θυγατρί· ὃς δ' ἂν εὑρὼν αὐτὸν προσαγάγῃ μοι, ἥντιν' ἂν ἐργασίαν αἰτήσεταί μοι, δίδωμι αὐτῷ. ἀπελθόντες οὖν περιῆλθον ζητοῦντες αὐτόν, καὶ οὐχ εὗρον αὐτόν· πλεύσας γὰρ ἦν. ἀπῆλθον οὖν καὶ εἰς τὸ ξενοδοχεῖον ὅπου ἦν καταλύσας, καὶ εὗρον ἐκεῖ τὴν αὐλήτριαν κλαίουσαν καὶ ἀνιωμένην, ἐπειδὴ σὺ παρέλαβεν αὐτὴν μεθ' ἑαυτοῦ. ἐξηγησαμένων δὲ αὐτῶν τὸ πρᾶγμα τὸ γεγονὸς ἐπὶ τῶν νεωτέρων, ἐχάρη πάνυ ἀκούσασα, καὶ ἀποθεμένη τὴν λύπην εἶπεν Νῦν εὗρον κἀγὼ ὧδε ἀνάπαυσιν, καὶ ἀναστᾶσα ἀπῆλθε πρὸς αὐτούς, καὶ ἦν σὺν αὐτοῖς χρόνον ἱκανόν, ἕως οὗ κατήχησαν καὶ τὸν βασιλέα. πολλοὶ δὲ καὶ τῶν ἀδελφῶν συνηθροίζοντο ἐκεῖ, ἕως ὅτε φήμης ἤκουσαν τοῦ ἀποστόλου, ὅτι ἐν ταῖς πόλεσι τῆς Ἰνδίας κατήχθη κἀκεῖ διδάσκει. καὶ ἀπελθόντες κατεμίγησαν αὐτῷ.

ἀναιδευόμενον (codex ἀνεδευόμ.) cum A: D om

16. E Ὁ δὲ βασιλεὺς ἀκούσας διέρρηξε τὴν ἐσθῆτα λέγων | ἐγγὺς αὐτοῦ ἔλεγεν: C αὐτῷ ἔλεξεν | περιέλθατε (ita A): Th. περιέλθετε | E Ἐξέλθ. ταχέως, καὶ συλλαβόντες ὦ φίλοι πάντες καὶ ἡμέτεροι (sic) ἀγάγετέ μοι ἐκεῖνον τὸν φαρμακόν | E ἐγὼ γὰρ εἰσήγαγον αὐτὸν ὅπως εὔξηται τῇ θυγατρί μου· | ὃς δ' ἂν εὑρὼν προσ. μοι (ita C): A ἕως δ' ἂν εὕροι προ. μοι: E ὃς δ' ἂν μοι προσάγῃ τοῦτον: B ὃς δὲ εὑρὼν αὐτὸν ἀγάγῃ μοι | ἥντιν' ἂν ἐργασίαν (ita cum Th. correximus scripturam codicis A: ἥτι ἂν ἐργάσιαν) αἰτ. μ. δίδ. αὐτῷ: C πᾶν εἴ (sive ὅ) τι ἂν αἰτήσηταί μοι, δίδ. αὐτῷ: B σώζει μου τὴν θυγατέρα, καὶ εἴ τι ἂν αἰτήσει, δώσω αὐτῷ: E τὸ ἥμισυ τῆς βασιλείας μου δίδ. αὐτῷ | ἀπελθ. οὖν (ita A; Th. δέ) -- οὐχ εὗρ. αὐτόν (C om αὐτ.): E ἀπ. οὖν καὶ ζητήσαντες αὐτὸν οὐχ εὗρον. Idem pergit: πλεύσαντες γὰρ ἀπῆλθον εἰς τὴν Ἰνδίαν διὰ τάχους, et omittit omnia quae usque ad finem sectionis leguntur. | ἀπῆλθον οὖν: C ἀπ. δέ | ἐπειδὴ (A add γὰρ) σύ (C μή) | αὐτῶν: A αὐτήν (Th. edidit αὐτῇ, αὐτῶν addendum esse censens) | τῶν νεωτέρων: A τω νεωτέρω | ἕως οὗ (C οἱ δὲ νέοι) κατήχ. κ. τ. βασ. cum BC: A ἕως κατήχθησαν εἰς τὸν βασιλέα | φήμης: C φήμην | κἀκεῖ (ita A): Th. καὶ ἐκεῖ | B μετὰ δὲ χρόνον ἤκουσαν περὶ τοῦ ἀποστόλου ὅτι ἐν τῇ Ἰνδίᾳ διδάσκει | κατεμίγησαν: A κατεπήγησαν (quod fortasse ex κατεμίγ. corruptum est)

Digitized by Google

(Πράξεις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ὅτε εἰσῆλθεν ἐν τῇ Ἰνδίᾳ καὶ τὸ ἐν οὐρανοῖς παλάτιον ᾠκοδόμησεν.)

17 Ὅτε δὲ εἰσῆλθεν ὁ ἀπόστολος εἰς τὰς πόλεις τῆς Ἰνδίας μετὰ Ἀββάνους τοῦ ἐμπόρου, ἀπῆλθεν ὁ Ἀββάνης εἰς ἀσπασμὸν Γουνδαφόρου τοῦ βασιλέως, καὶ προσανήνεγκεν αὐτῷ περὶ τοῦ τέκτονος ὃν μετ' αὐτοῦ ἤγαγεν. ἐχάρη δὲ ὁ βασιλεύς, καὶ πρὸς αὐτὸν εἰσελθεῖν αὐτὸν προσέταξεν. εἰσελθόντος οὖν αὐτοῦ εἶπεν αὐτῷ ὁ βασιλεύς Ποίαν τέχνην ἐπίστασαι; λέγει αὐτῷ ὁ ἀπόστολος Τὴν τεκτονικὴν καὶ τὴν οἰκοδομικήν. λέγει αὐτῷ ὁ βασιλεύς Τίνα οὖν οἶδας ἐν ξύλοις ἐργασίαν, καὶ τίνα ἐν λίθοις; λέγει ὁ ἀπόστολος Ἐν μὲν ξύλοις ἄροτρα ζυγοὺς τρυτάνας τροχιλέας καὶ πλοῖα καὶ κώπας καὶ ἱστούς, ἐν δὲ λίθοις στήλας ναοὺς πραιτώρια βασιλικά. καὶ ὁ βασιλεὺς εἶπεν Οἰκοδομεῖς μοι παλάτιον; ὁ δὲ ἀπεκρίθη Ναί, οἰκοδομῶ καὶ τελίσκω· διὰ τοῦτο γὰρ ἦλθον, οἰκοδομῆσαι καὶ τεκτονεῦσαι.

18 Καὶ παραλαβὼν αὐτὸν ὁ βασιλεὺς ἐξῆλθεν ἔξω τῶν πυλῶν τῆς πόλεως, καὶ ἤρξατο διαλέγεσθαι αὐτῷ ἐν τῇ ὁδῷ περὶ τῆς οἰκοδομῆς τοῦ πραιτωρίου καὶ περὶ τῶν θεμελίων τὸ πῶς τεθῶσιν, ἕως ὅτε ἦλθον εἰς τὸν τόπον ἐκεῖνον ἐν ᾧ ἐβούλετο τὴν οἰκοδομὴν γενέσθαι· καὶ εἶπεν Ὧδε βούλομαι τὴν οἰκοδομὴν γενέσθαι. καὶ ὁ ἀπόστολος Ναί, φησίν· καὶ γὰρ ὁ τόπος οὗτος ἐπι-

---

B sic extrema huius sectionis habet: καὶ ἀπελθόντες ἔλαβον παρ' αὐτοῦ τὸ λουτρὸν τῆς χάριτος φωτισθέντες ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ᾧ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. Idem iis quae sequuntur titulum, quem uncis inclusimus, praepositum habet: Πράξεις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ὅτε εἰσῆλθεν ἐν τῇ Ἰνδίᾳ καὶ τὸ ἐν οὐρανοῖς παλάτιον ᾠκοδόμησεν. Vide infra ad sectiones 30. 39. 48.

17. Ὅτε δέ (ita A): Th. Καὶ ὅτε | Ἀββάνους: A Ἀββάνη | εἰς ἀσπασμὸν Γουνδ. τοῦ βασιλέως: C πρὸς Γουνδαφόρον τὸν βασιλέα | Ὅτε δὲ – – ἤγαγεν: E Καὶ ἐξελθὼν ὁ Ἀβάνης ἀπὸ τοῦ πλοίου προσήνεγκε τῷ βασιλεῖ τὸν Θωμᾶν, καὶ ἀπήγγειλεν αὐτῷ τὰ τῆς τέχνης αὐτοῦ. Idem pergit: καὶ ἐχάρη ὁ βασιλεύς· εἶπε δὲ τῷ ἀποστόλῳ Ποίαν τέχν. ἐπίστασαι; καὶ ἀπεκρίθη Τὴν τεκτ. καὶ (om τήν) οἰκοδ. Iam proxime sequentia omittit et pergit: ἐγὼ γὰρ τοῦ ἀρχιτέκτονος μαθητὴς ὑπάρχω. καὶ ὁ βασιλεύς Οἰκοδομεῖς μοι παλάτιον; ὁ δὲ ἔφη Ναί· etc. | τροχιλέας cum A: Th. τροχιλίας | πραιτώρια cum A: Th. καὶ πραιτ. | γὰρ ἦλθον (ita etiam E): A γὰρ καὶ εἰσῆλθον | E τεκτονῆσαι

18. ἔξω (ita AE): Th. om | διαλέγεσθαι: E λέγειν. Idem om ἐν τῇ ὁδῷ et καὶ περὶ τῶν usque ἐβούλ. τ. οἰκ. γενέσθαι, et pro καὶ εἶπεν habet tantummodo καί | ἐβούλ. τ. οἰκοδ. cum A: Th. τὴν οἰκ. ἐβούλ. | Ναί, φησίν: C om Ναί |

Digitized by Google

τήδειός ἐστιν πρὸς τὴν οἰκοδομήν· ἦν δὲ ὁ τόπος ἀλσώδης, καὶ ὕδατα πολλὰ ἦν ἐκεῖ. λέγει οὖν ὁ βασιλεύς Ἄρξαι κτίζειν. ὁ δὲ ἔφη Νῦν οὐ δύναμαι ἄρξασθαι κτίζειν ἐν τῷ καιρῷ τούτῳ. καὶ ὁ βασιλεύς Πότε, φησί, δύνῃ; ὁ δὲ ἔφη Ἄρχομαι ἀπὸ Δίου καὶ τελίσκω ἐν τῷ Ξανθικῷ. καὶ ὁ βασιλεὺς θαυμάσας εἶπεν Πᾶσα οἰκοδομὴ θέρους οἰκοδομεῖται· σὺ δὲ αὐτῷ τῷ χειμῶνι δύνασαι οἰκοδομῆσαι καὶ κτίσαι παλάτιον; καὶ ὁ ἀπόστολος εἶπεν Οὕτως ὀφείλει γενέσθαι, καὶ ἄλλως οὐκ ἔχει. καὶ ὁ βασιλεὺς εἶπεν Εἰ τοίνυν τοῦτο ἔδοξέν σοι, διαχάραξόν μοι πῶς γίνεται τὸ ἔργον, ἐπειδὴ διὰ χρόνου ἔρχομαι ἐνθάδε. καὶ ὁ ἀπόστολος κάλαμον λαβὼν διεχάρασσεν μετρῶν τὸν τόπον, καὶ τὰς μὲν θύρας ἔστησεν κατὰ τὴν ἀνατολὴν τοῦ ἡλίου βλέπειν πρὸς τὸ φῶς, τὰς δὲ θυρίδας κατὰ δύσιν πρὸς τοὺς ἀνέμους, τὸ δὲ ἀρτοποιεῖον πρὸς μεσημβρίαν ἐποίησεν εἶναι, τὸν δὲ ἀγωγὸν τοῦ ὕδατος τὸν εἰς τὴν ὑπηρεσίαν εἰς τὸ ἀρκτῷον. ὁ δὲ βασιλεὺς ἰδὼν εἶπεν τῷ ἀποστόλῳ Ἀληθῶς τεχνίτης εἶ, καὶ πρέπει σοι βασιλεῦσιν ἐξυπηρετεῖσθαι· καὶ πολλὰ αὐτῷ καταλείψας ἀπῆλθεν.

19 Καὶ κατὰ καιρὸν ἀπέστελλεν ἀργύρια καὶ τὰ ἐπιτήδεια, τά τε πρὸς τὴν ζωὴν αὐτοῦ τε καὶ τῶν λοιπῶν ἐργατῶν. ὁ δὲ

πρὸς τὴν οἰκοδομήν: E τὰ πρὸς οἰκοδ. | ἦν δέ: E ἦν γάρ | καὶ ὕδ. π. ἦν ἐκεῖ: E ἔχων ὕδατα πολλά, καὶ ὡραῖος εἰς ὅρασιν καὶ ἐπιδέξιος ἐπὶ πάντα καὶ εὐειδής | λέγει οὖν: E καὶ εἶπεν | E Ἄρξαι οὖν ἀπὸ τὴν (sic) σήμερον κτίζειν | ὁ δὲ ἔφη: C λέγει ὁ ἀπόστολος | E om καὶ ὁ βασιλεὺς -- ἔφη, sed pergit ἀλλ' ἄρχομαι | Δίου: E praem μηνός, C add μηνός | E τελειῶ | CE om ἐν τῷ | B ἄρξομαι ἀπὸ τοῦ Ὑπερβεραιτίου καὶ τελέω Ξανθηκῷ | καὶ ὁ βασιλεύς (ita A): E aliique ὁ δὲ βασ. | εἶπεν: E ἔφη | οἰκοδομεῖται: E γίνεται | αὐτῷ (E om) τῷ χειμ. cum AE: Th. ἐν τῷ χειμ. | E δύνασαι παλάτια κτίζειν; Idem om εἶπεν et καὶ ἄλλ. οὐκ ἔχει | καὶ ὁ (E ὁ δὲ) βασ. εἶπεν cum AE: Th. καὶ ὁ βασ. ἔφη | διαχάραξον: E praem κἄν | γίνεται: E μέλλεις ποιῆσαι | E ἐπεὶ διά | κάλαμ. λαβὼν cum AE: Th. λαβ. κάλ. | E διεχάραξε μέτρῳ (C ἐμμέτρως) τόν | Θύρας: BE Θυρίδας | ἔστησεν: CE ἔταξε, B ἤνοιξε (vide post) | E κατ' ἀνατολήν | B πρὸς ἀνατολὴν ἤνοιξε πρὸς (C om) τὸ φῶς | A τὰς Θυρίδας δέ | BE τὰς δὲ Θύρας πρὸς δύσιν, τὸ δὲ (E om) ἀρτοποιεῖον (E ἀρτοκοπεῖον) πρὸς μεσημβρ. (B λίβα), τὸν δὲ ἀγωγὸν τοῦ ὕδ. τὸν εἰς ὑπηρ. (B om τ. ε. ὑπ.) εἰς τὸν (B om) ἄρκτον | E εἶπε δὲ ὁ βασιλεύς Ἀληθῶς etc. Idem om καὶ πρέπ. σ. β. ἐξυπηρετεῖσθαι (C -ρετεῖν) | καταλείψας: E add χρήματα εἰς οἰκοδομὴν τοῦ παλατίου | ἀπῆλθεν: C add ἀπ' αὐτοῦ

19. Καὶ (E om) κατά (ita A): Th. Κατὰ δέ | E ἀπέστελεν αὐτῷ χρυσίον καὶ ἀργύριον πολύν, καὶ ἕτερα πρὸς τ. ζ. αὐτοῦ καί | τῶν λοιπῶν (ita A; Th.

Digitized by Google

λαμβάνων πάντα οἰκονόμει περιερχόμενος τὰ ἄστη καὶ τὰ πέριξ χωρία, διαδιδὼν καὶ εὐσεβείας παρέχων τοῖς πένησι καὶ τεθλιμμένοις, καὶ ἄνεσιν παρεῖχεν αὐτοῖς λέγων Οἶδεν ὁ βασιλεὺς βασιλικῶν τεύξασθαι ἀμοιβῶν, πένητας δὲ πρὸς τὸ παρὸν ἀναπαύεσθαι χρή.

Μετὰ δὲ ταῦτα ὁ βασιλεὺς πρὸς τὸν ἀπόστολον ἀπέστειλεν πρεσβευτήν, γράψας αὐτῷ τάδε Σήμανόν μοι τί πεποίηκας, ἢ τίνα σοι ἀποστείλω, ἢ τίνος χρήζεις; ἀποστέλλει αὐτῷ ὁ ἀπόστολος λέγων ὅτι τὸ πραιτώριον ἔκτισται, μόνη δὲ ἡ στέγη περιλείπεται. ὁ δὲ βασιλεὺς ἀκούσας ἔπεμψεν αὐτῷ πάλιν χρυσίον καὶ ἀργύριον ἄσημον, γράψας αὐτῷ ὅτι τὸ πραιτώριον, εἴ γε γέγονε, στεγασθήτω. ὁ δὲ ἀπόστολος πρὸς τὸν κύριον εἶπεν Εὐχαριστῶ σοι, κύριε, κατὰ πάντα, ὅτι ἀπέθανες πρὸς ὀλίγον ἵνα ἐγὼ ζήσω ἀϊδίως ἐν σοί, καὶ πέπρακάς με ἵνα πολλοὺς ἐλευθερώσῃς δι' ἐμοῦ. καὶ οὐκ ἐπαύετο τοῦ διδάσκειν καὶ ἀναψύχειν τοὺς τεθλιμμένους, λέγων ὅτι ταῦτα ὁ κύριος οἰκονόμησεν ὑμῖν, καὶ αὐτὸς παρέχει ἑκάστῳ τὴν τροφήν· αὐτὸς γάρ ἐστιν ὁ τροφεὺς τῶν ὀρφανῶν καὶ οἰκονόμος τῶν χηρῶν, καὶ πᾶσι τοῖς τεθλιμμένοις αὐτὸς γίνεται ἄνεσις καὶ ἀνάπαυσις.

20 Ὅτε δὲ παρεγένετο ὁ βασιλεὺς εἰς τὴν πόλιν, ἐξήταζεν τοὺς φίλους αὐτοῦ περὶ τοῦ πραιτωρίου οὗ ἔκτιζεν Ἰούδας ὁ καὶ

---

om) ἐργατῶν: E πάντων ἐργατ. καὶ ὑπουργῶν | οἰκονόμει cum AE (etiam uterque cum hoc accentu): Th. ᾠκονόμει | E περιερχόμενος τὰς χώρας καὶ διασκορπίζων πενήτων ἀσθενῶν καὶ τεθλιμμένων | διαδιδών (codex διαδίδων): C διαδιδούς | C om ἄνεσιν παρεῖχεν αὐτοῖς. E sic: ἄνεσιν τοῖς δεομένοις παρέχων λέγων | E ἀμοιβῶν τεύξασθαι | C ἀναπαύσασθαι | B sic: ἔλεγε γάρ Τὰ τοῦ βασιλέως τῷ βασιλεῖ δοθήσεται

E Ἀπέστειλε δὲ ὁ βασ. πρὸς τὸν ἀπόστολον λέγων εἴ τινος χρήζει περισσοτέρως | C ἀποστελῶ | χρήζεις (ita A): Th. χρήζῃς | ἀποστέλλει (C ἐπιστέλλει) αὐτῷ (E δὲ) ὁ ἀπ. λέγων cum AE; Th. ὁ δὲ ἀπόστ. ἀποστ. αὐτῷ λέγων | ἔκτισται: A ἐκτίστη (sic) | ὁ δὲ βασιλεὺς – – ἀργύριον (A om, ut supra sect. 2.) ἄσημον (C om, ut ibidem): E ἔστειλε δὲ πάλιν αὐτῷ χρυσὸν καὶ ἄργυρον | εἴ γε (ita A; Th. om) γέγονε: h. l. A; Th. ante τὸ πραιτώριον ponit; E om | στεγασθήτω: E σκεπασθήτω | E ὁ δὲ ἀπόστ. εὐχαριστήσας τῷ Χριστῷ εἶπεν | κατὰ πάντα: E ἐν πᾶσι, statimque omissis pluribus pergit: σὺ γάρ ὁ τροφεὺς τῶν ὀρφανῶν καὶ οἰκονόμος χηρῶν καὶ πενήτων pro αὐτὸς γάρ usque ἀνάπαυσις. | οἰκονόμησεν (ita rursus A): Th. ᾠκονόμησεν | ὑμῖν (ita A): Th. ἡμῖν | γίνεται (ita A): Th. praem αὐτός

20. εἰς τήν: E πρὸς τήν | E ἐπερώτησε τοὺς αὐτοῦ φίλ. π. τ. παλατίου |

Digitized by Google

Θωμᾶς· ἔλεγον δὲ αὐτῷ ὅτι οὔτε παλάτιον ἔκτισεν οὔτε ἄλλο τι ἐποίησεν ὧν ἐπηγγείλατο ποιῆσαι, ἀλλὰ περιέρχεται τὰς πόλεις καὶ τὰς χώρας, καὶ εἴ τι ἔχει πάντα δίδωσι τοῖς πένησι, καὶ διδάσκει θεὸν νέον ἕνα, καὶ νοσοῦντας θεραπεύει καὶ δαίμονας ἀπελαύνει, καὶ ἄλλα πολλὰ ποιεῖ παράδοξα· καὶ νομίζομεν ἡμεῖς ὅτι μάγος ἐστίν· ἀλλ' αἱ εὐσπλαγχνίαι αὐτοῦ καὶ αἱ ἰάσεις αἱ δωρεὰν ἐξ αὐτοῦ γινόμεναι, ἔτι δὲ τὸ ἁπλοῦν αὐτοῦ καὶ ἐπιεικὲς καὶ τὸ τῆς πίστεως αὐτοῦ σημαίνει ὅτι δίκαιός ἐστιν ἡ ἀπόστολος τοῦ θεοῦ τοῦ νέου ὃν αὐτὸς καταγγέλλει· συνεχῶς γὰρ νηστεύει καὶ εὔχεται, καὶ ἄρτον ἐσθίει μόνον μετὰ ἅλατος, καὶ τὸ ποτὸν αὐτοῦ ὕδωρ, καὶ φορεῖ ἓν ἱμάτιον εἴτε ἐν εὐδίᾳ εἴτε ἐν χειμῶνι, καὶ οὐδὲν παρά τινος λαμβάνει, ἀλλὰ καὶ ἃ ἔχει ἄλλοις δίδωσιν. ταῦτα ἀκούσας ὁ βασιλεὺς ταῖς χερσὶν αὐτοῦ τὴν ὄψιν προσέτριψε, τὴν κεφαλὴν αὐτοῦ κινῶν ἐπὶ ὥραν πολλήν.

21 Καὶ μετεπέμψατο τὸν ἔμπορον τὸν ἀγαγόντα αὐτὸν καὶ τὸν ἀπόστολον, καὶ εἶπεν αὐτῷ Ἔκτισάς μοι τὸ παλάτιον; ὁ δὲ ἔφη Ναί, ἔκτισα. ὁ δὲ βασιλεὺς εἶπεν Πότε οὖν ὑπάγωμεν καὶ βλέπωμεν αὐτό; ὁ δὲ ἀποκριθεὶς ἔφη Νῦν αὐτὸ ἰδεῖν οὐ δύνασαι, ἀλλ' ὅταν τοῦ βίου ἐξέλθῃς, βλέπεις αὐτό. ὁ δὲ βασιλεὺς πάνυ ὀργισθεὶς ἐκέλευσεν ὑπὸ δεσμὸν γενέσθαι τόν τε ἔμπορον καὶ Ἰού-

---

CE ἔκτισεν αὐτῷ ὁ (C om) Θωμᾶς (C add ὁ ἀπόστολος) | ἔλεγον δέ: E καὶ εἶπον | E πεποίηκεν. Idem om ὧν ἐπηγγ. ποι. | E περιέρχ. πόλεις καὶ κώμας καὶ διανέμει πάντα χηρῶν καὶ πενήτων καὶ ὀρφανῶν τὰ τῆς βασιλείας πράγματα | θεὸν νέον (ita A; Th. om) ἕνα: C θεὸν νέον, B ἕνα θεὸν Ἰησοῦν εἶναι, E θεὸν Χριστὸν Ἰησοῦν | καὶ (C ἐν ᾧ καί, E om) νοσ. θεραπ. (E ἰᾶται) καὶ (E om) δαίμ. ἀπελ., καὶ -- παράδοξα (E νεκροὺς ἐγείρει, καὶ ἄλλα σημεῖα ποιεῖ): B καὶ πολλά ἐστιν ἅπερ ποιεῖ· νεκροὺς γὰρ ἐγείρει καὶ κυλλοὺς θεραπεύει καὶ δαίμ. ἀπελαύνει | E pro καὶ νομίζομεν usque ἄλλοις δίδωσιν nihil habet nisi ἄρτον γὰρ ἐσθίει μετὰ ἅλωτος (sic) καὶ ποτὸν ὕδωρ. | ὅτι μάγος ἐστ. ἀλλ' αἱ εὐσπλ. cum BC; A ὅτι μᾶλλον ἡ εὐσπλαγχνία | αἱ δωρεὰν ἐξ αὐτοῦ: C καὶ αἱ δωρεαὶ αἱ ὑπ' αὐτοῦ | ἀλλὰ καί: A om ἀλλά | ταῦτα ἀκούσας ὁ βασ. ταῖς χ. τὴν ὄψιν (C τὰς χεῖρας αὐτοῦ ταῖς ὄψεσι) προσέτριψε, τὴν -- πολλήν: E (cum seqq. coniungens) ταῦτα ἀκούσας ὁ βασ. τὴν κεφαλὴν αὐτοῦ κινῶν ἐπὶ ὥρ. πολλήν, καὶ ἐξαφθεὶς τῷ θυμῷ μετεπέμψατο etc.

21. τὸν ἔμπορον τ. ἀγ. αὐτὸν (A αὐτῷ) καὶ (A om) τ. ἀπόστολον: E τὸν ἔμπορον ὃς ἦγαγε τὸν ἀπόστολον, καὶ τὸν Θωμᾶν μετ' αὐτοῦ | αὐτῷ: E πρὸς αὐτὸν ὁ βασιλεύς | ἔκτισα: E γέγονε, βασιλεῦ, πάντα ὅσα ἀρεστὰ τῷ θεῷ εἰσίν | ὁ δὲ βασ. εἶπεν: E καὶ ὁ βασιλεύς | C ὑπάγομεν καὶ βλέπω | ὁ δὲ ἀποκρ. ἔφη (C add αὐτῷ): E καὶ ὁ ἀπόστολος | E Νῦν ἄρτι οὐ δύν. ἰδεῖν αὐτό | τοῦ βίου (ita A; Th. add τούτου): E τοῦ παρόντος βίου | ὑπὸ δεσμόν: E ὑπὸ δεσμῶν | τόν τε ἔμπ. καὶ (C add τὸν) Ἰούδαν τὸν κ. Θωμ. (C Ἰούδ., λέγω δὴ

δαν τὸν καὶ Θωμᾶν καὶ εἰς φυλακὴν βληθῆναι, ἕως ἀνακρίνας μάθῃ τίνι ἐδόθη τὰ τοῦ βασιλέως, καὶ οὕτως αὐτὸν ἀπολέσω μετὰ τοῦ ἐμπόρου. ὁ δὲ ἀπόστολος χαίρων ἀπίει ἐν τῷ δεσμωτηρίῳ, καὶ ἔλεγεν τῷ ἐμπόρῳ Μὴ φοβοῦ μηδέν, ἀλλὰ μόνον πίστευσον τῷ δι' ἐμοῦ κηρυσσομένῳ θεῷ, καὶ ἀπὸ μὲν τούτου τοῦ κόσμου ἐλευθερωθήσῃ, ἀπὸ δὲ τοῦ μέλλοντος αἰῶνος ζωὴν κομίσῃ.

Ὁ δὲ βασιλεὺς ἐσκέπτετο ποίῳ θανάτῳ ἀναλώσῃ αὐτούς. ὡς δὲ ἔδοξεν πυρὶ αὐτοὺς καῦσαι ἐκδεδαρμένους, αὐτῇ τῇ νυκτὶ Γὰδ ὁ τοῦ βασιλέως ἀδελφὸς ἐκακοῦτο, καὶ διὰ τὴν λύπην καὶ ἐπίθεσιν ἣν ὁ βασιλεὺς ἔπαθεν ἐβαρήθη σφόδρα· καὶ μεταπεμψάμενος τὸν βασιλέα εἶπεν αὐτῷ Ἀδελφὲ βασιλεῦ, τὸν οἶκόν μου καὶ τὰ τέκνα μου παρατίθημί σοι· ἐγὼ γὰρ διὰ τὴν ἐπήρειαν τὴν συμβᾶσάν σοι ἐλυπήθην καὶ ἀποθνήσκω, καὶ ἐὰν μὴ ἐπέλθῃς τῇ τιμωρίᾳ κατὰ τῆς κεφαλῆς ἐκείνου τοῦ μάγου, οὐκ ἀναπαύσῃς μου τὴν ψυχὴν εἰς ᾅδου. ὁ δὲ βασιλεὺς τῷ ἑαυτοῦ ἀδελφῷ εἶπεν Δι' ὅλης νυκτὸς τοῦτο ἐσκεπτόμην, τὸ πῶς αὐτὸν θανατώσω· τοῦτο δὲ ἔδοξέν μοι, ἐν πυρὶ αὐτὸν κατακαῦσαι ἐκδαρέντα, καὶ αὐτὸν καὶ τὸν ἔμπορον μετ' αὐτοῦ τὸν ἀγαγόντα αὐτόν.

[22] Καὶ ὡς ὁμίλουν, ἐξῆλθεν ἡ ψυχὴ Γὰδ τοῦ ἀδελφοῦ αὐ-

Θωμᾶν τὸν ἀπόστολον): E τὸν ἀπόστολον καὶ τὸν ἔμπορον | ἀπολέσω cum A: Th. ἀπολέσῃ, E -σει (E sic: καὶ οὕτ. αὐτοὺς κακῶς ἀπολέσει) | ἀπίει: A ἀπείη, E ἀπήει, reliqui ἀπίει | ἐν τῷ δεσμωτηρίῳ cum A: Th. εἰς τὸ δεσμωτήριον, E πρὸς τὸ δεσμ. | E om μηδέν, ἀλλὰ μόνον | E πίστευσον τὸν δ. ἐ. κηρυττόμενον Θεόν | E τοῦ κόσμ. τούτου | CE om αἰῶνος | E ζωὴν αἰώνιον

ἀναλώσῃ (cum AE; Th. -σει) αὐτούς: Th. αὐτ. ἀναλ., E τούτους ἀναλ. | ἔδοξεν cum AE; Th. add αὐτῷ | αὐτοὺς καῦσαι (E κ. α.) cum AE; Th. κατακαῦσαι αὐτούς | ἐκδεδαρμένους: E add τῇ αὔριον | E διὰ τῆς νυκτός | E ἐκακώθη | ἐπίθεσιν: Th. (non A) praem τήν | E καὶ διὰ τὴν λήθην καὶ τὸ ἄμετρον πένθος τοῦ ἀδελφοῦ μετεκαλέσατο τὸν βασιλέα καὶ εἶπεν (om αὐτῷ etiam C) Ἀδελφέ | συμβᾶσάν σοι: E συμβ. μοι καὶ τῇ σῇ βασιλείᾳ εἰς τὸν χαμὸν (sic) τῶν σῶν πραγμάτων | C καὶ ἰδοὺ ἀποθνήσκω | καὶ ἐὰν μὴ ἐπέλθῃς (C ἐπεξέλθῃς) etc.: E ἐὰν μὴ ἀπέλθῃς κατὰ τῆς κεφαλῆς ἐκείνου τοῦ etc.: B ἀλλὰ ἀνάπαυσόν μου τὴν ψυχήν, καὶ ἐπέξελθε δεινῇ τιμωρίᾳ τῷ μάγῳ τούτῳ | C ἀναπαύσῃ | τῷ ἑαυτοῦ ἀδ. εἶπεν: E εἶπεν αὐτῷ | CE Δι' ὅλης τῆς νυκτός | ἔδοξ. μοι cum AE: Th. μοι ἔδοξ. | ἐν πυρὶ αὐτόν (C αὐτούς) κατακαῦσαι (C καῦσαι) ἐκδαρέντα (CB ἐκδαρτούς, ἐκδαρθέντα: E ἐκδαρεῖν αὐτὸν καὶ πυρὶ κατακαῦσ. ἐκδαρέντα | καὶ αὐτὸν (E om κ. α.) καὶ τ. ἔμπ. μετ' αὐτοῦ (E om μ. α.) τ. ἀγ. αὐτόν cum A(E): Th. οὐ μόνον δὲ αὐτὸν ἀλλὰ καὶ τ. ἔμπ. τὸν ἀγ. αὐτόν

22. ὁμίλουν cum AE; Th. ὠμίλουν | αὐτοῦ cum A; Th. τοῦ βασιλέως.

Digitized by Google

τοῦ. ὁ δὲ βασιλεὺς ἐπένθησεν τὸν Γὰδ σφόδρα, πάνυ γαρ ηγάπα αὐτόν, καὶ προσέταξεν εἰς βασιλικὴν ἐσθῆτα καὶ πολύτιμον κηδευθῆναι αὐτόν. τούτων δὲ γενομένων τὴν ψυχὴν Γὰδ τοῦ ἀδελφοῦ τοῦ βασιλέως ἄγγελοι παραλαβόντες εἰς τὸν οὐρανὸν ἀνήγαγον, ὑποδεικνύοντες αὐτῷ τοὺς ἐκεῖ τόπους καὶ οἰκήσεις, ἐξετάζοντες αὐτόν Εἰς ποῖον τόπον βούλει οἰκῆσαι; ὅτε δὲ ἤγγισαν εἰς τὴν οἰκοδομὴν Θωμᾶ τοῦ ἀποστόλου, ἣν ἔκτισεν τῷ βασιλεῖ, ἰδὼν αὐτὴν ὁ Γὰδ εἶπεν τοῖς ἀγγέλοις Δέομαι ὑμῶν, κύριοί μου, εἰς ἕνα τῶν κατώγεων οἴκων τούτων συγχωρήσατέ μοι οἰκῆσαι. οἱ δὲ ἔφησαν αὐτῷ Οὐ δύνασαι οἰκῆσαι ἐν ταύτῃ τῇ οἰκοδομῇ. ὁ δὲ εἶπεν Διὰ τί; λέγουσιν αὐτῷ Τοῦτο τὸ παλάτιον ἐκεῖνό ἐστιν ὃ οἰκοδόμησεν ὁ Χριστιανὸς ἐκεῖνος τῷ ἀδελφῷ σου. ὁ δὲ εἶπεν Δέομαι ὑμῶν, κύριοί μου, συγχωρήσατέ μοι ἀπελθεῖν πρὸς τὸν ἀδελφόν μου, ἵνα ἀγοράσω παρ' αὐτοῦ τὸ παλάτιον τοῦτο· οὐ γὰρ οἶδεν ὁ ἀδελφός μου ὁποῖόν ἐστι, καὶ πιπράσκει μοι αὐτό.

[23] Τότε οἱ ἄγγελοι ἀφῆκαν τὴν ψυχὴν τοῦ Γάδ· καὶ ἐν τῷ ἐνδύειν αὐτοὺς αὐτὸν τὴν ἐντάφιον στολήν, εἰσῆλθεν αὐτῷ ἡ ψυχὴ αὐτοῦ. καὶ ἔλεγεν τοῖς περὶ αὐτὸν ἑστῶσιν Καλέσατέ μοι τὸν ἀδελφόν μου, ἵνα αἰτήσομαι παρ' αὐτοῦ μίαν αἴτησιν. εὐθέως οὖν εὐηγγελίσαντο τῷ βασιλεῖ αὐτῶν λέγοντες ὅτι ὁ ἀδελ-

---

E τοῦ βασιλέως pro τ. ἀδ. αὐτοῦ | E ὁ δὲ ἀδελφὸς αὐτοῦ ὁ βασιλεύς | CE ἐπένθει | ἠγάπα αὐτόν cum A; Th. αὐτ. ἠγάπα | E om εἰς | E τὴν ψυχὴν τοῦ Γὰδ ἄγγελοι | εἰς τ. οὐρ. ἀνήγαγον: B ἀπήγαγον ἐν τῷ παραδείσῳ | ἐκεῖ: E ἐκεῖσε | ἐξετάζοντες (ita A; Th. praem καί) αὐτόν: E ἐξέταζον δὲ αὐτόν | C βούλεται | ὅτε δὲ ἤγγισαν (C -σεν): E καὶ ὅτε ἔφθασαν | E τοῦ ἀποστ. Θωμᾶ | E τῷ βασιλεῖ Ἰνδῶν, καὶ εἶπε Γὰδ τοῖς | κατώγεων (sed AE -γέων): B κατογέων, C κατωγαίων | E om οἴκων | ἔφησαν: E εἶπον | λέγουσιν αὐτῷ: E οἱ δὲ εἶπον | E om ἐκεῖνο | οἰκοδόμησεν (ita A): Th. (etiam E) ᾠκοδόμησεν | ὁ (C om) Χριστ. ἐκ. ὁ ἀπόστολος τοῦ ἀδελφοῦ σου | συγχωρ. μοι ἀπελθεῖν -- μοι αὐτό: E εἰς ἕνα τούτων τῶν κατώγεων (codex -γέων) ἐάσατέ με οἰκῆσαι. καὶ εἶπον Οὐ δύνασαι οἰκῆσαι ἐν ταύτῃ τῇ οἰκοδομῇ· ἀλλ' ἐὰν ἀγοράσῃς τοῦτο, μέλλεις οἰκῆσαι ἐν αὐτῷ. καὶ εἶπεν αὐτοῖς Δύναμαι τοῦτο ἀγοράσαι; καὶ εἶπον αὐτῷ Βλέπε κτῆσαι καὶ σὺ παρόμοια τούτων καθὼς ὁρᾷς, εἰ βούλει, καὶ κρειττότερα, ἵνα μὴ πάλιν ἐλθὼν ὧδε ἐν τῇ σκοτίᾳ ἐλασθήσῃ.

23. E Καὶ ταῦτα εἰπών (sic), βουλήσει θεοῦ ἀφῆκαν τὴν ψ. τ. Γ. | ἐντάφιον cum AE; Th. ἐπιτάφιον | εἰσῆλθεν αὐτῷ (E πρὸς αὐτόν) ἡ ψ. α. cum AE; Th. ἐπεισῆλθεν αὐτῷ καὶ ἡ ψ. α. | περὶ αὐτὸν ἑστῶσιν: E περιεστῶσι, C παρεστῶσιν αὐτῷ | τ. ἀδελφ. μου: E add τὸν βασιλέα | αἰτήσομαι (-σομε A): Th. αἰτήσωμεν | μίαν αἴτησιν (ita A; Th. αἰτ. μ.): CE δέησιν μίαν | E om αὐ-

Digitized by Google

φός σου ἀνέζησεν. ὁ δὲ βασιλεὺς ἐκπηδήσας σὺν πλήθει πολλῷ ἤρχετο πρὸς τὸν ἴδιον ἀδελφόν, καὶ εἰσελθὼν ἔστη πρὸς τὴν κλίνην αὐτοῦ ὥσπερ ἔκπληκτος, μὴ δυνάμενος λαλῆσαι αὐτῷ. εἶπεν δὲ ὁ ἀδελφὸς αὐτοῦ Οἶδα καὶ πέπεισμαι, ἀδελφέ, ὅτι εἴ τις ἤτησέ σε τὸ ἥμισυ τῆς βασιλείας σου, δέδωκας ἂν ὑπὲρ ἐμοῦ· διὸ ἀξιῶ σε παρασχεῖν μοι χάριτα μίαν, ἣν αἰτοῦμαί σε ἵνα ποιήσῃς μοι. ὁ δὲ βασιλεὺς ἀποκριθεὶς εἶπεν Καὶ τί ἐστιν ὃ αἰτεῖς ποιῆσαί σοι; ὁ δὲ ἔφη Ὅρκῳ με πίστωσον ὅτι μοι παρέχεις. καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεὺς ὅτι ἐν τοῖς ὑπάρχουσίν μοι ὃ ἐὰν αἰτήσῃ δώσω σοι. καὶ λέγει αὐτῷ Τὸ παλάτιον ἐκεῖνο τὸ ἐν τοῖς οὐρανοῖς ὃ ἔχεις πώλησόν μοι. καὶ ὁ βασιλεὺς εἶπεν Ἐμοὶ παλάτιον ἐν τοῖς οὐρανοῖς πόθεν ὑπάρχει; ὁ δὲ ἔφη Ἐκεῖνο ὃ οἰκοδόμησέν σοι ὁ Χριστιανὸς ὁ ὢν νῦν ἐν τῷ δεσμωτηρίῳ, ὃν ἤγαγέν σοι ὁ ἔμπορος ἀγοράσας παρὰ Ἰησοῦ τινός. τοῦ δὲ ἀμηχανήσαντος λέγει αὐτῷ πάλιν Τὸν δοῦλον λέγω ἐκεῖνον τὸν Ἑβραῖον, ὃν ἐβούλου κολάσαι ὡς ἐπίθεσίν τινα παρ' αὐτοῦ παθών, ἐφ' ὃν κἀγὼ λυπηθεὶς ἀπέθανον καὶ ἀνέζησα νῦν.

24 Τότε ὁ βασιλεὺς εἰς ἐπιστασίαν ἐλθὼν συνῆκεν περὶ τῶν διαφερόντων αὐτῷ καὶ μελλόντων αἰωνίων ἀγαθῶν, καὶ εἶπεν Ἐκεῖνο τὸ παλάτιον πωλῆσαί σοι οὐ δύναμαι, εὔχομαι δὲ εἰσελθεῖν εἰς αὐτὸ καὶ οἰκῆσαι καὶ καταξιωθῆναι τῶν οἰκητόρων αὐτοῦ·

τῶν | ἀνέζησεν: E ζῇ | E ὁ δὲ ἐκπηδ. σ. πλ. π. ἦλθε | E om ἴδιον et αὐτῷ | ἔστη: C εἱστήκει | E ἀδελφὲ βασιλεῦ | εἴ τις -- ὑπὲρ ἐμοῦ: E εἴ τι ἂν αἰτήσω σοι (sic) παράσχεις (sic) μοι | E ἀξιῶ σοι | χάριτα: AE χάριταν | ἣν αἰτοῦμαί σε (A σοι) ἵ π. μοι: C ἣν αἰτ. σε, ἵνα πωλήσῃς μοι ὃ αἰτοῦμαι παρὰ σοῦ | ποιῆσαί σοι (ita A; Th. με): CE πωλῆσαί σοι | Ὅρκῳ με πίστωσον cum C; B ὅρκῳ με πεῖσον; A ὅρκον με ποίησον, E ὅρκῳ μοι ποίησον | E παρέχεις μοι | C ὅτι τῶν ὑπαρχόντων μοι εἴ τι ἂν αἰτήσῃς δίδωμί σοι, E ὅτι ἂν αἰτήσεις μοι ἐκ τῶν ὑπαρχόντων μοι δίδωμί σοι | καὶ λέγει αὐτῷ cum A; Th. τότε λέγει, E τότε λέγ. αὐτῷ | τὸ ἐν -- πώλησόν μοι: E ὃ ἐν τοῖς οὐρανοῖς ἔκτησαι | E καὶ εἶπ. ὁ βασ. | C Ἐμὸν παλάτιον ἐ. τ. οὐρ. ποῦ ὑπάρχει: E Οὐκ οἶδα τί λέγεις | Ἐκεῖνο (E add τὸ παλάτιον) ὃ οἰκοδ. (ita A; Th. ᾠκοδόμησεν, E ἔκτισε) | ὁ Χριστιανός cum ACE; Th. add ἐκεῖνος | ὁ ὢν -- δεσμωτ.: E ὃν ἐν τῇ φυλακῇ κατέχεις | C om Ἰησοῦ | τοῦ δὲ ἀμηχ. -- πάλιν cum C; A om. E om τοῦ δὲ ἀμηχ. usque Ἑβραῖον | παθών: E λαβών

24. ἐπιστασίαν: C ἐπίστασιν, E ἔκστασιν | E om διαφερ. αὐτῷ κ. μελλ., C om αὐτῷ κ. μελλ. | E καὶ εἶπ. αὐτῷ | πωλῆσαί σοι: E om σοι | οὐ δύναμαι: B add ἀόρατον γάρ ἐστι | E εἰσελθ. ἐν αὐτῷ | οἰκητόρων: C οἰκιῶν |

Digitized by Google

σὺ δὲ ἀληθῶς εἰ βούλει πρίασθαι τοιοῦτον παλάτιον, ἰδοὺ ὁ ἄνθρωπος ζῇ καὶ κτίζει σοι ἐκείνου βέλτιον. καὶ εὐθέως πέμψας ἐξήγαγεν ἐκ τοῦ δεσμωτηρίου τὸν ἀπόστολον καὶ τὸν ἔμπορον τὸν ἐγκλεισθέντα σὺν αὐτῷ, λέγων Δέομαί σου, ὡς ἄνθρωπος δεόμενος τοῦ διακόνου τοῦ θεοῦ, ἵνα εὔξῃ ὑπὲρ ἐμοῦ καὶ δεηθῇς ἐκείνου οὗ διάκονος ὑπάρχεις, ἵνα μοι ἀφήσῃ καὶ παρίδῃ ἃ εἰς σὲ διεπραξάμην ἢ καὶ ἐνεθυμήθην διαπράξασθαι, καὶ ἄξιόν με γενέσθαι οἰκήτορα ἐκείνης τῆς οἰκήσεως ἥσπερ ἐγὼ μὲν οὐδὲν ἔκαμον, σὺ δέ μοι ἔκτισας μόνος καμών, συνεργούσης σοι τῆς χάριτος τοῦ θεοῦ σου, καὶ ἵνα γένωμαι ὑπηρέτης κἀγὼ καὶ δουλεύσω τῷ θεῷ τούτῳ ᾧ σὺ κηρύττεις. καὶ ὁ ἀδελφὸς δὲ αὐτοῦ προσπεσὼν τῷ ἀποστόλῳ ἔλεγεν Δέομαί σου καὶ ἱκετεύω ἔμπροσθεν τοῦ θεοῦ σου ἵνα ἄξιος γένωμαι τῆς τούτου διακονίας καὶ ὑπηρεσίας, καὶ κληρωθῶ ἄξιος γενέσθαι τῶν ὀφθέντων μοι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ.

[25] Ὁ δὲ ἀπόστολος χαρᾷ ληφθεὶς εἶπεν Ἐξομολογοῦμαί σοι, κύριε Ἰησοῦ, ὅτι ἀπεκάλυψάς σου τὴν ἀλήθειαν ἐν τοῖς ἀνθρώποις τούτοις· σὺ γὰρ εἶ μόνος θεὸς τῆς ἀληθείας, καὶ οὐκ ἕτερος· καὶ σὺ εἶ ὁ τὰ πάντα εἰδὼς τὰ τοῖς πολλοῖς ἄγνωστα· σὺ εἶ, κύ-

---

πρίασθαι: A πριᾶσθαι | τοιοῦτον cum AE; Th. τοιοῦτο | C om ζῇ | E κτίσει | E τὸν κλεισθέντα μετ' αὐτοῦ | τοῦ θεοῦ: E τοῦ ἐπουρανίου θεοῦ | E om οὗ διάκ. ὑπάρχ. | E ἵνα με ἐλεήσει καὶ παρίδῃ | ἢ (ita A [scriptum est εἶ]; Th. om) καὶ ἐνεθ. διαπράξασθαι: E om | E οἰκήτορα τῆς ἐκείνης οἰκοδομῆς ἧς πεποίηκάς μοι, ἵνα κἀγὼ δουλεύσω τῷ Χριστῷ ᾧ σὺ κηρύττεις | κηρύττεις cum A (item E); Th. -σσεις | δέ cum A; alii om | ἔλεγεν -- τ. θε. σου (C om) -- ἀγγέλ. αὐτοῦ: E ἔφη Ἱκετεύω κἀγὼ ἔμπρ. τ. θ. σ. ἵνα ἄξιος κἀγὼ γένωμαι -- ὑπηρεσίας καὶ κληθῶ ἀπὸ τοῦ νῦν δοῦλος, καὶ ἀπολαῦσαι τῶν ὀφθ. μοι ὑπὸ τ. ἁγίων ἀ. αὐτοῦ

B pro καὶ εὐθέως πέμψας ἐξήγαγεν usque finem sectionis haec habet: καὶ πέμψας ἐξέβαλε τὸν Θωμᾶν, καὶ λέγει αὐτῷ Συγχώρησον ἡμῖν εἴ τι ἐπλημμελήσαμεν εἰς σὲ ἀγνοοῦντες, καὶ ποίησον ἡμᾶς κοινωνοὺς γενέσθαι ἐκείνου οὗ κηρύσσεις. Totius autem historiae finem facit his: Ὁ δὲ ἀπόστολος λέγει Κἀγὼ ὑμῖν συγχαίρω κοινωνοὺς γενέσθαι αὐτοῦ τῆς βασιλείας. καὶ λαβὼν ἐφώτισεν αὐτούς, δοὺς αὐτοῖς τὸ λουτρὸν τῆς χάριτος ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ᾧ πρέπει πᾶσα δόξα καὶ βασιλεία ἡ ἀτελεύτητος. καὶ ἀναβάντες εὐθέως ἀπὸ τοῦ ὕδατος, ἐφάνη αὐτοῖς ὁ σωτήρ, ὡς τὸν ἀπόστολον θαυμάσαι, καὶ φῶς μέγα ἔλαμψεν ὑπὲρ τὰς ἀκτῖνας τοῦ ἡλίου. καὶ στηρίξας αὐτοῖς τὴν πίστιν ἐξῆλθε πορευθεὶς τὴν ὁδὸν αὐτοῦ ἐν κυρίῳ.

25. χαρᾷ ληφθείς: sed AE χαρᾶς ληφθ. | E κύριε Ἰησ. Χριστέ | E ἀπεκάλυψα | οὐκ ἕτερος: ita A; Th. οὐχ ἕτερος | καὶ σὺ εἶ: E om καί

Digitized by Google

ριε, ὁ ἐν πᾶσιν εὐσπλαγχνίαν καὶ φειδὼ ποιούμενος τοὺς ἀνθρώπους· οἱ γὰρ ἄνθρωποι διὰ τὴν πλάνην τὴν οὖσαν ἐν αὐτοῖς παρεῖδάν σε, σὺ δὲ οὐ παρεῖδες αὐτούς. καὶ νῦν αἰτουμένου μου καὶ ἱκετεύοντός σε δέξαι τὸν βασιλέα καὶ τὸν τούτου ἀδελφόν, καὶ κατάμιξον αὐτοὺς εἰς τὴν σὴν ποίμνην, καθαρίσας αὐτοὺς τῷ σῷ λουτρῷ καὶ ἀλείψας αὐτοὺς τῷ σῷ ἐλαίῳ ἀπὸ τῆς περιεχούσης αὐτοὺς πλάνης· φύλαξον δὲ αὐτοὺς καὶ ἀπὸ τῶν λύκων, φέρων αὐτοὺς ἐν τοῖς σοῦ λειμῶσι· πότισον δὲ αὐτοὺς ἀπὸ τῆς ἀμβροσιώδους σου πηγῆς τῆς μὴ τεθολωμένης μήτε ληγούσης· δέονται γάρ σου καὶ ἱκετεύουσιν καὶ βούλονται ὑπηρέται καὶ διάκονοί σου γενέσθαι, καὶ ἕνεκεν τούτου εὐδοκοῦσι καὶ διωχθῆναι ὑπὸ τῶν ἐχθρῶν σου καὶ διὰ σὲ ὑπ' αὐτῶν μισηθῆναι καὶ ὑβρισθῆναι καὶ ἀποθανεῖν, ὡς καὶ σὺ ὑπὲρ ἡμῶν ταῦτα πάντα ἔπαθες, ἵνα ἡμᾶς περιποιήσῃς κύριος ὢν καὶ ἀληθῶς ποιμὴν ἀγαθός. σὺ δὲ δὸς αὐτοῖς ἵνα ἔχωσιν ἐν σοὶ μόνῳ τὴν παρρησίαν καὶ τὴν παρὰ σοῦ βοήθειάν τε καὶ ἐλπίδα τῆς σωτηρίας αὐτῶν, ἧς ἐκδέχονται παρὰ σοῦ μόνου, καὶ ἵνα βεβαιωθῶσιν εἰς τὰ σὰ μυστήρια, καὶ δέξονται τῶν σῶν χαρισμάτων καὶ δομάτων τὰ τέλεια ἀγαθά, καὶ ἀνθήσουσιν ἐν τῇ σῇ διακονίᾳ, καὶ τελεσφορήσουσιν ἐν τῷ πατρί σου.

[26] Πάνυ οὖν διατεθέντες ἐν τῷ ἀποστόλῳ ὅ τε βασιλεὺς Γουνδαφόρος καὶ Γὰδ εἶπον αὐτῷ μηδ' ὅλως ἀναχωροῦντες, καὶ αὐτοὶ ἐπαρκοῦντες τοῖς δεομένοις, πᾶσιν διδόντες καὶ ἀναπαύοντες πάντας· ἐδεήθησαν δὲ αὐτοῦ ἵνα καὶ τὴν σφραγῖδα τοῦ

A ὁ ἐν πάσῃ εὐσπλαγχνίᾳ (E εὔσπλαγχνος) | τοὺς ἀνθρώπους: C ἐν τοῖς ἀνθρώποις | παρεῖδαν (codex -ίδαν, item παρίδες) cum A; Th. παρεῖδον | E post εὔσπλαγχνος statim pergit οὐ παρεῖδες αὐτούς. καὶ νῦν αἰτοῦμαί σε, δέξαι etc. | καὶ κατάμιξον: E καταξίωσον. Idem omittit quae post ποίμνην usque finem sectionis leguntur. | περιεχ. αὐτούς: A περιεχ. αὐτοῖς | A om καὶ ἀπὸ τ. λύκων | περιποιήσῃς cum A; Th. περιποιήσῃ | τὴν παρὰ σοῦ βοήθειαν: C om παρὰ σοῦ | δέξονται (ita A; Th. -ξωνται): C δέχωνται | δομάτων cum A; Th. δωρημάτων | ἀνθήσουσιν (A ἀναθήσουσιν): Th. -σωσιν | τελεσφορήσουσιν cum A; Th. -ρήσωσιν | πατρί (codex πρι): Th. πατέρι

26. E de tota hac sectione nihil nisi haec habet: Πάνυ οὖν διατεθέντες οἱ δύο ἀδελφοὶ πρὸς τὸν ἀπόστολον εἶπον πρὸς αὐτόν Δὸς ἡμῖν τὴν ἐν Χριστῷ σφραγῖδα. καὶ ἐκέλευσεν αὐτοὺς προσενεγκεῖν αὐτῷ ἔλαιον.

καὶ Γάδ cum A; Th. καὶ ὁ τούτου ἀδελφὸς Γάδ | εἶπον cum A; Th. εἶ-

λουτροῦ δέξονται λοιπόν, καὶ αὐτοὶ λέγοντες αὐτῷ Σχολαζουσῶν τῶν ψυχῶν ἡμῶν καὶ προθύμων ἡμῶν ὄντων περὶ τὸν θεόν, δὸς ἡμῖν τὴν σφραγῖδα· ἠκούσαμεν γάρ σου λέγοντος ὅτι ὁ θεὸς ὃν κηρύσσεις διὰ τῆς αὐτοῦ σφραγῖδος ἐπιγινώσκει τὰ ἴδια πρόβατα. ὁ δὲ ἀπόστολος ἔφη αὐτοῖς Καὶ χαίρω καὶ δέομαι ὑμῶν λαβεῖν τὴν σφραγῖδα ταύτην, καὶ κοινωνῆσαί μοι εἰς τὴν εὐχαριστίαν ταύτην καὶ εὐλογίαν τοῦ κυρίου, καὶ τελειωθῆναι ἐν αὐτῇ· οὗτος γάρ ἐστιν κύριος καὶ θεὸς πάντων, Ἰησοῦς Χριστὸς ὃν κηρύσσω, καὶ αὐτὸς πατὴρ ἀληθείας, εἰς ὃν ὑμᾶς πιστεύειν ἐδίδαξα. καὶ ἐκέλευσε προσενεγκεῖν αὐτοὺς ἔλαιον, ἵνα διὰ τοῦ ἐλαίου δέξονται τὴν σφραγῖδα. ἤνεγκαν οὖν τὸ ἔλαιον, καὶ λύχνους ἀνῆψαν πολλούς· νὺξ γὰρ ἦν.

[27] Καὶ ἀναστὰς ὁ ἀπόστολος ἐσφράγισεν αὐτούς· ἀπεκαλύφθη δὲ αὐτοῖς ὁ κύριος διὰ φωνῆς λέγων Εἰρήνη ὑμῖν, ἀδελφοί. οἱ δὲ φωνῆς μόνον ἤκουσαν αὐτοῦ, τὸ δὲ εἶδος αὐτοῦ οὐκ εἶδον· οὐδέπω γὰρ ἦσαν δεξάμενοι τὸ ἐπισφράγισμα τῆς σφραγῖδος. λαβὼν δὲ ὁ ἀπόστολος ἔλαιον καὶ καταχέας ἐπὶ τῆς κεφαλῆς αὐτῶν καὶ ἀλείψας καὶ χρίσας αὐτοὺς ἤρξατο λέγειν Ἐλθὲ τὸ ἅγιον ὄνομα τοῦ Χριστοῦ τὸ ὑπὲρ πᾶν ὄνομα· ἐλθὲ ἡ δύναμις τοῦ ὑψίστου καὶ ἡ εὐσπλαγχνία ἡ τελεία· ἐλθὲ τὸ χάρισμα τὸ ὕψιστον· ἐλθὲ ἡ μήτηρ ἡ εὔσπλαγχνος· ἐλθὲ ἡ οἰκονομία τοῦ ἄρρενος· ἐλθὲ ἡ τὰ μυστήρια ἀποκαλύπτουσα τὰ ἀπόκρυφα· ἐλθὲ ἡ μήτηρ τῶν ἑπτὰ οἴκων, ἵνα ἡ ἀνάπαυσίς σοι εἰς τὸν ὄγδοον οἶκον γένηται· ἐλθὲ ὁ πρεσβύτερος τῶν πέντε μελῶν, νοὸς

παντο | λουτροῦ: A λόγου | δέξονται cum A; Th. δέξωνται | Καὶ χαίρω: C om Καί | εὐχαριστίαν (A -στείαν) ταύτην: C om ταύτην | ἐν αὐτῇ: C ἐν αὐτῷ | αὐτούς (ita etiam E): A αὐτοῖς | δέξονται cum A; Th. -ξωνται

27. Ex his codex E haec affert: Καὶ ἀναστὰς ἐσφράγισεν αὐτοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ ἐβάπτισεν αὐτούς. ἀπεκαλύφθη δὲ ὁ κύριος διὰ φωνῆς αὐτοῖς λέγων Εἰρήνη ὑμῖν. καὶ ἐσφράγισε καὶ τοὺς μετ' αὐτῶν πάντας ὁ ἀπόστολος. καὶ ἐπίστευσαν πάντες ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ ἐγένετο ὅλη ἡ Ἰνδία πιστή. Quae idem praeterea addita habet, ad *Consummationem Thomae* pertinent, ibique a nobis referentur. Incipiunt illa sic: Ὁ δὲ Μισδαῖος ὁ βασιλεὺς ἀποστείλας προσεκάλεσεν αὐτόν, et exeunt his: Θαύματα πολλὰ ὁ μέγας ἀπόστολος καὶ μετὰ θάνατον ἐργασάμενος εἰς δόξαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος εἰς τοὺς αἰῶνας.

τὸ ἐπισφράγισμα τῆς σφραγῖδος: C τὸ χρῖσμα | ἔλαιον cum A; Th. τὸ ἔλαιον | C καὶ ἐπιχέας κατὰ τῆς | τοῦ ὑψίστου: C ἡ ὕψιστος | ἡ οἰκονομία: C ἡ κοινωνία | τὰ μυστήρια: C om τά | ἡ ἀνάπαυσις: C om ἡ | μελῶν: C

ἐννοίας φρονήσεως ἐνθυμήσεως λογισμοῦ, κοινώνησον μετὰ τούτων τῶν νεωτέρων· ἐλθὲ τὸ ἅγιον πνεῦμα καὶ καθάρισον τοὺς νεφροὺς αὐτῶν καὶ τὴν καρδίαν, καὶ ἐπισφράγισον αὐτοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. καὶ σφραγισθέντων αὐτῶν ὤφθη αὐτοῖς νεανίας λαμπάδα καιομένην κατέχων, ὡς καὶ τοὺς λύχνους αὐτοὺς τῇ τοῦ φωτὸς αὐτῆς προσβολῇ ἀμαυρωθῆναι. καὶ ἐξελθὼν ἀφανὴς αὐτοῖς ἐγένετο. εἶπεν δὲ ὁ ἀπόστολος πρὸς τὸν κύριον Ἀχώρητον ἡμῖν, κύριε, τὸ φῶς σου, καὶ οὐ δυνάμεθα φέρειν αὐτό· μεῖζον γάρ ἐστι τῆς ἡμετέρας ὄψεως. αὔγους δὲ γεναμένου καὶ διαφαύσαντος κλάσας ἄρτον κοινωνοὺς αὐτοὺς κατέστησεν τῆς εὐχαριστίας τοῦ Χριστοῦ. ἔχαιρον δὲ καὶ ἠγαλλιῶντο· πολλοὶ δὲ καὶ ἕτεροι πιστεύοντες προσετίθεντο καὶ ἤρχοντο εἰς τὸ καταφύγιον τοῦ σωτῆρος.

[28] Ὁ δὲ ἀπόστολος οὐκ ἐπαύετο κηρύσσων καὶ λέγων αὐτοῖς Ἄνδρες καὶ γυναῖκες, παῖδες καὶ κόραι, νεανίσκοι καὶ παρθένοι, ἀκμαῖοι καὶ γηραλέοι, οἵ τε δοῦλοι οἵ τε ἐλεύθεροι, ἀπέχεσθε τῆς πορνείας καὶ τῆς πλεονεξίας καὶ τῆς ἐργασίας τῆς γαστρός· ἐν γὰρ τούτοις τοῖς τρισὶν κεφαλαίοις γίνεται πᾶσα ἀνομία. ἡ γὰρ πορνεία πηροῖ τὸν νοῦν καὶ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς σκοτίζει, καὶ ἐνπόδιον γίνεται τῆς τοῦ σώματος πολιτείας, εἰς ἀσθένειαν μετατιθοῦσα ὅλον τὸν ἄνθρωπον καὶ εἰς νόσον ἐμβάλλουσα ὅλον τὸ σῶμα. ἡ δὲ ἀπληστία εἰς φόβον καὶ αἰσχύνην καθίστησι τὴν ψυχήν, ἐν τοῖς τοῦ σώματος ὑπάρχουσα καὶ διαρπάζουσα τὰ ἀλλότρια .... ἡ δὲ ἐργασία τῆς κοιλίας εἰς φροντίδας καὶ μερίμνας καὶ λύπας ἐμβάλλει τὴν ψυχήν .... ἐπὰν

αἰσθήσεων | C om ἐνθυμήσεως | καιομένην (sic) cum A; Th. ἀνημμένην | ἀχώρητον: scriptum est in A αχοριτον, idque correctum ex -ιστον | τὸ φῶς σου cum A; Th. add ἐστι | ἐστι: A ἦν | γεναμένου cum A; Th. γενομένου | κλάσας ἄρτον cum C: A om | τοῦ Χριστοῦ cum A; Th. τοῦ κυρίου | πιστεύοντες cum A; Th. πιστεύσαντες

28. γηραλέοι: A -λαῖοι | C om οἵ τε (Th. mavult εἴτε εἴτε) δ. οἵ τε ἐλεύθ. | ἐνπόδιον cum A; Th. ἐμπόδ. | μετατιθοῦσα: C -τιθεῖσα | C om τὸν ἄνθρωπον usque ὅλον τὸ σῶμα | ἐν τοῖς τοῦ: C ἐντὸς τοῦ | τὰ ἀλλότρια: A (non item C) add καὶ ταύτην ὑποψίαν ἔχουσαν ἡ (cum Th. haec correxerim ἔχουσα μὴ) ἀποδιδοῦσα τὰ (ita codex) ἀλλότρια τοῖς δεσπόταις. | τὴν ψυχήν: A (non item C) add τοῦτο μεριμνοῦσα (sic; corrige μεριμνῶσαν) μὴ ἄρα ἐνδεὴς αὐτῶν γένηται καὶ τῶν πόρρωθεν αὐτοῦ τῶν (πόρρωθεν αὐτῶν? certe τῶν delendum videtur)

Digitized by Google

οὖν ἀπαλλαγῆτε τούτων, γίνεσθε ἀφρόντιδες καὶ ἄλυποι καὶ ἄφοβοι, καὶ παραμένει ὑμῖν ἐκεῖνο τὸ λεχθὲν ὑπὸ τοῦ σωτῆρος Μὴ μεριμνήσητε εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον μεριμνήσει ἑαυτῆς. μνημονεύσατε κἀκείνου τοῦ λόγου τοῦ προειρημένου Ἐμβλέψατε εἰς τοὺς κόρακας καὶ ἀφίδετε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὔτε σπείρει οὔτε θερίζει οὔτε συνάγει εἰς τὰς ἀποθήκας, καὶ ὁ θεὸς οἰκονομεῖ αὐτά· πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; ἀλλὰ προσδέξασθε τὴν τούτου παρουσίαν, καὶ εἰς αὐτὸν τὰς ἐλπίδας ἔχετε, καὶ πιστεύετε τῷ ὀνόματι αὐτοῦ· αὐτὸς γάρ ἐστιν ὁ κριτὴς ζώντων καὶ νεκρῶν, καὶ αὐτὸς ἀποδίδωσιν ἑνὶ ἑκάστῳ πρὸς τὰς πράξεις αὐτοῦ, καὶ ἐν τῇ ἐλεύσει αὐτοῦ καὶ ἐπιφανείᾳ τῇ ὑστέρᾳ οὐκ ἔχει τις λόγον ἀπολογίας, μέλλων παρ' αὐτοῦ κρίνεσθαι ὡς μὴ ἀκούσας. οἱ γὰρ κήρυκες αὐτοῦ εἰς τὰ τέσσαρα κλίματα τῆς οἰκουμένης κηρύσσουσιν. μετάγνωτε οὖν καὶ πιστεύσατε τῇ ἐπαγγελίᾳ, καὶ δέξασθε ζυγὸν πραότητος καὶ φορτίον ἐλαφρόν, ἵνα ζήσητε καὶ μὴ ἀποθανεῖτε. ταῦτα κτήσασθε, ταῦτα φυλάξατε· ἐξέλθατε ἀπὸ τοῦ σκότους, ἵνα τὸ φῶς ὑμᾶς προσδέξεται· ἔλθετε πρὸς τὸν ὄντως ἀγαθόν, ἵνα παρ' αὐτοῦ τὴν χάριν δέξησθε, καὶ τὸ αὐτοῦ σημεῖον ἐγκαταθήσεσθε ταῖς ὑμετέραις ψυχαῖς.

[29] Ταῦτα εἰπόντος αὐτοῦ τινὲς τῶν παρεστώτων εἶπον αὐτῷ Καιρός ἐστιν τοῦτον χρεώστην ἀπολαβεῖν τὸ χρέος. ὁ δὲ εἶπεν αὐτοῖς Ὁ μὲν κύριος τοῦ χρέους ἀεὶ τὸ περισσὸν ἀπολαβεῖν βούλεται, ἡμεῖς δὲ τὸ δέον αὐτῷ δῶμεν. καὶ εὐλογήσας αὐτοὺς ἔλαβεν ἄρτον καὶ ἔλαιον καὶ λάχανον καὶ ἄλας, καὶ ἔδωκεν αὐτοῖς

ὄντων ϑεαϑῆ (δεηϑῆ? quod etiam Th. commendat). | ἀπαλλαγῆτε τούτων: A ἀπαλλαγῇ τούτου | προειρημένου: C εἰπόντος | ἀφίδετε (codex ἀφήδηται): Th. ἀπίδετε | τὰς ἀποϑήκας: C om τάς | C om ἑνί | καὶ ἐν τῇ (cum A): Th. om καί et post ὑστέρᾳ add (invito A) ὅτε, itemque pro τις (cum A) habet οὐδείς | παρ' αὐτοῦ (cum A): Th. παρ' αὐτῷ | τῇ ἐπαγγελίᾳ: A τὴν ἐπαγγελίαν | πραότητος cum A; Th. πραΰτητος | ἀποϑανεῖτε cum A; Th. ἀποϑάνητε | φυλάξατε cum A; Th. -ξασϑε | ἐξέλϑατε cum A; Th. ἐξέλϑετε | προσδέξεται cum A; Th. -ξηται | A om ἔλϑετε πρὸς – – δέξησϑε | ἐγκαταϑήσεσϑε cum A; Th. -ϑήσησϑε

29. παρεστώτων cum A; Th. παρόντων | ἀπολαβεῖν βούλεται: A om ἀπολαβεῖν | ἡμεῖς δέ cum A; Th. om δέ | A om αὐτοὺς ἔλαβεν ἄρτον – – ἅλας,

Digitized by Google

φαγεῖν· αὐτὸς δὲ παρέμεινεν τῇ ἑαυτοῦ νηστείᾳ, ἔμελλεν γὰρ ἡ κυριακὴ ἐπιφαίνειν. τῆς δὲ νυκτὸς ἐπιούσης καὶ καθεύδοντος αὐτοῦ ἐλθὼν ὁ κύριος ἔστη πρὸς τῇ κεφαλῇ αὐτοῦ λέγων Θωμᾶ, ἀναστὰς ὄρθρου εὐλογήσας πάντας, μετὰ τὴν εὐχὴν καὶ διακονίαν ἄπελθε κατὰ τὴν ἀνατολικὴν ὁδὸν μίλια δύο, καὶ ἐκεῖ δείξω ἐν σοὶ τὴν ἐμὴν δόξαν· δι' ὃ γὰρ ἀπέρχει, πολλοί πρόσφυγές μοι γενήσονται, καὶ ἐλέγξεις τὴν φύσιν καὶ τὴν δύναμιν τοῦ ἐχθροῦ. ἀναστὰς δὲ ἀπὸ τοῦ ὕπνου ἔλεγεν τοῖς ἀδελφοῖς τοῖς οὖσιν μετ' αὐτοῦ Τέκνα καὶ ἀδελφοί, ὁ κύριος βούλεταί τί ποτε σήμερον δι' ἐμοῦ διαπράξασθαι· ἀλλ' εὐξόμεθα καὶ δεηθῶμεν αὐτοῦ ἵνα μηδὲν ἐνπόδιον γένηται ἡμῖν πρὸς αὐτόν, ἀλλὰ ὡς πάντοτε καὶ νῦν κατὰ τὸ αὐτοῦ βούλημα καὶ θέλημα γένηται δι' ἡμῶν. καὶ ταῦτα εἰπόντος αὐτοῦ ἐπέθηκεν αὐτοῖς τὰς χεῖρας αὐτοῦ καὶ εὐλόγησεν αὐτούς. καὶ κλάσας ἄρτον τῆς εὐχαριστίας μετέδωκεν αὐτοῖς εἰπών Ἔσται ὑμῖν αὕτη ἡ εὐχαριστία εἰς εὐσπλαγχνίαν καὶ ἔλεος καὶ ἀμοιβήν, καὶ μὴ εἰς κρίμα. καὶ αὐτοὶ εἶπον Ἀμήν.

(Περὶ τοῦ δράκοντος καὶ τοῦ νεανίσκου.)

30 Καὶ ἐξῆλθεν ὁ ἀπόστολος τοῦ ἀπελθεῖν ὅπου αὐτὸν ὁ κύριος προσέταξε. καὶ ἐγγὺς γενόμενος τοῦ δευτέρου μιλίου καὶ ὀλίγον ἐκκλίνας τῆς ὁδοῦ εἶδε πτῶμα νέου εὐμόρφου κείμενον, καὶ εἶπεν Κύριε, μὴ διὰ τοῦτο ἐξήγαγές με ἐλθεῖν ἐνθάδε ἵνα ἴδω τὸν πειρασμὸν τοῦτον; γενέσθω τοίνυν τὸ θέλημά σου, ὡς βούλει. καὶ ἤρξατο εὔχεσθαι καὶ λέγειν Κύριε, κριτὰ ζώντων καὶ νεκρῶν τῶν κειμένων, καὶ δέσποτα πάντων καὶ πατήρ, — πατὴρ δὲ οὐ τῶν ἐν σώμασιν οὐσῶν ψυχῶν μόνον ἀλλὰ καὶ τῶν ἐξελθουσῶν· τῶν γὰρ ἐν μιάσμασιν οὐσῶν ψυχῶν δεσπότης εἶ καὶ δικαστής — ἐλθὲ ἐν τῇ ὥρᾳ ταύτῃ ἐν ᾗ ἐπικαλοῦμαι, καὶ δεῖξόν σου τὴν δό-

καὶ, item φαγεῖν | αὐτός: A οὗτος | ἐπιούσης: A ποιούσης | εὐλογήσας cum A; Th. praem καὶ | ἀπέρχει cum A; Th. -ρχῃ | μετ' αὐτοῦ cum A; Th. σὺν αὐτῷ | C τί ποτε βούλεται | εὐξόμεθα cum A; Th. εὐξώμεθα | ἐνπόδιον cum A; Th. ἐμπόδ. | ἀλλὰ ὡς cum A; Th. ἀλλ' ὡς | A om καὶ θέλημα | γένηται δι' ἡμῶν cum C; A γένοιτο δή ἡμῖν

* Περὶ τοῦ δράκ. κ. τ. νεανίσκου: haec in codice iis quae sequuntur superscripta sunt.

30. καὶ πατήρ: ita codex; Th. edidit καὶ πάτερ

ξαν εἰς τοῦτον τὸν ἐνθάδε κατακείμενον. καὶ στραφεὶς εἶπε πρὸς τοὺς ἀκολουθοῦντας αὐτῷ Τοῦτο τὸ πρᾶγμα οὐκ ἀργῶς ἐγένετο, ἀλλ' ὁ ἐχθρὸς ἐνήργησε καὶ κατηργάσατο τοῦτο ἵνα ἐν αὐτῷ προσβάλῃ, καὶ ὁρᾶτε ὅτι οὐκ ἐχρήσατο ἄλλο εἶδος, οὐδὲ ἐνήργησε δι' ἄλλου ζώου ἀλλὰ διὰ τοῦ ὑπηκόου αὐτοῦ.

31 Καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου ἰδοὺ δράκων μέγας τοῦ φωλεοῦ ἐξελθών, τὴν κεφαλὴν αὐτοῦ κατακρούων καὶ τὴν οὐρὰν κατατινάσσων ἐπὶ τὴν γῆν, καὶ φωνῇ μεγάλῃ χρώμενος πρὸς τὸν ἀπόστολον εἶπεν Ἐρῶ ἔμπροσθέν σου διὰ ποίαν αἰτίαν ἐθανάτωσα αὐτόν, ἐπειδὴ εἰς τοῦτο παρεγένου ἐλέγξαι τὰ ἔργα μου. καί φησιν ὁ ἀπόστολος Ναί, εἰπέ. καὶ ὁ δράκων Γυνή τίς ἐστιν ἐν τῷ χωρίῳ τούτῳ ὡραία σφόδρα· καὶ διερχομένης αὐτῆς ποτὲ ἰδὼν αὐτὴν ἠράσθην αὐτῆς, καὶ ἀκολουθήσας αὐτὴν ἐπετήρουν· καὶ εὗρον τὸν νεανίαν τοῦτον καταφιλοῦντα αὐτήν, ὃς καὶ ἐκοινώνησεν αὐτῇ καὶ ἄλλα αἰσχρὰ διεπράξατο μετ' αὐτῆς. κἀμοὶ μὲν εὔκολον ἦν ἐπὶ σοῦ ἐκφάναι αὐτά, οἶδα γάρ σε τὸν δίδυμον ὄντα τοῦ Χριστοῦ τὸν τὴν φύσιν ἡμῶν ἀεὶ καταργοῦντα· ταράξαι δὲ ταύτην μὴ βουληθεὶς αὐτῇ τῇ ὥρᾳ οὐκ ἐθανάτωσα αὐτόν, ἀλλ' ἐπιτηρήσας αὐτὸν ἑσπέρας διερχόμενον τύψας ἐθανάτωσα αὐτόν, καὶ μάλιστα κατατολμήσαντα αὐτὸν τῇ κυριακῇ ἡμέρᾳ τοῦτο διαπράξασθαι. ὁ δὲ ἀπόστολος ἐξήταζεν αὐτὸν λέγων Εἰπέ μοι, ποίας σποράς καὶ ποίου γένους ὑπάρχεις;

32 Καὶ εἶπεν αὐτῷ Ἐγὼ τῆς ἑρπυστικῆς φύσεως γέννημα καὶ βλαπτικὸς βλαπτικοῦ, υἱός εἰμι ἐκείνου τοῦ βλάψαντος καὶ πλήξαντος τοὺς τέσσαρας ἀδελφοὺς τοὺς ἑστῶτας, υἱός εἰμι ἐκείνου τοῦ ἐπὶ θρόνου ἀπωλείας καθεζομένου τοῦ τὰ ἴδια λαμβάνοντος ἀπὸ τῶν δανειζομένων, υἱός εἰμι ἐκείνου τοῦ τὴν σφαῖραν ζωννύοντος ἀποστάτου, συγγενὴς δέ εἰμι ἐκείνου τοῦ ἔξωθεν τοῦ ὠκεανοῦ ὄντος, οὗ ἡ οὐρὰ ἔγκειται τῷ ἰδίῳ στόματι· ἐγώ εἰμι ὁ διὰ τοῦ φραγμοῦ εἰσελθὼν ἐν τῷ παραδείσῳ καὶ μετὰ Εὔας λαλήσας ὅσα ὁ πατήρ μου ἐνετείλατό μοι λαλῆσαι αὐτῇ· ἐγώ εἰμι ὁ ἐξάψας καὶ πυρώσας Κάϊν ἵνα ἀποκτείνῃ τὸν ἴδιον ἀδελφόν,

---

κατηργάσατο: ita codex; Th. κατειργ.

31. ταράξαι δὲ ταύτην: ita codex; Th. male legit πρᾶξαι δὲ ταῦτα | κατατολμήσαντα αὐτόν: Th. praetermisit αὐτόν

Digitized by Google

καὶ δι' ἐμοῦ ἄκανθαι καὶ τρίβολοι ἐφύησαν ἐν τῇ γῇ· ἐγώ εἰμι ὁ τοὺς ἀγγέλους ἄνωθεν κάτω ῥίψας καὶ ἐν ταῖς ἐπιθυμίαις τῶν γυναικῶν αὐτοὺς καταδήσας, ἵνα γηγενεῖς παῖδες ἐξ αὐτῶν γένωνται καὶ τὸ θέλημά μου ἐν αὐτοῖς διαπράξωμαι· ἐγώ εἰμι ὁ τὴν καρδίαν Φαραὼ σκληρύνας ἵνα τὰ τέκνα τοῦ Ἰσραὴλ φονεύσῃ καὶ ἐν ζυγῷ σκληρότητος καταδουλώσηται αὐτούς· ἐγώ εἰμι ὁ τὸ πλῆθος ἐν τῇ ἐρήμῳ πλανήσας, ὅτε τὸν μόσχον ἐποίησαν· ἐγώ εἰμι ὁ τὸν Ἡρώδην πυρώσας καὶ τὸν Καϊάφαν ἐξάψας ἐν τῇ ψευδηγορίᾳ τοῦ ψεύδους ἐπὶ Πιλάτου· τοῦτο γὰρ ἐμοὶ ἔπρεπεν· ἐγώ εἰμι ὁ τὸν Ἰούδαν ἐξάψας καὶ ἐξαγοράσας ἵνα τὸν Χριστὸν παραδῷ· ἐγώ εἰμι ὁ τὴν ἄβυσσον τοῦ ταρτάρου οἰκῶν καὶ κατέχων, ὁ δὲ υἱὸς τοῦ θεοῦ ἄκοντά με ἠδίκησε καὶ τοὺς ἰδίους ἐξ ἐμοῦ ἐξελέξατο· συγγενής εἰμι ἐκείνου τοῦ μέλλοντος ἀπὸ τῆς ἀνατολῆς ἔρχεσθαι, ᾧ καὶ ἐξουσία δίδοται ποιῆσαι ὅπερ αὐτὸς βούλεται ἐπὶ τῆς γῆς.

[33] Καὶ ταῦτα εἰπόντος τοῦ δράκοντος ἐκείνου, πάντος τοῦ ὄχλου κατακούοντος, ἐπάρας ὁ ἀπόστολος τὴν φωνὴν αὐτοῦ εἰς ὕψος εἶπεν Παῦσαι λοιπὸν ἀναιδέστατε, καὶ αἰσχύνθητι νεκρούμενος ὅλως· ἔφθασε γάρ σου τὸ τέλος τῆς ἀπωλείας, καὶ μὴ τόλμα λέγειν ἃ διεπράξω διὰ τῶν σῶν ὑπηκόων. κελεύω δέ σοι ἐν ὀνόματι τοῦ Ἰησοῦ ἐκείνου τοῦ μέχρι νῦν ἀγῶνα πρὸς ὑμᾶς ποιοῦντος διὰ τοὺς ἰδίους ἀνθρώπους, ἵνα τὸν ἰόν σου, ὃν ἔβαλες εἰς τὸν ἄνδρα τοῦτον, ἐκμυζήσῃς καὶ ἀνελκύσας λάβῃς ἐξ αὐτοῦ. ὁ δὲ δράκων εἶπεν Οὔπω ὁ καιρὸς ἡμῶν τοῦ τέλους ἔφθασε, καθὼς σὺ ἔφης· τί με ἀναγκάζεις λαβεῖν ὃ εἰς τοῦτον κατέβαλον, καὶ ἀποθανεῖν πρὸ καιροῦ; καὶ γὰρ ὁ ἐμὸς πατὴρ ἐπὰν ἀνιμήσηται καὶ ἐκμυζήσῃ ὃ ἐπέρριψε τῇ κτίσει, τότε τὸ τέλος αὐτοῦ γενήσεται. εἶπε δὲ αὐτῷ ὁ ἀπόστολος Δεῖξον οὖν ἤδη τὴν φύσιν τοῦ πατρός σου. καὶ προσελθὼν ὁ δράκων ἐπέθηκε τὸ στόμα ἐπὶ τὴν πληγὴν τοῦ νεανίσκου καὶ ἐξεμύζησε τὴν χολὴν ἐξ αὐτοῦ. καὶ κατὰ βραχὺ μὲν ἡ χροιὰ τοῦ νεανίσκου, ὥσπερ πορφύρα οὖσα, ἐλευκαίνετο, ὁ δὲ δράκων ἐφυσᾶτο. ὅτε δὲ πᾶσαν τὴν χολὴν εἰς ἑαυτὸν ἀνέσπασεν ὁ δράκων, ὁ νεώτερος ἀναπηδήσας

---

33. χροιά: ita codex; Th. χροία | πορφύρα: ita codex; Th. πορφυρᾶ

Digitized by Google

ἔστη, καὶ δραμὼν πρὸς τοὺς πόδας τοῦ ἀποστόλου ἔπεσεν. ὁ δὲ δράκων φυσηθεὶς ἐλάκησε καὶ ἀπέθανε, καὶ ἐξεχύθη ὁ ἰὸς αὐτοῦ καὶ ἡ χολή· ἐν δὲ τῷ τόπῳ οὗ ὁ ἰὸς αὐτοῦ ἐξεχύθη χάσμα ἐγένετο μέγα, καὶ κατεπόθη ὁ δράκων ἐκεῖνος. εἶπε δὲ ὁ ἀπόστολος τῷ βασιλεῖ καὶ τῷ ἀδελφῷ αὐτοῦ Λάβετε ἐργάτας καὶ ἀναπληρώσατε τὸν τόπον ἐν ᾧ ὁ δράκων κατεπόθη, καὶ θέτε θεμελίους καὶ οἴκους οἰκοδομήσατε ἐπάνω, ἵνα οἴκησις γένηται τοῖς ξένοις.

[34] Ὁ δὲ νεανίσκος ἔλεγε τῷ ἀποστόλῳ μετὰ πολλῶν δακρύων Ἥμαρτον εἰς τὸν ὑπὸ σοῦ κηρυττόμενον θεὸν καὶ εἰς σέ, ἀλλὰ δέομαί σου· ἄνθρωπος γὰρ εἶ δύο μορφὰς ἔχων, καὶ ὅπου ἂν θέλῃς, ἐκεῖ εὑρίσκῃ, καὶ ὑπ' οὐδένος ἐπέχῃ, ὡς ἐγὼ ὁρῶ. ἐθεασάμην γὰρ τὸν ἄνδρα ἐκεῖνον, ὡς παρέστηκά σοι, ὃς καὶ ἔλεγέ σοι Πολλὰ ἔχω δεῖξαι διὰ σοῦ θαυμάσια, καὶ ἔργα μεγάλα ἔχω διὰ σοῦ τελέσαι, δι' ὧν μισθὸν λήψῃ, καὶ πολλοὺς ποιήσεις ζῆσαι, καὶ ἔσονται ἐν ἀναπαύσει καὶ φωτὶ αἰωνίῳ ὡς τέκνα θεοῦ· σὺ οὖν ζωοποίησον, φησὶ περὶ ἐμοῦ σοι λέγων, τοῦτον τὸν νεανίσκον καταβληθέντα ὑπὸ τοῦ ἐχθροῦ, καὶ ἐν παντὶ καιρῷ ἔφορος αὐτοῦ γενοῦ. καλῶς οὖν ἦκες ἐνθάδε, καὶ πάλιν καλῶς πρὸς αὐτὸν ἀπελεύσῃ, αὐτοῦ ὅλως μὴ ἀπολειπομένου σου. ἐγὼ δὲ ἐγενόμην ἄνευ φροντίδος καὶ ὀνειδισμοῦ· ἐπέφαυσε γάρ μοι ἀπὸ τῆς φροντίδος τῆς νυκτερινῆς καὶ ἀνεπαύθην, ἀπηλλάγην δὲ καὶ ἀπὸ τοῦ παροξύναντός με ταῦτα πράττειν· ἥμαρτον εἰς ἐκεῖνον τὸν τὰ ἐναντία με διδάξαντα, καὶ ἀπώλεσα ἐκεῖνον τὸν τῆς νυκτὸς συγγενῆ τὸν ἀναγκάζοντά με ἐξαμαρτάνειν ταῖς αὐτοῦ πράξεσιν, εὗρον δὲ ἐκεῖνον τὸν φεγγοειδῆ ὄντα μου συγγενῆ. ἀπώλεσα μὲν ἐκεῖνον τὸν σκοτίζοντα καὶ ἀμαυροῦντα τοὺς ἑαυτοῦ ὑπηκόους, ἵνα μὴ γνῶσιν ἃ διαπράττονται, καὶ ἐν τοῖς ἔργοις αὐτῶν αἰσχυνθέντες ἀπόσχωνται αὐτῶν, καὶ αἱ τούτων πράξεις τέλος σχῶσιν· εὗρον δὲ ἐκεῖνον οὗ τὰ ἔργα φῶς ἐστὶ καὶ αἱ πράξεις ἀλήθεια, ἃ διαπραττόμενός τις οὐ μεταγινώσκει. ἀπηλλάγην δὲ καὶ ἀπ' ἐκείνου οὗ τὸ ψεῦδος παραμένει, οὗ καὶ τὸ κάλυμμα προηγεῖται σκότος, ὄπισθεν δὲ παρέπεται αἰσχύνη ἀναιδευομένη ἐν ἀπραγίᾳ· εὗρον δὲ τὸν καλά μοι φανερούντα εἰς τὸ λαβέσθαι με τούτων,

---

34. ἀπώλεσα μέν: in codice est ἀπωλέσαμεν δέ. Th. vult ἀπώλ. μὲν δέ

τὸν τῆς ἀληθείας υἱόν, συγγενῆ ὄντα τῆς ὁμονοίας, ὃς τὴν ὁμίχλην ἀποσοβῶν τὴν ἑαυτοῦ κτίσιν φωτίζει καὶ τὰς πληγὰς θεραπεύων τοὺς ἐχθροὺς αὐτῆς καταστρέφει. ἀλλὰ δέομαί σου, ἄνθρωπε τοῦ θεοῦ, ποίησόν με πάλιν θεάσασθαι καὶ ἰδεῖν αὐτόν, τὸν νῦν ἀπόκρυφόν μοι γενόμενον, ἵνα καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσω, ἧς τὸ θαῦμα ἐξειπεῖν οὐ δύναμαι· οὐκ ἔστι γὰρ τῆς φύσεως τούτου τοῦ ὀργάνου τοῦ σωματικοῦ.

35 Ὁ δὲ ἀπόστολος πρὸς αὐτὸν εἶπεν Ἐὰν τούτων τὴν γνῶσιν ὧν ἐδέξω ἀποβάλῃς, ὥσπερ καὶ εἶπας, καὶ γνῷς τίς ὁ ταῦτα διαπραξάμενος ἐν σοί, καὶ μάθῃς καὶ κατήκοος γενήσῃ ἐκείνου, οὗ νῦν διὰ τῆς ζεούσης σου ἀγάπης ἐπιζητεῖς τὴν θέαν, καὶ ὄψῃ αὐτὸν καὶ σὺν αὐτῷ ἔσῃ εἰς τὸν αἰῶνα, καὶ ἐν τῇ ἀναπαύσει αὐτοῦ ἀναπαύσῃ καὶ εἰς τὴν χαρὰν αὐτοῦ ἔσῃ. ἂν δὲ ῥαθυμότερον διατεθῇς πρὸς αὐτὸν καὶ πάλιν ἐπιστραφῇς πρὸς τὰς προτέρας σου πράξεις, καὶ ἐάσῃς τὸ κάλλος καὶ τὸ φαιδρὸν ἐκεῖνο πρόσωπον τὸ νῦν ὑποδειχθέν σοι, καὶ τὸ ἀπαύγασμα τοῦ φωτὸς αὐτοῦ, οὗ νῦν ἐπιθυμεῖς, διαλάθῃ σε, οὐ μόνον τῆς ζωῆς ταύτης στερίσκῃ ἀλλὰ καὶ τῆς μελλούσης, καὶ ἀπελεύσῃ πρὸς ἐκεῖνον ὃν ἔλεγες ἀπολωλεκέναι, καὶ οὐκέτι θεάσῃ ἐκεῖνον ὃν ἔλεγες εὑρηκέναι.

36 Καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου ἤρχετο εἰς τὴν πόλιν κατέχων τὴν χεῖρα ἐκείνου τοῦ νέου καὶ λέγων αὐτῷ Ταῦτα ἅπερ ἐθεάσω, τέκνον, ὀλίγα ἐστὶν ἀπὸ τῶν πολλῶν ὧν ὁ θεὸς ἔχει· οὐ γὰρ περὶ τούτων τῶν φαινομένων εὐαγγελίζεται ἡμῖν, ἀλλὰ μείζονα τούτων ἐπαγγέλλεται ἡμῖν· ἐφ' ὅσον δὲ ἐν σώματί ἐσμεν, οὐ δυνάμεθα λέξαι καὶ ἐκφάναι ἃ μέλλει ταῖς ψυχαῖς ἡμῶν διδόναι. ἐὰν εἴπωμεν ὅτι φῶς ἡμῖν παρέχει, τοῦτο ὁρώμενόν ἐστι καὶ ἔχομεν αὐτό· ἐὰν δὲ καὶ πλοῦτον, ἔστι καὶ φαίνεται ἐν τῷ κόσμῳ τούτῳ καὶ ὀνομάζομεν αὐτόν, ἐπειδὴ εἴρηται ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· εἰ δὲ καὶ ἀμπεχόνην ἐσθῆτος εἴπωμεν ἣν οἱ τρυφῶντες ἐν τῷ βίῳ τούτῳ ἀμφιέννυνται, εἴρηται ὅτι οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν· εἰ δὲ καὶ δεῖπνα πολυτελῆ,

35. διαλάθῃ σε: codex διαλάθης. Illud iam Th. commendavit.

Digitized by Google

περὶ τούτων ἐντολὴν εἰλήφαμεν προσέχειν ἀπ' αὐτῶν, μὴ βαρηθῆναι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καθὼς καὶ ἐν τῷ εὐαγγελίῳ εἴρηται Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε ἢ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε, ὅτι ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος· ἐὰν δὲ καὶ ἀνάπαυσιν τὴν πρόσκαιρον ταύτην εἴπωμεν, κρίσις καὶ ταύτης ὥρισται. ἀλλὰ λέγομεν περὶ τοῦ ἄνω κόσμου, περὶ θεοῦ καὶ ἀγγέλων, περὶ τῆς ἀμβροσιώδους τροφῆς, περὶ ἐνδυμάτων παραμενόντων καὶ μὴ παλαιουμένων, περὶ ὧν ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπων ἀμαρτωλῶν ἀνέβη ἃ ὁ θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν. πίστευσον οὖν αὐτῷ καὶ σύ, ἵνα ζήσῃς, καὶ εἰς αὐτὸν ἔχε τὴν πεποίθησιν, καὶ οὐ μὴ ἀποθάνῃς. οὐδὲ γὰρ δώροις πείθεται ἵνα αὐτῷ προσενέγκῃς, οὐδὲ θυσιῶν δέεται ἵνα αὐτῷ θύσῃς. ἀλλ' ἄπιδε πρὸς αὐτόν, καὶ οὐ παραβλέψεις· ἡ γὰρ τούτου εὐπρέπεια καὶ τὸ κάλλος κατεπιθύμιόν σε ποιήσει ἵνα αὐτὸν ἀγαπήσῃς· ἀλλ' οὔτε συγχωρεῖ σοι ἀποστραφῆναι σεαυτόν.

37 Καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου τῷ νέῳ ἐκείνῳ πολὺς ὄχλος προσετίθετο. ἀπιδὼν δὲ ὁ ἀπόστολος εἶδεν αὐτοὺς ἐπαίροντας ἑαυτοὺς ἵνα αὐτὸν ἴδωσι, καὶ εἰς ὑψηλοὺς τόπους ἀνήρχοντο. ὁ δὲ ἀπόστολος εἶπε πρὸς αὐτούς Ἄνδρες οἱ ἐλθόντες εἰς τὸ συνέδριον τοῦ Χριστοῦ καὶ θέλοντες εἰς τὸν Ἰησοῦν πιστεῦσαι, ἀπὸ τούτου τύπον λάβετε, καὶ ἴδετε ὅτι ἐὰν μὴ ὑψωθῆτε, ἐμὲ τὸν μικρὸν θεάσασθαι οὐ δύνασθε, καὶ ὅμοιον ὄντα μὲ ὑμῶν κατοπτεῦσαι οὐ δύνασθε· εἰ οὖν ἐμὲ τὸν ὑμῖν ὅμοιον ὄντα οὐ δύνασθε ἰδεῖν, ἐὰν μὴ ἐπάρητε αὐτοὺς ὀλίγον ἐκ τῆς γῆς, ἐκεῖνον τὸν ἐν ὕψει διατρίβοντα καὶ νῦν ἐν βάθει εὑρισκόμενον πῶς δύνασθε ἰδεῖν, εἰ μὴ πρότερον ἐπάρητε ἑαυτοὺς ἐκ τῆς προτέρας πολιτείας ὑμῶν καὶ τῶν πράξεων τῶν ἀνωφελῶν καὶ τῶν ἐπιθυμιῶν τῶν παρενοχλουσῶν καὶ τοῦ πλούτου τοῦ ἐνθάδε καταλιμπανομένου καὶ τῆς κτίσεως τῆς ἐκ τῆς γῆς παλαιουμένης καὶ τῶν ἐνδυμάτων τῶν φθειρομένων καὶ τοῦ κάλλους τοῦ γηρῶντος καὶ ἀφανιζομένου,

---

36. συγχωρεῖ σαι: ita in codice est, scriptum in hunc modum: συγχωρεῖ οι σ, quod a Th. non debebat pro συγχωροῖς haberi.

Digitized by Google

ἔτι δὲ καὶ τοῦ σώματος ὅλου, ἐν ᾧ ταῦτα πάντα ἀποτεταμίευται, καὶ ὃ παλαιούμενον κόνις γίνεται, ὑποστρέφον εἰς τὴν ἑαυτοῦ φύσιν· ταῦτα γὰρ πάντα αὐτὸ τὸ σῶμα ἀνορθοῖ. ἀλλὰ μᾶλλον πιστεύσατε εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃν κηρύσσομεν ὑμῖν, ἵνα ἡ ἐλπὶς ὑμῶν εἰς αὐτὸν ἔσται καὶ ἐν αὐτῷ τὴν ζωὴν ἔχητε εἰς αἰῶνας αἰώνων, ἵνα αὐτὸς συνοδοιπόρος ὑμῖν γένηται ἐν ταύτῃ τῇ χώρᾳ καὶ ἀπαλλάξῃ ὑμᾶς τῆς πλάνης, καὶ λιμὴν ὑμῖν γένηται εἰς ταύτην τὴν θορυβώδη θάλασσαν. ἔσται δὲ ὑμῖν καὶ πηγὴ βρύουσα ἐν ταύτῃ τῇ χώρᾳ τῇ διψαλέᾳ, καὶ σηκὸς πλήρης βρώσεως ἐν τῷ τῶν πεινώντων τόπῳ, καὶ ἀνάπαυσις ταῖς ψυχαῖς ὑμῶν, ἰατρὸς δὲ καὶ τῶν σωμάτων.

[38] Τότε τὸ πλῆθος τῶν συναχθέντων ἀκουόντων ταῦτα ἐδάκρυε καὶ ἔλεγε τῷ ἀποστόλῳ Ἄνθρωπε τοῦ θεοῦ, ὃν σὺ κηρύττεις θεόν, ἡμεῖς οὐ τολμῶμεν λέγειν ὅτι αὐτοῦ ἐσμέν, ὅτι τὰ ἔργα ἡμῶν ἃ διεπραξάμεθα ἀλλότρια αὐτοῦ ἐστί, μὴ ἀρέσκοντα αὐτῷ· εἰ δὲ σπλαγχνίζεται ἐφ' ἡμᾶς καὶ ἐλεεῖ ἡμᾶς καὶ ῥύεται παριδὼν τὰς προτέρας ἡμῶν πράξεις, καὶ ἀπὸ τῶν κακῶν ὧν διεπραξάμεθα ἐν πλάνῃ ὄντες ἐλευθεροῖ ἡμᾶς, καὶ οὐχ ὑπολογίζεται ἡμῖν οὐδὲ ὑπόμνησιν ποιεῖται τῶν προτέρων ἡμῶν ἁμαρτημάτων, γινόμεθα αὐτοῦ θεράποντες, καὶ τὸ θέλημα αὐτοῦ εἰς τέλος ἄξωμεν. ὁ δὲ ἀπόστολος ἀπεκρίνατο αὐτοῖς λέγων Οὐ καταψηφίζεται ὑμῖν τὰς ἁμαρτίας ἃς ἐν πλάνῃ ὄντες διεπράξασθε, ἀλλὰ παραβλέπει ὑμῶν τὰ παραπτώματα ἃ κατὰ ἄγνοιαν ἦτε πεποιηκότες.

(Περὶ τοῦ δαίμονος τοῦ ἐνοικήσαντος εἰς τὴν γυναῖκα.)

[39] Εἰσῆλθε δὲ εἰς τὴν πόλιν ὁ ἀπόστολος τοῦ παντὸς ὄχλου

37. καὶ ὃ παλαιούμενον: ὃ de coniectura (cum Th.) addidi | ἀλλὰ μᾶλλον πιστεύσατε εἰς τὸν κύριον ἡμῶν: ita prorsus codex habet. Th. praetermisit πιστεύσατε, praetereaque de compendio vocis κύριον (κν̄) idem graviter falsus est; ἀν̄ enim videre sibi visus est, idque edidit ἄνθρωπον. | συνοδοιπόρος ὑμῖν γένηται: ὑμῖν recte codex habet, Th. edidit ἡμῖν. Illud vero quod praecedit, ἡ ἐλπὶς ὑμῶν, itemque infra ταῖς ψυχαῖς ὑμῶν ad contextum conformavimus; in codice quidem utroque loco est ἡμῶν pro ὑμῶν.

38. ἄξωμεν: ita codex; Th. („dubia manu") correxit ἄξομεν.

* Περὶ τοῦ δαίμονος τ. ἐ. εἰς τ. γυναῖκα: ita h. l. in codice superscriptum est.

Digitized by Google

ἀκολουθοῦντος αὐτῷ· ἐσκέπτετο δὲ ἀπελθεῖν πρὸς τοὺς γονεῖς τοῦ νεωτέρου, ὃν ἐζωοποίησε θανόντα ὑπὸ τοῦ δράκοντος· πάνυ γὰρ ἐδέοντο αὐτοῦ παραγενέσθαι πρὸς αὐτοὺς καὶ εἰσελθεῖν εἰς τὸν οἶκον αὐτῶν.

Γυνὴ δέ τις πάνυ ὡραία αἰφνιδίως φωνὴν ἀφῆκε μεγίστην λέγουσα Ἀπόστολε τοῦ νέου θεοῦ ὁ ἐλθὼν εἰς τὴν Ἰνδίαν, καὶ δοῦλε τοῦ ἁγίου ἐκείνου καὶ μόνου ἀγαθοῦ θεοῦ· διὰ σοῦ γὰρ οὗτος κηρύσσεται ὁ σωτὴρ τῶν ψυχῶν τῶν πρὸς αὐτὸν ἐρχομένων, καὶ διὰ σοῦ ἰατρεύεται τὰ σώματα τῶν ὑπὸ τοῦ ἐχθροῦ κολαζομένων, καὶ σὺ εἶ ὁ γεγονὼς πρόφασις τῆς ζωῆς πάντων τῶν ἐπ' αὐτὸν ἐπιστρεφόντων· κέλευσόν με ἀχθῆναι ἔμπροσθέν σου ἵνα σοι ἀφηγήσομαι τὰ συμβάντα μοι, καὶ τάχα ἐκ σοῦ γένηταί μοι ἐλπίς, καὶ οὗτοι δὲ οἱ παρεστῶτές σοι εὐέλπιδες γένωνται μᾶλλον εἰς τὸν θεὸν ὃν κηρύσσεις. οὐ μικρῶς γὰρ βασανίζομαι ὑπὸ τοῦ ἐναντίου ἤδη χρόνου πενταετοῦς ἐνεστῶτος. ὡς γυνὴ ἐκαθεζόμην ἐν ἡσυχίᾳ τὸ πρότερον, καὶ πανταχόθεν με εἰρήνη περιεῖχε, καὶ οὐδενὸς μέριμναν ἐποιούμην· οὐδὲ γὰρ ἄλλου τινὸς φροντίδα εἶχον. [40] Ἔτυχε δὲ ἐν μιᾷ τῶν ἡμερῶν ἐξιούσης μου ἀπὸ τοῦ λουτροῦ ἀπήντησέ μοι ὡς ἄνθρωπός τις τεθορυβημένος καὶ ἐντάραχος ὤν· ἡ δὲ τούτου φωνὴ καὶ ἀπόκρισις ἐδόκει μοι εἶναι ἁμυδρὰ καὶ λεπτὴ πάνυ· καὶ εἶπε στὰς ἀντικρύ μου Ἐγώ τε καὶ σὺ ἐν μιᾷ ἀγάπῃ ἐσόμεθα, καὶ κοινωνήσωμεν ἀλλήλοις ὡς ἀνὴρ γυναικὶ συμμίγνυται. κἀγὼ ἀπεκρινάμην αὐτῷ λέγουσα Τῷ ὁρμαστῷ μου οὐ συνεγενόμην παραιτουμένη τοῦ μὴ γῆμαι, καὶ σοὶ ὡς ἐν μοιχείᾳ θέλοντί μοι κοινωνῆσαι πῶς ἐμαυτὴν ἐκδώσω; καὶ εἰποῦσα ταῦτα διῆλθον ἀπ' αὐτοῦ· τῇ δὲ παιδίσκῃ μου εἶπον Ἐθεάσαο τὸν νέον καὶ τὴν ἀναίδειαν αὐτοῦ, πῶς μὴ αἰδεσθεὶς παρρησίᾳ μοι διελέχθη; ἡ δὲ εἶπέ μοι Ἐγὼ πρεσβύτην εἶδον ὁμιλήσαντά σοι. γενομένης δέ μου ἐν τῇ οἰκίᾳ καὶ δειπνησάσης ἡ ψυχή μου εἰς ὑποψίαν τινὰ ὑπέβαλέ με, καὶ μάλιστα ὅτι δυσὶ μορφαῖς ὤφθη μοι. τοῦτο αὐτὸ κατὰ νοῦν ἔχουσα ὕπνωσα. καὶ

---

39. πρόφασις τῆς ζωῆς: ita codex; Th. praetermisit τῆς ζωῆς | κοινωνήσωμεν: ita codex; Th. edidit κοινωνήσομεν

40. εἰς ὑποψ. τινὰ ὑπέβ. με: με pro μοι, quod in codice est, edidimus; Th. malebat εἰς deleto servare μοί.

Digitized by Google

ἐλθὼν ἐν τῇ νυκτὶ ἐκείνῃ ἐκοινώνησέ μοι ἐν τῇ βυπαρᾷ μίξει αὐτοῦ. ἔβλεπον δὲ αὐτὸν καὶ ἡμέρας οὔσης, καὶ ἔφευγον ἀπ' αὐτοῦ· ἐν δὲ τῇ συνήθει αὐτοῦ νυκτὶ ἐρχόμενος παρεχρᾶτό μοι. καὶ νῦν, ὡς ὁρᾷς με, πέντε ἔτη ἔχω ὑπ' αὐτοῦ ἐνοχλουμένη, καὶ οὐκ ἀπέστη ἀπ' ἐμοῦ. ἀλλ' ἐγὼ οἶδα καὶ πέπεισμαι ὅτι καὶ δαίμονες καὶ πνεύματα καὶ ἀλάστορες ὑποτάσσονταί σοι καὶ σύντρομοι γίνονται ἀπὸ τῆς εὐχῆς σου· εὖξαι οὖν ὑπὲρ ἐμοῦ καὶ ἀπέλασον ἀπ' ἐμοῦ τὸν διενοχλοῦντά μοι δαίμονα, ἵνα γένωμαι κἀγὼ ἐλευθέρα καὶ συναθροισθῶ εἰς τὴν ἀρχαιόγονόν μου φύσιν, καὶ δέξομαι τὸ χάρισμα τὸ τοῖς συγγενεῦσί μου δεδωρημένον.

41 Εἶπε δὲ ὁ ἀπόστολος Ὦ πονηρία ἀκατάσχετος· ὦ ἀναίδεια τοῦ ἐχθροῦ· ὦ ὁ βάσκανος ὁ μηδέποτε ἠρεμῶν· ὦ ὁ δυσιδὴς ὁ τοὺς εὐιδεῖς ὑποτάσσων· ὦ ὁ πολύμορφος· ὡς ἂν βουληθῇ φαίνεται, ἡ δὲ τούτου οὐσία μεταβληθῆναι οὐ δύναται· ὦ ἀπὸ τοῦ δολίου καὶ ἀπλήστου· ὦ τὸ δένδρον τὸ πικρόν, ᾧ καὶ οἱ καρποὶ αὐτοῦ ἐοίκασιν· ὦ ἀπὸ τοῦ διαβόλου τοῦ ὑπερμαχοῦντος τῶν ἀλλοτρίων· ὦ ἀπὸ τῆς πλάνης τῆς χρωμένης τῇ ἀναιδείᾳ· ὦ ἀπὸ τῆς πονηρίας τῆς ἑρπούσης ὡς ὄφις καὶ τούτου συγγενοῦς αὐτοῦ ὑπάρχοντος. καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου ἐλθὼν ὁ δυσμενὴς ἔστη ἔμπροσθεν αὐτοῦ, μηδενὸς ὁρῶντος αὐτὸν εἰ μὴ τῆς γυναικὸς καὶ τοῦ ἀποστόλου, καὶ φωνῇ μεγίστῃ χρησάμενος εἶπε πάντων ἀκουόντων 42 Τί ἡμῖν καὶ σοί, ἀπόστολε τοῦ ὑψίστου; τί ἡμῖν καὶ σοί, δοῦλε Ἰησοῦ Χριστοῦ; τί ἡμῖν καὶ σοί, σύμβουλε τοῦ ἁγίου πνεύματος; διὰ τί βούλει ἡμᾶς ἀπολέσαι τοῦ καιροῦ ἡμῶν μηδέπω ἐνεστῶτος; τίνος ἕνεκα βούλει λαβεῖν ἡμῶν τὴν ἐξουσίαν; ἕως γὰρ τῆς νῦν ὥρας εἴχομεν ἐλπίδα καὶ καιρὸν περιλειπόμενον. τί ἡμῖν καὶ σοί; σὺ ἔχεις ἐξουσίαν ἐν τοῖς σοῖς, καὶ ἡμεῖς ἐν τοῖς ἡμετέροις. τίνος ἕνεκα βούλει τυραννίδι καθ' ἡμῶν χρήσασθαι, καὶ μάλιστα αὐτὸς ἄλλους διδάσκων μὴ χρήσασθαι τυραννίδι; τίνος οὖν ἕνεκα σὺ τῶν ἀλλοτρίων δέει, ὡς τοῖς ἰδίοις μὴ ἐπαρκούμενος; τίνος ἕνεκα ἐξομοιοῦσαι τῷ υἱῷ τοῦ θεοῦ τῷ ἀδικήσαντι ἡμᾶς; ἔοικας γὰρ αὐτῷ πάνυ ὡς ἐξ αὐτοῦ ἀποκυηθείς. ἐνομίσαμεν γὰρ κἀκεῖνον ὑπό-

---

ἵνα γένωμαι: ita cum Th. edidimus; in codice omisso ἵνα legitur γένομαι | δέξομαι: hanc codicis scripturam servavimus; Th. edidit δέξωμαι.

Digitized by Google

ζυγὸν ποιῆσαι ὡς καὶ τοὺς λοιπούς· ὁ δὲ στραφεὶς ἔσχεν ἡμᾶς ὑποχειρίους. οὐ γὰρ ᾔδειμεν αὐτόν· ἠπάτησε δὲ ἡμᾶς τῇ μορφῇ αὐτοῦ ᾗ περιεβέβλητο καὶ τῇ πενίᾳ αὐτοῦ καὶ τῇ ἐνδείᾳ· θεασάμενοι γὰρ αὐτὸν τοιοῦτον ἐνομίσαμεν αὐτὸν σαρκοφόρον ἄνδρα εἶναι, μὴ εἰδότες ὅτι αὐτός ἐστιν ὁ ζωοποιῶν τοὺς ἀνθρώπους. ἔδωκε δὲ ἡμῖν ἐξουσίαν ἐν τοῖς ἡμετέροις, καὶ ἐν ᾧ ἐσμὲν χρόνῳ τὰ ἡμέτερα μὴ ἐάσαι ἀλλ' ἐν αὐτοῖς ἀναστρέφεσθαι· σὺ δὲ βούλει ὑπὲρ τὸ δέον καὶ τὸ δεδομένον σοι κτήσασθαι καὶ ἡμᾶς καταπονῆσαι.

43 Καὶ ταῦτα εἰπὼν ὁ δαίμων ἔκλαιε λέγων Ἀφίημί σε τὴν καλλίστην μου σύζυγον, ἣν πρὸ πολλοῦ εὑρὼν ἀνεπαύθην· καταλιμπάνω σε τὴν ἀγαπητὴν καὶ βεβαίαν μου ἀδελφήν, ἐν ᾗ ηὐδόκησα. τί ποιήσω οὐκ οἶδα, ἢ τίνα ἐπικαλέσομαι ἵνα μοι ἐπακούσας ἐπαμύνῃ. οἶδα τί ποιήσω· ἀπελεύσομαι εἴς τινας τόπους ἔνθα ἡ φήμη τοῦ ἀνδρὸς τούτου οὐκ ἠκούσθη, καὶ τάχα σε τὴν ἐμὴν ἀγαπητὴν ἀντονομάσω. καὶ ἐπάρας αὐτοῦ τὴν φωνὴν εἶπε Μένε ἐν εἰρήνῃ τὸ καταφύγιον λαβοῦσα εἰς τὸν μείζονά μου· ἐγὼ δέ, καθὼς εἶπον, ἀπελεύσομαι καὶ ζητήσω σου ὁμοίαν, καὶ ἐὰν μὴ εὕρω, πάλιν ἐπὶ σὲ ἐπιστρέφω· οἶδα γὰρ ὅτι τούτου τοῦ ἀνδρὸς ἔγγιστα ὑπάρχουσα εἰς αὐτὸν τὸ καταφύγιον ἔχεις, αὐτοῦ δὲ ἀποστάντος ἔσῃ ὁποία καὶ ἧς πρὸ τοῦ αὐτὸν ἐπιφανῆναι, καὶ αὐτὸν μὲν ἐπιλήσῃ, ἐμοὶ δὲ πάλιν καιρὸς καὶ παρρησία γενήσεται, νῦν δὲ τὸ ὄνομα τοῦ σε ῥυσαμένου φοβοῦμαι. καὶ ταῦτα εἰπὼν ὁ δαίμων ἀφανὴς ἐγένετο. ὡς δὲ μόνον ἀφανισθεὶς ἀπέστη, πῦρ καὶ κάπνος ὤφθη ἐκεῖ, καὶ πάντες οἱ ἐκεῖσε παρόντες ἔκπληκτοι γεγόνασιν.

44 Ἰδὼν δὲ ὁ ἀπόστολος εἶπεν αὐτοῖς Οὐδὲν ξένον οὐδὲ ἀλλότριον ἔδειξεν ὁ δαίμων ἐκεῖνος ἀλλὰ τὴν φύσιν αὐτοῦ, ἐν ᾗ καὶ κατακαυθήσεται· καὶ γὰρ τὸ πῦρ αὐτὸν καταναλώσει, καὶ ὁ τούτου κάπνος διασκεδασθήσεται. καὶ ἤρξατο λέγειν Ἰησοῦ Χριστέ, τὸ μυστήριον τὸ ἀπόκρυφον ὃ ἡμῖν ἀπεκαλύφθη, σὺ εἶ ὁ ἐκφάνας ἡμῖν μυστήρια πάμπολλα, ὁ ἀφορήσας με κατ' ἰδίαν ἐκ τῶν ἑταίρων μου πάντων, καὶ εἰπών μοι τρεῖς λόγους ἐν οἷς ἐγὼ ἐκπυροῦμαι, καὶ ἄλλοις εἰπεῖν αὐτὰ οὐ δύναμαι· Ἰησοῦ ἄνθρωπε πεφονευμένε νεκρὲ τεθαμμένε, Ἰησοῦ θεὲ ἐκ θεοῦ καὶ

σωτὴρ ὁ τοὺς νεκροὺς ζωοποιῶν καὶ τοὺς νοσοῦντας ἰώμενος· Ἰησοῦ ὁ ἐπιδεόμενος ὥσπερ καὶ σώζων ὡς ἀνενδεής, ὁ τοὺς ἰχθύας θηρεύων εἰς τὸ ἄριστον καὶ εἰς τὸ δεῖπνον, ὁ πάντας ἐν πλησμονῇ καθιστῶν ἐν μικρῷ ἄρτῳ· Ἰησοῦ ὁ ἐπαναπαυόμενος ἀπὸ τῆς ὁδοιπορίας τοῦ καμάτου ὡς ἄνθρωπος καὶ ἐπὶ τοῖς κύμασι περιπατῶν ὡς θεός· [45] Ἰησοῦ ὕψιστε, φωνὴ ἀνατείλασα ἀπὸ τῶν σπλάγχνων τῶν τελείων, πάντων σωτήρ, ἡ δεξιὰ τοῦ φωτὸς ἡ καταστρέφουσα τὸν πονηρὸν ἐν τῇ ἰδίᾳ φύσει καὶ πᾶσαν αὐτοῦ τὴν φύσιν συναθροίζουσα εἰς ἕνα τόπον, ὁ μονογενὴς ὑπάρχων, ὁ πρωτότοκος πολλῶν ἀδελφῶν, θεὲ ἐκ θεοῦ ὑψίστου, ὁ ἄνθρωπος ὁ καταφρονούμενος ἕως ἄρτι· Ἰησοῦ Χριστέ, ὁ μὴ παραβλέπων ἐν οἷς σε ἐπικαλούμεθα, ὁ γενόμενος πρόφασις πᾶσι τῇ ἀνθρωπίνῃ ζωῇ, ὁ δι' ἡμᾶς κρινόμενος καὶ φυλακιζόμενος ἐν δεσμωτηρίῳ καὶ λύων πάντας τοὺς ἐν δεσμοῖς ὄντας, ὁ καλούμενος πλάνος καὶ τοὺς ἰδίους λυτρούμενος ἀπὸ τῆς πλάνης· δέομαί σου ὑπὲρ τῶν ἑστώτων καὶ δεομένων σου τούτων καὶ πιστευόντων σοι· δέονται γὰρ τῶν σῶν δωρημάτων τυχεῖν εὐέλπιδες ὄντες εἰς τὴν σὴν βοήθειαν, τὸ καταφύγιόν σου κατέχοντες ἐν τῇ σῇ μεγαλοσύνῃ· τὰς ἀκροάσεις αὐτῶν ὑπέχουσιν ἀκοῦσαι παρ' ἡμῶν τοὺς λόγους τοὺς λαλουμένους αὐτοῖς. ἐλθέτω σου ἡ εἰρήνη καὶ σκηνωσάτω ἐν αὐτοῖς, ὅπως καθαρισθῶσιν ἀπὸ τῶν προτέρων αὐτῶν πράξεων, καὶ ἀποδύσονται τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδύσονται τὸν νέον τὸν νῦν ἐξ ἐμοῦ καταγγελλόμενον αὐτοῖς.

[46] Καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας εὐλόγησεν αὐτοὺς εἰπών Ἔσται ἐφ' ὑμᾶς ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τοὺς αἰῶνας. καὶ αὐτοὶ εἶπον Ἀμήν. ἐδεήθη δὲ αὐτοῦ ἡ γυνὴ λέγουσα Ἀπόστολε τοῦ ὑψίστου, δός μοι τὴν σφραγῖδα, ἵνα μὴ ὑποστρέψῃ εἰς ἐμὲ πάλιν ὁ ἐχθρὸς ἐκεῖνος. τότε ἐποίησεν αὐτὴν ἐγγὺς αὐτοῦ γενέσθαι, καὶ ἐπιθεὶς ἐπ' αὐτῇ τὴν χεῖρα αὐτοῦ ἐσφράγισεν αὐτὴν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. πολλοὶ δὲ καὶ ἄλλοι ἐσφραγίσθησαν μετ' αὐτῆς. ἐκέλευσε δὲ ὁ ἀπόστολος τῷ διακόνῳ αὐτοῦ παραθῆναι τράπεζαν· παρέ-

46. εὐλόγησεν: ita codex; Th. ηὐλόγησεν edidit. | παραθῆναι: ita codex; Th. correxit παραθεῖναι

Digitized by Google

θηκαν δὲ συμψέλλιον, ὃ εὗρον ἐκεῖ. καὶ ἁπλώσας σινδόνα ἐπ' αὐτὸ ἐπέθηκεν ἄρτον τῆς εὐλογίας. καὶ παραστὰς ὁ ἀπόστολος εἶπεν Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ, ὁ καταξιώσας ἡμᾶς τῆς εὐχαριστίας τοῦ σώματός σου τοῦ ἁγίου καὶ τοῦ τιμίου αἵματος κοινωνῆσαι, ἰδοὺ κατατολμῶμεν τῆς εὐχαριστίας καὶ ἐπικλήσεως τοῦ ἁγίου σου ὀνόματος, ἐλθὲ νῦν καὶ κοινώνησον ἡμῖν. [47] καὶ ἤρξατο λέγειν Ἐλθὲ τὰ σπλάγχνα τὰ τέλεια, ἐλθὲ ἡ κοινωνία τοῦ ἄρρενος, ἐλθὲ ἡ ἐπισταμένη τὰ μυστήρια τοῦ ἐπιλέκτου, ἐλθὲ ἡ κοινωνοῦσα ἐν πᾶσι τοῖς ἄθλοις τοῦ γενναίου ἀθλητοῦ, ἐλθὲ ἡ ἡσυχία ἡ ἀποκαλύπτουσα τὰ μεγαλεῖα τοῦ παντὸς μεγέθους, ἐλθὲ ἡ τὰ ἀπόκρυφα ἐκφαίνουσα καὶ τὰ ἀπόρρητα φανερὰ καθιστῶσα, ἡ ἱερὰ περιστερὰ ἡ τοὺς διδύμους νεοσσοὺς γεννῶσα, ἐλθὲ ἡ ἀπόκρυφος μήτηρ, ἐλθὲ ἡ φανερὰ ἐν ταῖς πράξεσιν αὐτῆς καὶ παρέχουσα χαρὰν καὶ ἀνάπαυσιν τοῖς συνημμένοις αὐτῇ· ἐλθὲ καὶ κοινώνησον ἡμῖν ἐν ταύτῃ τῇ εὐχαριστίᾳ ἣν ποιοῦμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ τῇ ἀγάπῃ ᾗ συνήγμεθα ἐπὶ τῇ κλήσει σου. καὶ εἰπὼν ταῦτα διεχάραξε τῷ ἄρτῳ τὸν σταυρόν, καὶ κλάσας ἤρξατο διαδιδόναι. καὶ πρῶτον τῇ γυναικὶ ἔδωκεν εἰπών Ἔσται σοι τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν καὶ λύτρον αἰωνίων παραπτωμάτων. καὶ μετ' αὐτὴν ἔδωκε καὶ τοῖς ἄλλοις πᾶσι τοῖς τὴν σφραγῖδα δεξαμένοις.

(Περὶ τοῦ νεανίσκου τοῦ φονεύσαντος τὴν κόρην.)

[48] Ἦν δέ τις νεανίσκος διαπραξάμενος πρᾶγμα ἀθέμιτον, προσελθὼν δὲ τῷ ἀποστόλῳ ἔλαβε τῆς εὐχαριστίας τὸν ἄρτον τῷ ἰδίῳ στόματι, αἱ δὲ δύο χεῖρες αὐτοῦ παραυτὰ ἐξηράνθησαν, ὡς μὴ δύνασθαι ἔτι προσαγαγεῖν αὐτὰς τῷ ἰδίῳ στόματι. οἱ δὲ παρόντες ἰδόντες αὐτὸν ἀνήγγειλαν τῷ ἀποστόλῳ τὸ συμβάν· ὁ δὲ προσκαλεσάμενος αὐτὸν εἶπεν Λέξον μοι, τέκνον, καὶ μὴ αἰδεσθῇς τινα, ὃ διεπράξω καὶ ὧδε ἦλθες· ἡ γὰρ εὐχαριστία τοῦ κυρίου ἤλεγξέ σε. τοῦτο γὰρ τὸ χάρισμα εἰς πολλοὺς διερχόμε-

---

ἐπ' αὐτό: ita codex; Th. ἐπ' αὐτῷ edidit.

* Περὶ τοῦ νεαν. τ. φον. τ. κόρην: haec ultima in codice superscriptio habetur.

48. τινα: codex τινι

Digitized by Google

νον μάλιστα μὲν τοὺς διὰ πίστεως καὶ ἀγάπης προσιόντας ἰᾶται, σὲ δὲ ἀπεξήρανε, καὶ τὸ γενόμενον οὐ χωρὶς ἐνεργείας τινὸς γέγονεν. ὁ δὲ νέος ἐλεγχθεὶς ὑπὸ τῆς εὐχαριστίας τοῦ κυρίου προσελθὼν προσέπεσε τοῖς ποσὶ τοῦ ἀποστόλου καὶ ἐδέετο λέγων Κακὸν πρᾶγμα πέπρακταί μοι, ἐνόμιζον γάρ τι καλὸν διαπράττεσθαι. γυναικός τινος ἠράσθην οἰκούσης ἔξω τῆς πόλεως ἐν πανδοχείῳ, καὶ αὐτὴ δέ με ἐφίλει. ἀκούσας δὲ ἐγὼ παρὰ σοῦ καὶ πιστεύσας ὅτι θεὸν ζῶντα καταγγέλλεις, προσῆλθον καὶ τὴν σφραγῖδα ἐδεξάμην παρὰ σοῦ σὺν τοῖς ἄλλοις· ἔλεγες δέ Ὃς ἐὰν κοινωνήσῃ μιαρᾷ μίξει, μάλιστα καὶ ἐν μοιχείᾳ, οὗτος οὐχ ἕξει ζωὴν παρὰ τῷ θεῷ ᾧ κηρύσσω. ἐπεὶ οὖν πάνυ αὐτὴν ἠγάπουν, ἐδεόμην αὐτῆς καὶ ἔπειθον ἵνα σύνοικός μοι γενήσεται ἐν ἁγνείᾳ καὶ πολιτείᾳ καθαρᾷ, ἣν σὺ αὐτὸς διδάσκεις· ἡ δὲ οὐκ ἐβούλετο. μὴ βουλομένης οὖν αὐτῆς λαβὼν ξίφος ἐθανάτωσα αὐτήν· οὐ γὰρ ἠδυνάμην βλέπειν αὐτὴν μετ' ἄλλου μοιχευομένην.

[49] Ταῦτα ἀκούσας ὁ ἀπόστολος εἶπεν Ὦ μανιώδης μίξις, πῶς εἰς ἀναισχυντίας χωρεῖς· ὦ ἐπιθυμία ἀκατάσχετος, πῶς τοῦτον ἐνίκησας ταῦτα ποιῆσαι· ὦ ἔργον ὄφεως, πῶς ἐν τοῖς σοῖς ὀργίζῃ. ἐκέλευσε δὲ ὁ ἀπόστολος ὕδωρ αὐτῷ προσενεχθῆναι ἐν λεκάνῃ. τοῦ δὲ ὕδατος προσενεχθέντος εἶπεν Ἐλθέτω τὰ ὕδατα ἀπὸ τῶν ὑδάτων τῶν ζώντων τὰ ὄντα ἀπὸ τῶν ὄντων καὶ ἀποσταλέντα ἡμῖν· ἡ ἀπὸ ἀναπαύσεως ἀποσταλεῖσα ἡμῖν πηγή, ἡ δύναμις τῆς σωτηρίας ἡ ἀπὸ τῆς δυνάμεως ἐκείνης ἐρχομένη τῆς τὰ πάντα νικώσης καὶ ὑποτασσούσης τῷ ἰδίῳ θελήματι, ἐλθὲ καὶ σκήνωσον ἐν τοῖς ὕδασι τούτοις, ἵνα τὸ χάρισμα τοῦ ἁγίου πνεύματος τελείως ἐν αὐτοῖς τελειωθῇ. καὶ εἶπε τῷ νεωτέρῳ Ἄπελθε, νίψαι σου τὰς χεῖρας ἐν τοῖς ὕδασι τούτοις. καὶ νιψαμένου αὐτοῦ κατεστάθησαν. καὶ εἶπεν αὐτῷ ὁ ἀπόστολος Πιστεύεις εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅτι πάντα δύναται ποιῆσαι; ὁ δὲ εἶπεν Εἰ καὶ ἐλάχιστος τυγχάνω, πιστεύω· ἀλλὰ τοῦτο διεπραξάμην οἰόμενός τι καλὸν ποιεῖν· ἐδεόμην γὰρ

καταγγέλλεις: ita codex (-γγέλεις); Th. edidit παραγγέλλεις | ἠγάπουν: haec codicis scriptura est. Th. ἠγάπων

49. ἀκατάσχετος: codex ἀκατάσχετε | τελειωθῇ: ita prorsus in codice est, sed est per compendium scriptum.

Digitized by Google

αὐτῆς, ὥσπερ καὶ εἰπόν σοι, ἡ δὲ οὐκ ἠβουλήθη πεισθῆναί μοι ἵνα ἑαυτὴν φυλάξῃ ἁγνήν.

50 Εἶπε δὲ αὐτῷ ὁ ἀπόστολος Δεῦρο ἀπέλθωμεν εἰς τὸ πανδοχεῖον ὅπου τοῦτο τὸ ἔργον διεπράξω, καὶ ἴδωμεν τὸ γεγονός. προηγεῖτο δὲ ὁ νεώτερος τοῦ ἀποστόλου εἰς τὴν ὁδόν· γενόμενοι δὲ ἐν τῷ πανδοχείῳ εὗρον αὐτὴν κειμένην. ἰδὼν δὲ αὐτὴν ὁ ἀπόστολος ἠθύμησε, κόρη γὰρ ἦν εὔμορφος, καὶ ἐκέλευσεν αὐτὴν ἐνεχθῆναι ἐν τῷ μέσῳ τοῦ ξενοδοχείου. ἐπιθέντες δὲ αὐτὴν ἐν κραββάτῳ ἐξήνεγκαν καὶ ἔθηκαν ἐν τῷ μέσῳ τῆς αὐλῆς τοῦ πανδοχείου. ἐπέθηκε δὲ αὐτῇ ὁ ἀπόστολος τὴν χεῖρα αὐτοῦ καὶ ἤρξατο λέγειν Ἰησοῦ, ὃς πάντοτε φαίνει ἡμῖν, — τοῦτο γὰρ πάντοτε βούλει, ἡμᾶς σε ἐπιζητεῖν — καὶ αὐτὸς ἡμῖν ἔδωκας ταύτην τὴν ἐξουσίαν τοῦ αἰτεῖσθαι καὶ λαμβάνειν, καὶ οὐ μόνον τοῦτο ἐπέτρεψας ἀλλὰ καὶ τὸ εὔξασθαι ἡμᾶς ἐδίδαξας, ὁ οὐχ ὁρώμενος παρὰ τοῖς σωματικοῖς ὀφθαλμοῖς, τοῖς δὲ τῆς ψυχῆς ἡμῶν οὐδ' ὅλως ἀποκρυπτόμενος, καὶ τῇ μὲν ἰδέᾳ ἀπόκρυφος, τοῖς δὲ ἔργοις φανερούμενος ἡμῖν· καὶ ταῖς μὲν πράξεσί σου ταῖς πολλαῖς καθὼς χωροῦμεν ἐπεγνώκαμέν σε, αὐτὸς δὲ ἀμέτρως δέδωκας ἡμῖν τὰ δόματά σου, εἰπών Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. δεόμεθα οὖν ὑποψίαν ἔχοντες τῶν ἁμαρτημάτων ἡμῶν· αἰτοῦμεν δέ σε οὐ πλοῦτον, οὐ χρυσόν, οὐκ ἄργυρον, οὐ κτῆσιν, οὐκ ἄλλο τι τῶν ἀπὸ τῆς γῆς γινομένων καὶ πάλιν εἰς τὴν γῆν χωρούντων, ἀλλὰ τοῦτο δεόμεθά σου καὶ παρακαλοῦμεν, ἵνα ἐν τῷ ὀνόματί σου τῷ ἁγίῳ ἐγείρῃς ταύτην τὴν κειμένην ἐν τῇ σῇ δυνάμει εἰς δόξαν καὶ πίστιν τῶν παρεστώτων.

51 Καὶ ταῦτα αὐτοῦ προσευξαμένου εἶπε τῷ νεωτέρῳ σφραγίσας αὐτόν Ἄπελθε καὶ λαβόμενος τῆς χειρὸς αὐτῆς εἰπὲ αὐτῇ Ἐγὼ διὰ τῶν ἐμῶν χειρῶν σιδήρῳ σε ἐφόνευσα, καὶ πάλιν ἐν ταῖς ἐμαῖς χερσὶν ἐπὶ τῇ πίστει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐγείρω σε. προσελθὼν οὖν ὁ νέος παρέστη αὐτῇ λέγων Ἐπίστευσα ἐπὶ σέ, Χριστὲ Ἰησοῦ. καὶ ἀπιδὼν εἰς Ἰούδαν Θωμᾶν τὸν ἀπόστολον εἶπεν αὐτῷ Ἔπευξαί μοι ἵνα ὁ κύριός μου εἰς τὴν βοήθειάν μου ἔλθῃ, ὃν καὶ ἐπικαλοῦμαι. καὶ ἐπιθεὶς τὴν χεῖρα

50. φαίνει: codicis scripturam servavimus; Th. maluit φαίνῃ.

Digitized by Google

αὐτοῦ τῇ αὐτῆς χειρὶ εἶπεν Ἐλθέ, κύριε Ἰησοῦ Χριστέ, ταύτῃ μὲν παρέχων τὴν ζωήν, ἐμοὶ δὲ τῆς πίστεώς σου τὸν ἀρραβῶνα. καὶ εὐθέως ἑλκύσαντος αὐτοῦ τὴν χεῖρα αὐτῆς ἀναπηδήσασα ἐκαθέσθη, ἀποβλέπουσα εἰς τὸν πολὺν ὄχλον τὸν παρεστῶτα· εἶδε δὲ καὶ τὸν ἀπόστολον ἄντικρυ αὐτῆς ἑστῶτα, καὶ καταλείπουσα τὸν κράββατον ἐκπηδήσασα πρὸς τοῖς ποσὶν αὐτοῦ ἔπεσε καὶ τῶν ἐνδυμάτων αὐτοῦ ἥπτετο λέγουσα Δέομαί σου, κύριε, ποῦ ἔστιν ἐκεῖνος ὁ ἄλλος ὁ συνών σοι, ὃς οὐκ ἐγκατέλιπέ με παραμεῖναι εἰς ἐκεῖνον τὸν χῶρον τὸν δεινὸν καὶ χαλεπόν, ἀλλά σοί με παρέδωκεν εἰπών Σὺ ταύτην παράλαβε ἵνα τελειωθῇ, καὶ μετὰ ταῦτα εἰς τὸν αὐτῆς χῶρον συναχθῇ.

52 Ὁ δὲ ἀπόστολός φησι πρὸς αὐτήν Ἐξήγησαι ἡμῖν ποῦ παρεγένου. ἡ δὲ ἀπεκρίνατο Σὺ ὁ σὺν ἐμοὶ ὤν, ᾧ καὶ παρεδόθην, βούλει ἀκοῦσαι; καὶ ἤρξατο λέγειν Ἄνθρωπός τις παρελαβέ με ἀπεχθὴς τῇ εἰδέᾳ, μέλας ὅλος, ἡ δὲ τούτου ἐσθὴς πάνυ ῥερυπωμένη· ἀπήγαγε δέ με εἴς τινα τόπον ἐν ᾧ πολλὰ χάσματα ὑπῆρχε, καὶ πολλὴ δυσωδία καὶ ἀποφορὰ ἐχθίστη ἐκεῖθεν ἀπεδίδετο. ἐποίει δέ με εἰς ἕκαστον χάσμα παρακύψαι, καὶ εἶδον ἐν τῷ χάσματι πῦρ φλεγόμενον, καὶ τροχοὶ πυρὸς ἐκεῖσε ἔτρεχον, ψυχαὶ δὲ ἐνεκρέμαντο ἐν τοῖς τροχοῖς ἐκείνοις, ἀλλήλαις προσρηγνύμεναι· βοὴ δὲ καὶ ὀλολυγμὸς πλεῖστος ὑπῆρχεν ἐκεῖ, οὐδεὶς δὲ ἦν ὁ λυτρούμενος. ἔλεγε δέ μοι ὁ ἀνὴρ ἐκεῖνος Αὗται αἱ ψυχαὶ ὁμόφυλοί σού εἰσι, καὶ ἐν ἡμέραις ἀριθμοῦ παρεδόθησαν εἰς κόλασιν καὶ ἔκτριψιν, καὶ τότε ἄλλαι εἰσάγονται ἀντ' αὐτῶν, ὁμοίως δὲ πάλιν καὶ αὐταὶ ἐν ἄλλῳ· αὗταί εἰσιν αἱ μεταλλάξασαι ἀνδρὸς καὶ γυναικὸς τὴν συνουσίαν. καὶ κατοπτεύσασα εἶδον βρέφη ἐπ' ἄλληλα σεσωρευμένα καὶ παλαίοντα ἄλληλα καὶ ἐπικείμενα. ὁ δὲ ἀποκριθεὶς εἶπέ μοι Ταῦτά εἰσι τὰ τούτων βρέφη, καὶ διὰ τοῦτο ἐνθάδε ἐτέθησαν εἰς μαρτύριον αὐτῶν.

---

51. καταλείπουσα: in codice est καταλειποῦσα; hinc librarius καταλιποῦσα voluisse videtur.

52. εἰδέᾳ: sic h. l. Paullo ante (sectione 50.) scriptum est ἰδέᾳ; sectione vero 8. rursus εἰδέᾳ. | ἀπεδίδετο: ita codex. Th. correxit ἀπεδίδοτο | εἰσάγονται: ita codex. Falsus est Th. de scriptura codicis. | ἐν ἄλλῳ: in codice est ἐν ἄλλ° (sic). | παλαίοντα ἄλληλα: in ἄλληλα (πρὸς ἄλληλα? ἀλλήλοις?) latere videtur vitium; nescio an ipsum abundet.

Digitized by Google

53 Ἀπήνεγκέ με εἰς ἄλλο χάσμα, καὶ παρακύψασα εἶδον βόρβορον καὶ σκώληκα ἀναβρύοντα, καὶ ψυχὰς ἐκεῖ κυλιομένας, καὶ βρυγμὸν μέγαν ἐκεῖθεν ἐξ αὐτῶν ἀκουόμενον. καὶ εἶπε πρός μὲ ὁ ἄνθρωπος ἐκεῖνος Αὗται αἱ ψυχαὶ γυναικῶν εἰσὶ τῶν καταλειψασῶν τοὺς ἄνδρας αὐτῶν καὶ εἰς ἄλλους μοιχευθεῖσαι καὶ εἰς ταύτην τὴν βάσανον ἐνεχθεῖσαι. ἄλλο μοι χάσμα ἔδειξεν, εἰς ὃ παρακύψασα εἶδον ψυχὰς τὰς μὲν κρεμαμένας διὰ τῆς γλώττης, τὰς δὲ διὰ τῶν πλοκάμων, τὰς δὲ διὰ τῶν χειρῶν, τὰς δὲ διὰ τῶν ποδῶν κατὰ κεφαλῆς, καὶ καπνὸν καὶ θεῖον καπνιζομένας· περὶ ὧν μοι ἀπεκρίνατο ὁ ἀνὴρ ἐκεῖνος ὁ σὺν ἐμοὶ ὤν Αἱ μὲν ψυχαὶ αὗται αἱ κρεμασθεῖσαι διὰ τῆς γλώσσης διάβολοί εἰσι, καὶ ψευδεῖς λόγους καὶ αἰσχροὺς φθεγγόμεναι, καὶ μὴ αἰδούμεναι καὶ γυμνοκέφαλοι ἐν τῷ κόσμῳ περιάγουσαι· αἱ δὲ διὰ τῶν χειρῶν κρεμασθεῖσαι αὗταί εἰσιν αἱ τὰ ἀλλότρια ἀφελόμεναι καὶ κλέψασαι, καὶ μετρίοις μὴ ἐπιδοῦσαι μηδέποτε μηδὲν μηδὲ ἐπαρκήσασαι τοῖς τεθλιμμένοις, ἀλλὰ τοῦτο ἐποίουν τὰ πάντα λαμβάνειν θέλουσαι, καὶ μηδὲ ὅλως τῆς δίκης καὶ τῆς νομοθεσίας φροντίδα ποιησάμεναι· αἱ δὲ διὰ τῶν ποδῶν κρεμασθεῖσαι αὗταί εἰσιν αἱ κούφως μὲν καὶ προθύμως τρέχουσαι ὁδοῖς πονηραῖς καὶ πονηρίαις ἀτάκτοις, νοσοῦντας μὴ ἐπισκεπτόμεναι καὶ τοὺς ἐξιόντας τοῦ βίου μὴ προκομίζουσαι, καὶ διὰ τοῦτο μία καὶ ἑκάστη ψυχὴ ἀπολαμβάνει τὰ πεπραγμένα αὐτῇ.

54 Πάλιν ἀπαγαγὼν ὑπέδειξέ μοι ἄντρον πάνυ σκοτεινόν, δυσωδίαν πολλὴν ἀποπνέον, πολλαὶ δὲ ψυχαὶ ἐκεῖθεν παρέκυπτον βουλόμεναι τοῦ ἀέρος τι μεταλαμβάνειν, οἱ δὲ τούτων φύλακες οὐκ εἴων αὐτὰς παρακύπτειν. ὁ δὲ συνών μοι εἶπε Τοῦτό ἐστι τὸ δεσμωτήριον τούτων τῶν ψυχῶν ὧν εἶδες· ἐπὰν γὰρ πληρώσωσι τὰς κολάσεις αὐτῶν ὧν μία ἑκάστη ἔπραξεν, ὕστερον πάλιν ἄλλαι διαδέχονται αὐτάς — εἰσὶ δὲ καί τινες τελείως κατανα-λισκόμεναι — καὶ εἰς ἄλλας κολάσεις παραδίδονται. ἔλεγον οὖν τῷ ἀνδρὶ τῷ παραλαβόντι με ἐκεῖνοι οἱ τὰς ψυχὰς φρουροῦν-

---

53. κυλιομένας: codex κυλιωμένας | μέγαν: codex μέγα | καταλειψασῶν: codex καταλειψάντων | κρεμαμένας: codex κρεμμαμένας | γλώσσης: ita h. l. codex; antea γλώττης. Similis inconstantia in plerisque codicibus est, nec temere corrigenda videtur.

Digitized by Google

τες τὰς οὔσας ἐν τῷ σκοτεινῷ ἄντρῳ Δὸς ἡμῖν αὐτὴν ἵνα εἰσαγάγωμεν πρὸς τὰς ἄλλας, ἕως ὅτε καιρὸς ἐφίσταται εἰς κόλασιν παραδοθῆναι αὐτήν. ὁ δὲ ἀπεκρίνατο αὐτοῖς Οὐ δίδωμι ὑμῖν αὐτήν, ἐπειδὴ γὰρ φοβοῦμαι τὸν παραδόντα μοι αὐτήν· οὐ γὰρ ἐκελεύσθην ἐνθάδε αὐτὴν καταλεῖψαι· σὺν ἐμοὶ δὲ ἀναφέρω αὐτήν, ἕως ἂν ἐντολὴν περὶ ταύτης δέξωμαι. καὶ παραλαβών με ἀνήγαγέ με εἰς ἄλλον χῶρον, ἐν ᾧ ἦσαν ἄνθρωποι οἳ ἐβασανίζοντο πικρῶς. ὁ δέ σοι ὅμοιος λαβών μέ σοι παραδέδωκε, λέξας σοι ταῦτα Παράλαβε ταύτην, ἐπειδὴ μία τῶν θρεμμάτων ἐστὶ τῶν πλανηθέντων. καὶ ληφθεῖσα ὑπὸ σοῦ νῦν ἔμπροσθέν σού εἰμι. δέομαί σου οὖν καὶ ἱκετεύω ἵνα μὴ ἀπέλθω εἰς ἐκείνους τοὺς τόπους τοὺς κολαστηρίους οὓς εἶδον.

[55] Ὁ δὲ ἀπόστολος τοῖς παρεστῶσιν ὄχλοις εἶπεν Ἠκούσατε, ἀδελφοί, ἃ διηγήσατο ἡ γυνὴ αὕτη· οὐκ εἰσὶ δὲ μόνον αὗται αἱ κολάσεις, ἀλλὰ καὶ ἄλλαι χείρονες τούτων· καὶ ὑμεῖς δὲ ἐὰν μὴ ἐπιστραφῆτε ἐπὶ τὸν θεὸν τοῦτον ὃν κηρύσσω, καὶ ἀπόσχησθε ἀπὸ τῶν προτέρων ἔργων ὑμῶν καὶ τῶν πράξεων ὧν διεπράξασθε χωρὶς γνώσεως, εἰς ταύτας τὰς κολάσεις τὸ τέλος ὑμῶν ἕξετε. πιστεύσατε οὖν εἰς τὸν κύριον ὑμῶν Ἰησοῦν Χριστόν, καὶ ἀφίησιν ὑμῖν τὰ πρὸ τούτου πεπραγμένα ἁμαρτήματα, καὶ καθαρίσει ὑμᾶς ἀπὸ πασῶν τῶν ἐπιθυμιῶν τῶν σωματικῶν τῶν ἐν τῇ γῇ μενουσῶν, καὶ ἰάσεται ὑμᾶς ἀπὸ τῶν σφαλμάτων τῶν παρεπομένων καὶ σὺν ὑμῖν ἀπιόντων καὶ πρὸ ὑμῶν εὑρισκομένων. ἕκαστος δὲ ὑμῶν ἀποδυσάσθω τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδυσάσθω τὸν νέον, τὴν δὲ πρώτην ὑμῶν ἀναστροφὴν καὶ πολιτείαν καταλείψατε· καὶ οἱ κλέπτοντες μηκέτι κλεπτέτωσαν, ἀλλὰ κάμνοντες καὶ ἐργαζόμενοι ζήτωσαν· οἱ δὲ μοιχοὶ μηκέτι πορνευέτωσαν, ἵνα μὴ ἐκδότους ἑαυτοὺς τῇ αἰωνίᾳ κολάσει παραδώσωσιν· ἡ γὰρ μοιχεία παρὰ τῷ θεῷ πάνυ χαλεπόν ἐστι κακὸν παρὰ τὰ ἄλλα κακά. ἀπόθεσθε δὲ καὶ τὴν πλεονεξίαν καὶ τὸ ψεῦδος καὶ τὴν μέθην καὶ τὴν διαβολὴν καὶ τὸ κακὸν ἀντὶ κακοῦ ἀνταποδιδόναι· ταῦτα γὰρ πάντα ξένα εἰσὶ τῷ θεῷ τῷ ὑπ' ἐμοῦ κηρυσσομένῳ καὶ ἀλλότρια· ἀλλὰ καὶ μᾶλλον ἐν τῇ

55. τοῖς παρεστῶσιν ὄχλοις: his in codice praepositum est πρός. | ἀπόσχησθε: codex ἀπόσχεσθε.

Digitized by Google

πίστει πολιτεύσασθε καὶ τῇ πραότητι καὶ τῇ ἁγιωσύνῃ καὶ τῇ ἐλπίδι, ἐν ᾗ ὁ θεὸς χαίρει, ὅπως γένησθε αὐτοῦ οἰκεῖοι προσδεξάμενοι παρ' αὐτοῦ τὰ χαρίσματα, ἃ ὀλίγοι καὶ ἔνιοι δέχονται.

[56] Πᾶς οὖν ὁ λαὸς ἐπίστευσε, καὶ τὰς ἑαυτῶν ψυχὰς πειθηνίους παρέσχον τῷ θεῷ τῷ ζῶντι καὶ τῷ Χριστῷ Ἰησοῦ, εὐωχούμενοι ἐν τοῖς ἔργοις αὐτοῦ τοῖς εὐλογημένοις καὶ τῇ διακονίᾳ αὐτοῦ τῇ ἁγίᾳ. ἐκόμιζον δὲ χρήματα πολλὰ εἰς διακονίαν τῶν χηρῶν· εἶχε γὰρ ἐν ταῖς πόλεσι συνηθροισμένας, καὶ πάσας αὐτὰς διὰ τῶν ἰδίων διακόνων ἀπέστελλε τὰ ἐπιτήδεια τά τε ἐνδύματα καὶ τὴν τροφήν. αὐτὸς δὲ οὐκ ἐπαύετο κηρύσσων καὶ λέγων αὐτοῖς καὶ ὑποδεικνύων ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστός, περὶ οὗ αἱ γραφαὶ ἐκήρυξαν ὡς ἐλθὼν σταυροῦται καὶ ἐγείρεται διὰ τριῶν ἡμερῶν ἐκ νεκρῶν. ὑπεδείκνυε δὲ αὐτοῖς δεύτερον σαφηνίζων ἀρξάμενος ἀπὸ τῶν προφητῶν τὰ περὶ τοῦ Χριστοῦ, καὶ ὅτι ἔδει αὐτὸν ἐλθεῖν καὶ ἐν αὐτῷ τελεσθῆναι πάντα τὰ προλεχθέντα ἡμῖν περὶ αὐτοῦ.

Διέδραμε δὲ ἡ τούτου φήμη εἰς πάσας τὰς πόλεις καὶ χώρας, καὶ πάντες οἱ ἔχοντες νοσοῦντας ἢ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων προσέφερον, καὶ ἐθεραπεύοντο· οὓς δὲ καὶ ἐν τῇ ὁδῷ ἐτίθουν ἐν ᾗ ἔμελλε διελθεῖν, καὶ πάντας ἐν τῇ δυνάμει τοῦ κυρίου ἐθεράπευε. Τότε εἶπον πάντες ὁμοθυμαδὸν οἱ δι' αὐτοῦ ἰαθέντες μιᾷ φωνῇ Σοὶ δόξα, Ἰησοῦ, τῷ τὴν θεραπείαν ἐξ ἴσου παρασχόντι διὰ τοῦ δούλου σου καὶ ἀποστόλου Θωμᾶ. καὶ ὑγιαίνοντες καὶ χαίροντες δεόμεθά σου γενέσθαι τῆς σῆς ἀγέλης καὶ ἐναριθμηθῆναι εἰς τὰ σὰ πρόβατα· δέξαι οὖν ἡμᾶς, κύριε, καὶ μὴ λογίσῃ ἡμῶν τὰ παραπτώματα καὶ τὰ πρῶτα σφάλματα, ἃ διεπραξάμεθα ἐν ἀγνοίᾳ ὄντες.

[57] Ὁ δὲ ἀπόστολος εἶπε Δόξα τῷ μονογενεῖ τῷ ἀπὸ τοῦ πατρός, δόξα τῷ πρωτοτόκῳ τῶν πολλῶν ἀδελφῶν, δόξα σοι τῷ ἐπαμύντορι καὶ βοηθῷ τῶν εἰς τὸ καταφύγιόν σου ἐρχομένων· ὁ ἄϋπνος καὶ τοὺς ἐν ὕπνῳ διεγείρων, ὁ ζῶν καὶ ζωοποιῶν τοὺς ἐν τῷ θανάτῳ κατακειμένους· θεὲ Ἰησοῦ Χριστέ, τοῦ θεοῦ τοῦ ζῶντος υἱέ, ὁ λυτρωτὴς καὶ βοηθός, ἡ καταφυγὴ καὶ ἀνάπαυσις πάντων τῶν καμνόντων ἐν τῇ σῇ ἐργασίᾳ, ἴασιν δὲ παρέχων

56. προλεχθ. ἡμῖν: codex ὑμῖν pro ἡμῖν.

Digitized by Google

In iis quas ex Thilone sumpsimus codicum C et D lectionibus ad Acta Pilati A, item codicis B ad Act. Pil. B, haud pauca corrigenda esse ipsorum codicum nos examen docuit. Pessime vero a Fabricio[1] *Ἀναφορὰ Πιλάτου* edita est ex amici apographo. Ita A recte *ἀναφορᾶς* praebet, non *ἀναφοράν*: minime omittit *θειοτάτῳ* sed *θιωτάτω* habet: sect. 1. *δι' ἧς*, non *διὰ τῆσδε*: *συνέχομαι κρατεῖσθαι*, non *συνέχ. κράτιστε βασιλεῦ*: *τῶν ἐπανισταμένων καιρῶν ῥοπὴν τόν τε καιρὸν δέοντα λαβὼν τὸν τέλειον χρόνον ἐνδείκνυσιν*, quorum loco Fabr. dedit *τὴν τῶν ἐπενισταμένων καιρῶν ῥοπὴν ἐκ τῶν ἃ ἐπέσονται* (ita prorsus editum) *λαβὼν τῶν τε λοιπῶν χρόνων ἐνδείκνυσιν*: *καὶ παρέχειν*, non *καὶ παρεῖχεν*: *ἄλλον*, non *ἀλλά*: *τεθνεῶτος*, non *τεθνηκότος*: *καὶ αὐτὸν τὸν ἰχῶρα* (scriptum *ἰχώρα*) *διέφθειρεν* et *ἔχοντα*, non *καὶ αὐτὸν οὗ ἰχὼρ διέφθ.* et *ἔχοντος*: *ἐν* omittit (ut BCD): *ἐξῆλθεν*, non *ἐπῆλθεν*: sect. 2. *τὴν ἰδίαν* (scriptum *ἰδείαν*), non *τήν τ' οὐσίαν*: *συναναστρεφομένους*, non *συνανατρεφομένους*: *πάνπασιν*, non *παντάπασιν*: *τῶν πνευμάτ. καὶ ἀκαθάρτ.*, non *τ. πν. ἀκαθ.*: verba *ἃ βυθῷ θαλάσσης κατέρριψεν* non desunt, sed leguntur *κατὰ βυθὸν θαλάσσης καταρρίξας* (sic): sect. 3. habet *ἔχειν λίαν στολήν* (quod *διαστολήν* corrigendum) non *ἔχ. ὡς λίαν στενήν*: sect. 4. *καὶ γυναῖκα δὲ αἱμορροοῦσα* (sic), non *κ. γυνὴ δ. αἱμορροοῦσα*: *ἀπὸ τ. ῥύσεως* (non *ῥεύσεως*) *τ. αἵ. τὰς ἁρμονίας* (non *ἀρτηρίας*) et *ἐξαντλήσασα* (non *ἀντλ.*): *ἄφωνος καθ' ἑκάστην οὖσα*, non *ἄφ. τε οὖσα*: *οὐκ ἠδύνατο*, non *οὐκ ἠδύναντο*: *μία*, non *σκιά*: sect. 5. verba *ἅπερ ἐν σαββάτῳ* etc. non omittit, sed habet *ἅπερ ἐν σαββ. ἐποίει*: sect. 6. habet *ἐπὶ τὸ τοῦτον ἀνετάσαι*, non *ἐπὶ τῇ τούτου ἀνετάσει*: sect. 7. *μέσης* (scriptum *μεσῖς*) *τῆς*, non *μέσον τῆς*: *σελήνη δὲ*, non *ἡ δὲ σελήνη*: *τῇ τούτου πτώσει*, non *τ. τούτ. πτώσει* (ut et Fabr. et Birch.): *ἐλειμένος· βροντῶν ἰδίχος* (codd. CD

[1] Thilo malnit ab edendo abstinere, quamquam codicem ipsum rursus adierat.

Digitized by Google

ἴδι ἶχος) κατεπαίδουσαν (codd. CD κατεπίδουσαν), quae quidem perquam corrupta sunt, quorum loco Fabr. edidit ἐλλειπομένης, βροντῶν τ' ἶχος καταβαινουσῶν: sect. 8. γεναμένην (ut D) pro γενομένην: sect. 9. τῆς ante παρασκευῆς non omittit, tum rursus γεναμένης habet: οἵως (ut B; scriptum ἴως), non ὡς: ἔλαφον φωταγωγ. τῶν πάντων πολλὰ φαιδρ., non πολλ. φαιδρ. omissis ἔλαφ. φω. τ. πάντων: ἐφάνησαν ἄνδρες ἐφ' ὑψηλῇ στολῇ, non ἐφ. ἄνδρ. ἐν νεφελεινῇ στολῇ: αἱ φωναί, non καὶ φωναί: ἀνήλθατε, non ἀνῆλθόν τε: ἴσοχ. τῆς ἀβύσσου et μετὰ τῶν βοώντων, non omittit τῆς nec βοώντων: καὶ περιφαινόντων, non καίπερ ὑπαντούντων: sect. 10. τῆς γῆς καὶ καταπτωθέντες, non τῆς γῆς καταπτωθέντες: τῶν κατὰ, non τῶν τὰ κατὰ: εἰ μὴ μία, non omittit μή: sect. 11. κατεχόμενος, non συνεχόμενον. Nonnihil praeterii.

Digitized by Google

I. APOCALYPSIS MOSIS.

Διήγησις καὶ πολιτεία Ἀδὰμ καὶ Εὔας τῶν πρωτοπλάστων, ἀποκαλυφθεῖσα παρὰ θεοῦ Μωϋσῇ τῷ θεράποντι αὐτοῦ, ὅτε τὰς πλάκας τοῦ νόμου τῆς διαθήκης ἐκ χειρὸς κυρίου ἐδέξατο, διδαχθεὶς ὑπὸ τοῦ ἀρχαγγέλου Μιχαήλ.

[1] Αὕτη ἡ διήγησις Ἀδὰμ καὶ Εὔας. Μετὰ τὸ ἐξελθεῖν αὐτοὺς ἐκ τοῦ παραδείσου ἔλαβεν Ἀδὰμ Εὖαν τὴν γυναῖκα αὐτοῦ καὶ ἀνῆλθεν εἰς τὴν ἀνατολήν. καὶ ἔμεινεν ἐκεῖ ἔτη δέκα ὀκτὼ καὶ μῆνας δύο, καὶ ἐν γαστρὶ εἴληφεν ἡ Εὔα καὶ ἐγέννησεν δύο υἱούς, τὸν Διάφωτον τὸν καλούμενον Κάϊν καὶ τὸν Ἀμιλαβὲς τὸν καλούμενον Ἄβελ.

[2] Καὶ μετὰ ταῦτα ἐγένοντο μετὰ ἀλλήλων Ἀδὰμ καὶ Εὔα· κοιμωμένων δὲ αὐτῶν εἶπεν Εὔα τῷ κυρίῳ αὐτῆς Ἀδάμ· κύριέ

---

* Διήγ. κ. πολ. Ἀδ. κ. Εὔ. τ. πρωτοπλ. (C om τ. πρωτοπλ., D om κ. Εὔ. τ πρωτ.) cum ACD..B Διήγησις τοῦ μεγάλου θεόπτου Μωυσέως περὶ τῆς πολιτείας Ἀδὰμ καὶ Ἔβας (sic B plerumque, item passim C et A) τῶν πρωτοπλάστων | ἀποκαλυφθεῖσα (ita BCD; A -φθὲν) παρὰ (C ὑπὸ) θεοῦ (B τοῦ θε.) Μωυσῇ (CD Μωσῇ, B om) τῷ θερ. αὐτ. (haec om B) cum ADCB | ὅτε τὰς πλ. τ. νόμ. τῆς διαθ. (B om τ. διαθ.) ἐκ χ. κυρ. ἐδ. (B ἐδ. ἐκ χ. αὐτοῦ) cum AB..CD om | διδαχθεὶς (ABD -χθής, C -χθῆσα) ὑπὸ (D παρὰ) τ. ἀρχαγγ. (B ἀγγέλου) Μιχ.

[1] Αὕτη -- Εὔας cum ACD..B om | αὐτοὺς ἐκ τοῦ cum ACD..B τὸν Ἀδὰμ ἀπὸ τοῦ | ἔλαβεν -- ἀνῆλθεν (C ἦλθεν) -- ἀνατολήν cum AC..D ἔγνω δὲ Ἀδὰμ τὴν Εὖαν καὶ ἐξῆλθαν πρὸς ἀνατολήν .. B ἀπῆλθον δύο ἀμφότεροι κατὰ τὴν ἀνατολήν | καὶ ἔμεινεν (D -ναν) -- δύο cum ACD..B καὶ ἦσαν πενθοῦντες χρόνους λ | καὶ (B add μετὰ ταῦτα) ἐν γ. εἰλ. ἡ (ita BCD; A om) Εὔα (B Ἔβα) κ. ἐγέν. δύο υἱ. (B υἱ. δύ., A om κ. ἐγ. δ. υἱ.) | τὸν (ita ACD; B ὃν μὲν) Διάφωτον (ita A, C διάφατον, B διάφορον; D ἀδιάφωτον) τὸν καλ. (D λεγόμενον) Κά. (A Κα. τ. καλ.) κ. τὸν (B κ. τόνδε) Ἀμιλαβὲς (ita AD; B ἀμηλαβές, C ἀμιλαβέστατον) τ. κ. Ἄβ.

[2] Καὶ μ. τ. ἐγένοντο (C -νετο) μετὰ (ita A: CD μετ') -- εἶπεν Εὔα cum

μου, ἴδον ἐγὼ κατ' ὄναρ τῇ νυκτὶ ταύτῃ τὸ αἷμα τοῦ υἱοῦ μου Ἀμιλαβὲς τοῦ ἐπιλεγομένου Ἄβελ βαλλόμενον εἰς τὸ στόμα Κάϊν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἔπιεν αὐτὸ ἀνελεημόνως. παρεκάλει δὲ αὐτὸν συγχωρῆσαι αὐτῷ ὀλίγον ἐξ αὐτοῦ, αὐτὸς δὲ οὐκ ἤκουσεν αὐτοῦ, ἀλλὰ ὅλον κατέπιεν αὐτό· καὶ οὐκ ἔμεινεν ἐπὶ τὴν κοιλίαν αὐτοῦ, ἀλλ' ἐξῆλθεν ἐκ τοῦ στόματος αὐτοῦ. εἶπεν δὲ Ἀδὰμ τῇ Εὔᾳ· ἀναστάντες πορευθῶμεν καὶ ἴδωμεν τί ἐστιν τὸ γεγονὸς αὐτοῖς, μή ποτε πολεμεῖ ὁ ἐχθρός τι πρὸς αὐτούς.

[3] Πορευθέντες δὲ ἀμφότεροι εὗρον πεφονευμένον τὸν Ἄβελ ἀπὸ χειρὸς Κάϊν τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ λέγει ὁ θεὸς Μιχαὴλ τῷ ἀρχαγγέλῳ· εἰπὲ τῷ Ἀδὰμ ὅτι τὸ μυστήριον ὃ οἶδας μὴ ἀναγγείλῃς Κάϊν τῷ υἱῷ σου, ὅτι ὀργῆς υἱός ἐστιν. ἀλλὰ μὴ λυποῦ· δώσω σοι γὰρ ἀντ' αὐτοῦ ἕτερον υἱόν, οὗτος δηλώσει σοι πάντα ὅσα ποιήσῃς αὐτῷ· σὺ δὲ μὴ εἴπῃς αὐτῷ μηδέν. ταῦτα ὁ θεὸς εἶπεν τῷ ἀγγέλῳ αὐτοῦ, Ἀδὰμ δὲ ἐφύλαξεν τὸ ῥῆμα ἐν τῇ καρδίᾳ αὐτοῦ, μετ' αὐτοῦ δὲ καὶ ἡ Εὔα. ἔχοντες τὴν λύπην περὶ Ἄβελ τοῦ υἱοῦ αὐτῶν.

[4] Μετὰ δὲ ταῦτα ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ, καὶ ἐν γαστρὶ ἔσχεν καὶ ἐγέννησεν τὸν Σήθ. καὶ λέγει ὁ Ἀδὰμ τῇ Εὔᾳ· ἰδοὺ ἐγεννήσαμεν υἱὸν ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινεν Κάϊν· δώσωμεν δόξαν καὶ θυσίαν τῷ θεῷ.

ACD . . B Μετὰ ταῦτα οὖν κοιμωμένων ἀπ' ἀλλήλων ἐλάλησεν Ἕβα | τοῦ υἱοῦ μου cum A . . BC τ. υἱ. ἡμῶν | τ. ἐπιλεγ. (B ἐπικαλουμ.) Ἄβελ cum AB . . C om | B βαλόμενον idque ante τὸ αἷμα | κ. ἔπιεν (B ἔπινε) αὐτὸ (B τὸ αἷμα αὐτοῦ) cum AB . . C om | B σπλαγχνισθῆναι καὶ συγχωρ. | B om αὐτῷ | ἤκουσεν (C εἰσήκ.) αὐτοῦ cum AC . . B ἤκουεν αὐτόν | B ἀλλ' ὅλ. αὐτὸ κατέπινεν ἀνελεημόνως, ὥστε οὐδὲ ἐχωρεύθη ἐν τῇ κοιλίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐξ. ἔξω τοῦ στόμ. αὐτ. | B εἶπ. οὖν Ἀδ. ἀναστ. | C ἀναστ. δέ | τί ἐστ. τὸ γεγ. αὐτ. cum A . . B τί γέγονεν ἐπ' αὐτοῖς . . C τί ἐστ. τὸ ὅραμα τοῦτο περὶ τῶν υἱῶν ἡμῶν (hunc in modum corrigendam duxi lectionem codicis τοῦτο περητῶμεν οὖν ἡμῶν | μή ποτε cum AC . . B μήπως | A πολεμῇ | τι cum A . . BC om; sed C add ἐλθών ante πολεμεῖ | B om πρός

[3] B Καὶ πορευθέντες ἀμφ. καὶ εὗρον | C ἐκ χειρός | C τὸν ἀρχάγγελον (sic) αὐτοῦ εἰπεῖν τῷ | B om ὅτι τὸ μ. ὃ οἶδ. | C ἀναγγείλοις | Κάϊν cum BC (C καὶ pro Κάϊν) . . A τῷ Κά. | ὀργῆς υἱ. ἐστ. cum B . . A ὀργίς (ὀργίλος?) ἐστιν . . C ὀργισθῇ ὁ ἀδελφός | B μὴ λυπ. δέ· δώσω σοι | C om ἕτερον | οὗτος (B add δέ) . . C ὅστις | A om σοι | C ὅσα ἂν ποιήσεις | αὐτῷ cum A . . B om, C αὐτόν | ταῦτα -- ἀγγέλῳ (C ἀρχαγγέλῳ) etc. cum A, similiter C . . B καὶ ταῦτα πρὸς τὸν Ἀδὰμ λαλήσας ὁ ἀρχάγγελος, ἐφύλαξε τὸ ῥῆμα etc.

[4] C Ἀδὰμ Ἕβαν τὴν γυν. αὐτ. | καὶ ἐν γαστρ. ἔσχ. κ. ἐγέννησεν cum A . . B καὶ συλλαβοῦσα ἔτεκεν, C καὶ ἔτεκεν | B Ἰδοὺ γεννήσαντες | B om κ. θυσίαν

Digitized by Google

[5]Ἐποίησεν δὲ Ἀδὰμ υἱοὺς τριάκοντα καὶ θυγατέρας τριάκοντα. καὶ περιπεσὼν εἰς νόσον, καὶ βοήσας φωνῇ μεγάλῃ εἶπεν· ἐλθέτωσαν πρός με οἱ υἱοί μου πάντες, ὅπως ὄψομαι αὐτοὺς πρὶν ἢ ἀποθανεῖν με. καὶ συνήχθησαν πάντες· ἦν γὰρ οἰκισθεῖσα ἡ γῆ εἰς τρία μέρη· καὶ ἦλθον πάντες ἐπὶ τὴν θύραν τοῦ οἴκου ἐν ᾧ εἰσήρχετο εὔξασθαι τῷ θεῷ. εἶπεν δὲ Σὴθ ὁ υἱὸς αὐτοῦ· πάτερ Ἀδάμ, τί σοί ἐστιν ἡ νόσος; καὶ λέγει· τεκνία μου, πόνος πολὺς συνέχει με. καὶ λέγουσιν· τί ἐστιν πόνος καὶ νόσος; [6]Καὶ ἀποκριθεὶς Σὴθ λέγει αὐτῷ· μὴ ἐμνήσθης, πάτερ, τοῦ παραδείσου ἐξ ὧν ἤσθιες, καὶ ἐλυπήθης ἐπιθυμῆσαι αὐτῶν; ἐὰν οὕτως ἐστίν, ἀνάγγειλόν μοι, καὶ ἐγὼ πορεύσομαι καὶ ἐνέγκω σοι καρπὸν ἀπὸ τοῦ παραδείσου. ἐπιθήσω γὰρ κόπρον ἐπὶ τὴν κεφαλήν μου καὶ κλαύσομαι καὶ προσεύξομαι, καὶ εἰσακούσεταί μου κύριος καὶ ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ, καὶ ἐνέγκω σοι ἵνα ἀποπαύσῃ ὁ πόνος ἀπὸ σοῦ. λέγει αὐτῷ ὁ Ἀδάμ· οὐχί, υἱέ μου Σήθ, ἀλλὰ νόσον καὶ πόνον ἔχω. λέγει αὐτῷ Σήθ· καὶ πῶς σοι ἐγένοντο; [7]Εἶπεν δὲ αὐτῷ ὁ Ἀδάμ· ὅτε ἐποίησεν ἡμᾶς ὁ θεός, ἐμὲ καὶ τὴν μητέρα ὑμῶν, δι' ἧς καὶ ἀποθνήσκω, ἔδωκεν ἡμῖν

---

[5] δέ cum A .. B οὖν, C γάρ | υἱ. τρ. κ. θυγ. τρ. cum C et omissis κ. θ. τρ. A .. B υἱ. κ. θυγ. ξ | καὶ περιπ. εἰς νόσ. (C add μεγάλην) καὶ (C om) βοήσ. φω. μεγ. (C om φ. μ.) εἶπεν cum AC .. B ἔζησε δὲ Ἀδὰμ ἔτη ψλ̄· πρὸ (corrige πρός?) δὲ τὸ τέλος αὐτοῦ ὡσηλευτῆς (νόσω ληφθείς?) ἐβόησεν φωνὴν μεγάλην λέγων | B ἐλθ. πρ. με οἱ ὅλοι παῖδες | ὄψομαι cum A .. BC ὄψωμαι | B πρὶν ἀποθάνω .. C πρὶν ἀποθανοῦμεν. Praeterea C add καὶ ἀπέστελλεν υἱὸν αὐτοῦ Σὴθ ἐπὶ πάντας τοῦ λαλῆσαι αὐτοῖς | B καὶ συναχθέντων πάντων, ἦν γὰρ -- εἰς τρία μέρη, λέγει πρὸς αὐτὸν Σὴθ ὁ υἱ. αὐτ. | καὶ ἦλθον -- τῷ θεῷ cum A .. C καὶ ἀνελθόντες πάντες ἔμπροσθεν αὐτοῦ ἐν ᾧ εἰσέρχετο προσεύχεσθαι τῷ θε., tum pergit εἶπεν αὐτῷ ὁ υἱ. αὐτ. ὁ Σήθ | C om Ἀδάμ | τί σοί (B om) ἐστ. ἡ (C om) νόσ. καὶ (C om) λέγ. (C add αὐτῷ ὁ Ἀδάμ) | τεκνία (B -κνα) μου .. C om | καὶ λέγ. (B add αὐτῷ ἐκεῖνοι) τί (B καὶ τί) -- καὶ νόσ. (B πάτερ pro κ. νο.) c. AB .. C om

[6] Καὶ ἀποκρ. (B Ἀποκρ. οὖν) -- αὐτῷ c. AB .. C καὶ λέγει αὐτῷ Σ. τῷ περὶ (lege πατρὶ) αὐτοῦ | ἐξ ὧν c. AC .. B ἀφ' ὧν | ἐπιθ. αὐτῶν (cod. αὐτόν, praestare videbatur αὐτῶν) c. A .. BC om | ἐστίν c. AC .. B ἔχει | ἀνάγγ. μοι .. B praem ἐρωτῶ σε πάτερ | καὶ ἐγώ c. A .. C κἀγώ, B καί | πορεύσομαι c. C .. AB πορεύομαι | C om τόν | ἐνέγκω -- ἀπὸ σοῦ c. AC .. B ἐνέγκει (sic) μοι ἀπὸ τοῦ ξύλου ἐν ᾧ ῥέει (cod. ἐνὸ ῥέοι) τὸ ἔλεος, καὶ ἀναπαύσει ὁ πόν. ἀπ. σ. | πόνον ἔχω .. B add πολύν | λέγ. αὐτ. (C καὶ φησι πρὸς αὐτόν) Σήθ .. B om | πῶς σοι .. B πόσοι

[7] αὐτῷ ὁ (haec om B) Ἀδάμ .. C Ἀδ. πρὸς αὐτόν | B ἀποθνήσκομεν | ἔδωκ.

Digitized by Google

πᾶν φυτὸν ἐν τῷ παραδείσῳ, περὶ δὲ ἑνὸς ἐνετείλατο ἡμῖν μὴ ἐσθίειν ἐξ αὐτοῦ, δι' οὗ καὶ ἀποθνήσκωμεν. ἤγγισεν δὲ ἡ ὥρα τῶν ἀγγέλων τῶν φυλασσόντων τὴν μητέρα ὑμῶν τοῦ ἀναβῆναι καὶ προσκυνῆσαι τὸν κύριον· ἔδωκεν δὲ αὐτῇ ὁ ἐχθρὸς καὶ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἐγνωκὼς ὅτι οὐκ ἦμην ἐγγὺς αὐτῆς οὔτε οἱ ἅγιοι ἄγγελοι· ἔπειτα ἔδωκεν κἀμοὶ φαγεῖν. [8] Ὅτε δὲ ἐφάγομεν ἀμφότεροι, ὠργίσθη ἡμῖν ὁ θεός. καὶ ἐλθὼν ἐν τῷ παραδείσῳ ὁ δεσπότης ἔθηκεν τὸν θρόνον αὐτοῦ καὶ ἐκάλεσεν φωνῇ φοβερᾷ λέγων· Ἀδάμ, ποῦ εἶ; καὶ ἵνα τί κρύβεσαι ἀπὸ τοῦ προσώπου μου; μὴ δυνήσεταί οἰκία τῷ οἰκοδομήσαντι αὐτὴν κρυβῆναι; καὶ λέγει· ἐπειδὴ ἐγκατέλιπες τὴν διαθήκην μου, ὑπήνεγκα τῷ σώματί σου ἑβδομήκοντα πληγάς. πρώτης πόνος πληγῆς ὁ βασμὸς τῶν ὀφθαλμῶν· δευτέρας πληγῆς τῆς ἀκοῆς ὁ πόνος· καὶ οὕτως καθεξῆς πᾶσαι αἱ πληγαὶ παρακολουθήσουσίν σοι.

[9] Ταῦτα δὲ λέγων ὁ Ἀδὰμ τοῖς υἱοῖς αὐτοῦ ἀνεστέναξεν μεγάλως, καὶ εἶπεν· τί ποιήσω; ἐν μεγάλῃ λύπῃ εἰμί. ἔκλαυσεν

ἡμῖν -- παραδείσῳ .. C ἔδ. ἡμ. ἐξουσίαν ἐσθίειν ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παρ. πλὴν ἑνός, B ἔδ. ἡμ. φυλάσσειν καὶ ἐσθίειν ἀπὸ πάντος φυτοῦ | περὶ δὲ ἑνὸς (B ἑνὸς δὲ) ἐνετ. ἡμῖν (B om) μὴ ἐσθ. ἐ. αὐτοῦ .. C ἐκείνου γὰρ τοῦ ἑνὸς καὶ μόνου φυτοῦ παρήγγειλεν ἡμῖν μὴ ἅψασθαι | C om δι' οὗ κ. ἀποθν. | ἤγγισεν -- ἀναβ. καὶ (B om) προσκ. τ. κύρ. c. AB .. C καὶ ὅτε ἐνέβησαν (ἀνέ-?) οἱ ἄγγελοι οἱ προσμένοντες μετὰ τῆς μητρὸς ἡμῶν (lege ὑμῶν) προσκυνῆσαι τὸν κύρ., καθὼς ἦν αὐτοῖς τύπος | ἔδωκεν δὲ (B καὶ ἔδ.) -- ξύλου (B add οὗ ἐνετείλατο ἡμῖν ὁ θεός: his ipsis addiderim μὴ ἐσθίειν ἀπ' αὐτοῦ) -- ἐγγὺς (B ἐγγύθεν) αὐτῆς οὔτε οἱ ἅγ. ἄγγ. (B om οὔτε etc) c. AB .. C ἤμην δ' ἐγὼ μακρὰν ἀπ' αὐτῆς. γνοὺς δὲ ὁ ἐχθρὸς ὅτι μόνη ὑπάρχει. δέδωκεν αὐτῇ, καὶ ἔφαγεν ἀπὸ τοῦ ξύλου οὗ παρηγγέλθη μόνον μὴ ἐσθίειν | ἔπειτα ἔ. κἀμοὶ (ita B, A ἡμῖν) φαγ. (B εἰς φαγεῖν) . C κἀκείνη πάλιν μετέδωκεν ἡμῖν, καὶ ἔφαγον.

[8] Ὅτε -- ὠργίσθη (ita A et B, item C) -- ἐκάλ. (B add ἡμᾶς) φωνῇ φοβερᾷ (B -νὴν -ρὰν) λέγων .. C καὶ ὠργίσθη ἡμῖν κύρ. ὁ θεός· παρουσιασθεὶς ἐν τῷ παραδ. ἐλάλησεν φωνὴν φοβερὰν λέγων | καὶ ἵνα τί κρύβεσαι (B -βησαι) -- αὐτὴν (B αὐτοῦ) κρυβῆναι c. AB .. C ἐγὼ δὲ δειλιάσας καὶ κρυβεὶς, εἶπεν· ἵνα τί κρύβεσαι ἀπὸ πρ. μου; μὴ οὖν δυν. κρυβῆναι οἰκία τῷ οἰκ. αὐτήν | καὶ λέγει (B add μοι) · ἐπ. ἐγκατέλιπες B -τείλιπας sic) -- ὑπένεγκα (B -γκας) -- πληγάς· πρώτης (cod. -τος) -- δευτέρας (cod. δεύτερον) -- ὁ πόνος (B post πληγάς pergit scriptura perquam corrupta: προστάσο σοι ὁδῶντας καὶ βιασμὸν τῶν ὀφθ. πονὴν δεύτερον πληγὰς καὶ τῆς ἀκ. τὸν πόνον) c. A(B) .. C ἀλλ' ἐπειδὴ παρέβης τὴν ἐντολήν μου, προσάξω τῷ σώματί σου πληγὰς ō· ἀφ' οὗ α' ὁ πόνος τῶν ὀφθαλμῶν· δευτέρα τῆς ἀκοῆς· | καὶ οὕτως -ᵃ παρακολουθήσουσιν (A -λουθῶσιν) σοι (A om) cum BA .. C καὶ καθεξῆς ἕτεραι πληγαὶ τοῦ σώμ.

[9] Ταῦτα δὲ (C om) -- ἀνεστ. μεγ. καὶ (haec om B) εἶπ. (C λέγει) c. ABC | ἐν μεγ. λύπῃ εἰμί c. AC .. B ἐν μεγ. ἀνάγκῃ καὶ θλίψει ἡμῖν (corrigendum

Digitized by Google

δὲ καὶ ἡ Εὔα λέγουσα· κύριέ μου Ἀδάμ, ἀνάστα, δός μοι τὸ ἥμισυ τῆς νόσου σου, καὶ ὑπενέγκω αὐτήν, ὅτι δι' ἐμὲ τοῦτό σοι γέγονεν, δι' ἐμὲ ἐν καμάτοις τυγχάνεις καὶ πόνοις. εἶπεν δὲ Ἀδὰμ τῇ Εὔᾳ· ἀνάστα καὶ πορεύου μετὰ τοῦ υἱοῦ ἡμῶν Σὴθ πλησίον τοῦ παραδείσου, καὶ ἐπίθετε γῆν ἐπὶ τὰς κεφαλὰς ὑμῶν καὶ κλαύσατε, δεόμενοι τοῦ θεοῦ ὅπως σπλαγχνισθῇ ἐπ' ἐμέ, καὶ ἀποστείλῃ τὸν ἄγγελον αὐτοῦ εἰς τὸν παράδεισον καὶ δώσῃ μοι ἐκ τοῦ δένδρου ἐν ᾧ ῥέει τὸ ἔλαιον ἐξ αὐτοῦ, καὶ ἐνέγκῃς μοι, καὶ ἀλείψομαι καὶ ἀναπαύσομαι, καὶ δηλώσω σοι τὸν τρόπον ἐν ᾧ ἠπατήθημεν τὸ πρότερον.

[10] Ἐπορεύθη δὲ Σὴθ καὶ ἡ Εὔα εἰς τὰ μέρη τοῦ παραδείσου. καὶ πορευομένων αὐτῶν ἶδεν Εὔα τὸν υἱὸν αὐτῆς καὶ θηρίον πολεμοῦντα αὐτόν. ἔκλαυσεν δὲ Εὔα λέγουσα· οἴμοι οἴμοι, ὅτι ἐὰν ἔλθω εἰς τὴν ἡμέραν τῆς ἀναστάσεως, πάντες οἱ ἁμαρτήσαντες καταράσονταί με, λέγοντες ὅτι οὐκ ἐφύλαξεν ἡ Εὔα τὴν ἐντολὴν τοῦ θεοῦ. ἐβόησεν δὲ ἡ Εὔα πρὸς τὸ θηρίον λέγουσα· ὦ σὺ θηρίον πονηρόν, οὐ φοβήσει τὴν εἰκόνα τοῦ θεοῦ πολεμῆσαι; πῶς ἠνοίγη τὸ στόμα σου; πῶς ἐνίσχυσαν οἱ ὀδόντες σου; πῶς οὐκ ἐμνήσθης τῆς ὑποταγῆς σου, ὅτι πρότερον ὑπετάγης

ἤμην vel potius εἰμί) | ἡ Εὔα λέγουσα c. AB .. C Εβα καὶ εἶπεν | B om μου | τῆς νόσου .. C τοῦ πόνου | καὶ ὑπενέγκ. (ita C, A ἐπενέγκω) αὐτήν (C αὐτόν) .. B om | γέγονεν .. B ἐγένετο | ἐν καμάτοις (C καμμ.) τυγχάνεις (A -νοις) κ. πόν. (ita B, C πόν. καὶ ante καμάτ., A om κ. πόν.) | Ἀνάστα .. B add μόνον | ἐπίθετε c. A .. B ἐπίθεσθε, C ἐπιθήσατε | γῆν c. BC .. A τὴν γῆν | κλαύσατε .. A κλαύσεται | τοῦ θεοῦ .. A τὸν θεόν | δώσῃ μοι .. C δώσῃ ἡμῖν (corrige ὑμῖν) | B ἐκ τὸ δένδρον | ἐν ᾧ ῥέ. τὸ ἔλαιον (B τὸ ἔλεος) ἐξ αὐτοῦ .. C οὗ τὸ ἔλαιον ῥ. ἀπ' αὐτοῦ | ἀλείψ. (B add ἐξ αὐτοῦ) κ. ἀναπαύσομαι (B ἀναστήσω με i. e. ἀναστήσομαι) καὶ δηλώσω -- ἠπατήθ. (A ὑπατ.) τὸ πρότερον .. C ἀλείψ. καὶ λυτρωθῶ ἐκ τοῦ πόνου.

[10] Ἐπορεύθη (C -θησαν) δὲ (B om, C οὖν) -- παραδείσου c. ABC | καὶ πορ. (B πορ. δὲ) -- Εὔα (B add Σὴθ) τὸν υἱ. α. καὶ (B om) θηρ. πολεμοῦντα (sic, constructione ad sensum); αὐτόν. ἔκλ. δὲ (B καὶ ἔκλ.) Εὔα (B om) λέγ. c. AB .. C καὶ μακρόθεν θεωρήσασα (cod. θεώρησα) ἡ Εὔα τὸν υἱὸν αὐτῆς πολεμούμενον ὑπὸ θηρίου ἔκλαυσεν, καὶ στενάζουσα εἶπεν | B om οἴμοι alterum | B ὅτι ἂν | τῆς ἀναστ. c. AC .. B τῆς κρίσεως | B om οἱ ἁμαρτ.| B καταρ. μοι | B ὅτι ἡ Εὔα οὐκ ἐφ., C οὐκ ἐφ. Εὔα | ἐβό. -- λέγουσα .. C καὶ ἐλάλησεν πρ. τὸ θηρ. | ὦ σύ (B om) c. AB .. C Οὐαὶ σοί | C om πονηρόν | οὐ φοβήσει (ita ABC) -- πολεμῆσαι .. B οὐδὲν φοβήσει; τὴν εἰκ. τ. θ. πολεμεῖς; | πῶς ἠνοίγη (C εἰνίκει corrupte) -- πῶς ἐνίσχ. οἱ ὀδ. σ. (C om π. ἐνίσχ. οἱ ὀ. σ.) .. B πῶς ἐνίσχυσεν τὸ στ. σου | τῆς ὑποταγῆς σου -- θεοῦ c.

τῇ εἰκόνι τοῦ θεοῦ; [11] Τότε τὸ θηρίον ἐβόησε λέγον· ὦ Εὔα, οὐ πρὸς ἡμᾶς ἡ πλεονεξία σου οὔτε ὁ κλαυθμός σου, ἀλλὰ πρὸς σέ, ἐπειδὴ ἡ ἀρχὴ τῶν θηρίων ἐκ σοῦ ἐγένετο. πῶς ἠνοίγη τὸ στόμα σου φαγεῖν ἀπὸ τοῦ ξύλου περὶ οὗ ἐνετείλατό σοι ὁ θεὸς μὴ φαγεῖν ἐξ αὐτοῦ; διὰ τοῦτο καὶ ἡμῖν ἡ φύσις μετηλλάγη. νῦν οὖν οὐ δυνήσει ὑπενεγκεῖν, ἐὰν ἀπάρξομαι ἐλέγχειν σε. [12] Λέγει δὲ ὁ Σὴθ πρὸς τὸ θηρίον· κλεῖσαί σου τὸ στόμα καὶ σίγα, καὶ ἀπόστηθι ἀπὸ τῆς εἰκόνος τοῦ θεοῦ ἕως ἡμέρας τῆς κρίσεως. τότε λέγει τὸ θηρίον τῷ Σήθ· ἰδοὺ ἀφίσταμαι, Σήθ, ἀπὸ τῆς εἰκόνος τοῦ θεοῦ. τότε ἔφυγεν τὸ θηρίον καὶ ἀφῆκεν αὐτὸν πεπληγμένον, καὶ ἐπορεύθη εἰς τὴν σκηνὴν αὐτοῦ.

[13] Ἐπορεύθη δὲ Σὴθ μετὰ τῆς μητρὸς αὐτοῦ Εὔας πλησίον τοῦ παραδείσου· καὶ ἔκλαυσαν ἐκεῖ, δεόμενοι τοῦ θεοῦ ὅπως ἀποστείλῃ τὸν ἄγγελον αὐτοῦ καὶ δώσει αὐτοῖς τὸ ἔλαιον τοῦ ἐλέου. καὶ ἀπέστειλεν ὁ θεὸς πρὸς αὐτοὺς Μιχαὴλ τὸν ἀρχάγγελον, καὶ εἶπεν αὐτοῖς τοὺς λόγους τούτους· Σήθ, ἄνθρωπε τοῦ θεοῦ, μὴ κάμῃς εὐχόμενος ἐπὶ τῇ ἱκεσίᾳ ταύτῃ περὶ τοῦ ξύλου ἐν ᾧ ῥέει τὸ ἔλαιον, ἀλεῖψαι τὸν πατέρα σου Ἀδάμ· οὐ γὰρ γενήσεταί σοι νῦν, ἀλλ' ἐπ' ἐσχάτων τῶν καιρῶν. τότε ἀναστήσε-

---

A .. C τῆς ὑπ. ἧς ὑπετάγης τῇ εἰκ. τ. Θ., B τῆς προτέρας σου ὑπακοῆς, ὅτι πρ. ἠπάγης (corrupte) τὴν εἰκόναν τ. Θ.

[11] ἐβόησεν .. C add τῇ Εὔᾳ | λέγον (ita C, A -γων) .. B om | C om ὦ Εὔα | C οὐ παρ' ἡμᾶς | C om bis σου | οὔτε c. BC .. A οὐδέ | BC κλαθμός | πρὸς σέ .. C παρὰ σοῦ | ἐγένετο .. C γέγονεν | ἀπὸ τ. ξύλου c. BC .. A om | περὶ οὗ c. AB .. C om περί | μὴ φαγ. (C ἐσθίειν) ἐξ (C ἀπ') αὐτ. (B om ἐξ αὐτ.) | διὰ τοῦτο -- μετηλλάγη (cod. -γησαν, quo admisso αἱ φύσεις scribendum) c. A .. C διὰ ταύτην σου τὴν παράβασιν ἡ φύσ. ἡμῶν μετηλλάγη .. B om | νῦν οὖν οὐ δυνήσει (sic) ὑπεν. (cod. ἐπεν.) -- ἐλ. σε c. A .. B σκοτσθήσει καὶ οὐ δυνήσει ὑπενεγκεῖν· ἐὰν ἀπάρξομαι λέγειν, οὐ δυνήσει (cod. δυνάσει) βαστάζειν .. C ἐὰν ἀπάρξωμαι ἐλέγχ. σε, οὐκ ἰσχύσεις ὑπενεγκεῖν.

[12] Λέγει δέ .. C τότε λέγ. | C τὸ στ. σου | B σιγησάτω | ἕως (C add τῆς) -- τότε λέγ. (C καί φησι) -- τῷ (C πρὸς τόν) -- ἀφίστ. Σ. ἀπὸ τῆς εἰκ. (C ἀφίστ. τῇ εἰκόνι) τ. Θεοῦ c. A(C) .. B om | τότε ἔφυγ. -- πεπληγμ. c. A .. BC om | σκηνήν c. AB .. C κοίτην

[13] C om τῆς μητρ. αὐτ. | ἔκλαυσαν .. C -σεν | B τὸ ἔλεος τοῦ ἐλέου (sic) | πρὸς αὐτ. c. A .. BC om | Μιχ. τ. ἀρχ. (B add αὐτοῦ) .. C τ. ἀρχ. Μιχ. | κ. εἶπ. αὐτ. τοὺς λό. τούτ. (B om τ. λόγ. τούτ.) Σήθ .. C κ. ἐλάλησεν τῷ Σήθ | C μὴ κάμνε | περί .. C praem δεόμενος | ἐν ᾧ ῥ. τὸ ἔλαιον (B ἔλεος) -- τὸν (B om) πα. σ. Ἀδάμ .. C τοῦ ῥέοντος τὸ ἔλαιον εἰς τὸ ἀλεῖψαι τ. π. σ. Ἀδ. | γάρ c. BC .. A om | γενήσεταί σοι (C om) c. AC .. B γένηταί σοι | ἀλλ' ἐπ' ἐσχ. τῶν (B om) -- ἡμέρ. ἐκείν. τῆς μεγ. (B ἡμέρ. τῆς συντελείας) ὅσα

ται πᾶσα σὰρξ ἀπὸ Ἀδὰμ ἕως τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης, ὅσοι ἔσονται λαὸς ἅγιος· τότε αὐτοῖς δοθήσεται πᾶσα εὐφροσύνη τοῦ παραδείσου, καὶ ἔσται ὁ θεὸς ἐν μέσῳ αὐτῶν· καὶ οὐκ ἔσονται ἔτι ἐξαμαρτάνοντες ἐνώπιον αὐτοῦ, ὅτι ἀρθήσεται ἀπ' αὐτῶν ἡ καρδία ἡ πονηρά, καὶ δοθήσεται αὐτοῖς καρδία συνετιζομένη τὸ ἀγαθὸν καὶ λατρεύειν θεῷ μόνῳ.] σὺ πάλιν πορεύου πρὸς τὸν πατέρα σου, ἐπειδὴ ἐπληρώθη τὸ μέτρον τῆς ζωῆς αὐτοῦ, ἴσον τριῶν ἡμερῶν. ἐξερχομένης δὲ τῆς ψυχῆς αὐτοῦ μέλλεις θεάσασθαι τὴν ἄνοδον αὐτῆς φοβεράν.

[14] Εἰπὼν δὲ ταῦτα ὁ ἄγγελος ἀπῆλθεν ἀπ' αὐτῶν. ἦλθεν Σὴθ καὶ ἡ Εὔα εἰς τὴν σκηνὴν ὅπου ἔκειτο ὁ Ἀδάμ. λέγει δὲ ὁ Ἀδὰμ τῇ Εὔᾳ· τί κατηργάσω ἐν ἡμῖν καὶ ἐπήνεγκας ἐφ' ἡμᾶς ὀργὴν μεγάλην, ἥτις ἐστὶν θάνατος κατακυριεύων παντὸς τοῦ γένους ἡμῶν; καὶ λέγει πρὸς αὐτήν· κάλεσον πάντα τὰ τέκνα ἡμῶν καὶ τὰ τέκνα τῶν τέκνων ἡμῶν, καὶ ἀνάγγειλον αὐτοῖς τὸν τρόπον τῆς παραβάσεως ἡμῶν.

[15] Τότε λέγει ἡ Εὔα πρὸς αὐτούς. ἀκούσατε, πάντα τὰ τέκνα μου καὶ τὰ τέκνα τῶν τέκνων μου, κἀγὼ ἀναγγελῶ ὑμῖν πῶς ἠπάτησεν ἡμᾶς ὁ ἐχθρὸς ἡμῶν. ἐγένετο ἐν τῷ φυλάσσειν ἡμᾶς τὸν παράδεισον ἐφυλάττομεν ἕκαστος τὸ λαχὸν αὐτοῦ μέρος ἀπὸ τοῦ θεοῦ· ἐγὼ δὲ ἐφύλαττον ἐν τῷ κληρῷ μου νότον καὶ

(B add αὐτοῖς) ἔσονται -- καὶ οὐκ ἔσ. ἔτι (B vitiose ὅτι αὐτὸς ἔσται) ἐξαμαρτάνοντες (A -τάννοντες) -- ἀρϑ. ἀπ' αὐτ. ἡ καρδ. (B ἀρϑ. ἡ καρδ. αὐτῶν) ἡ πον. -- αὐτοῖς καρδ. (B om ἡ πον. usq. αὐτ. καρδ.) συνετιζομένη (B -μενοι) -- ϑεῷ μόνῳ (B μόνον ϑεῷ) c. A(B) .. C om omnia | σὺ πάλιν (B οὖν) -- ἡμερῶν .. C ἀλλ' ἐπίστρεψον πρὸς αὐτόν, ὅτι ἐπληρώϑησαν αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ, καὶ ζήσει ἀπὸ τὴν (sic) σήμερον γ' ἡμέρας καὶ ἀποϑανεῖται

[14] ταῦτα .. B αὐτά | C ὁ ἀρχάγγελος ἀνῆλϑεν | ἀπ' αὐτῶν c. AC .. B ἀπ' αὐτοῦ | ἦλϑεν Σὴϑ -- ἔκειτο .. C ὑπέστρεψεν Σ. μετὰ τῆς Εὔας ἐν τῇ σκηνῇ εἰ (corrige ἐν ᾗ) ἔκ. | λέγ. δὲ (B καὶ λέγ.) -- Εὔᾳ c. AB .. C καὶ φησι Ἀδ. πρὸς τὴν Εὔαν | τί .. B praem ὦ Εὔα | κατηργάσω: ita AC, item B ut videtur | ἐν ἡμῖν .. C εἰς ἡμᾶς | ἐφ' ἡμᾶς .. BC om | ἥτις c. AC .. B ὅτι | C om κατακυρ. παντός | καὶ λέγει c. BC .. A λέγ. ὁ Ἀδάμ | πρ. αὐτ. c. C .. B αὐτοῖς, A τῇ Εὔᾳ | C Κάλ. ἅπαντας τοὺς παῖδας ἡμ. | καὶ τὰ -- τέκν. ἡμῶν c. A .. B praetermisit, C καὶ τοὺς παῖδας αὐτῶν | B καὶ ἀπαγγείλω

[15] Τότε -- καὶ τὰ (B πάντα) -- ἀναγγελῶ (A -γγέλλω) ὑ. πῶς -- ὁ ἐχϑρ. ἡμ. (B om πῶς usq. ὁ ἐ. ἡμῶν) c. A(B) .. C καὶ καλέσασα (cod. -λέσας) αὐτοὺς ἤρξατο λέγειν πρὸς αὐτούς | ἐγένετο -- ἐφυλάττομεν (B ἐφυλάσομεν) ἕκ. τὸ λαχὸν (A -χόντα) -- ἐγὼ δὲ ἐφύλ. c. AB .. C οὕτως ἐν τῷ εἶναι ἡμᾶς, τέκνα μου, εἰς τὸν παράδεισον καὶ ἐν τῷ φυλάττειν ἕκαστος τὸ λαχ. α. μ. α. τ. ϑεοῦ·

Digitized by Google

δύσιν. ἐπορεύθη δὲ ὁ διάβολος εἰς τὸν κλῆρον τοῦ Ἀδάμ, ὅπου ἦσαν τὰ ἀρσενικὰ θηρία· ἐπειδὴ τὰ θηρία ἐμέρισεν ὁ θεὸς ἡμῖν, καὶ τὰ μὲν ἀρσενικὰ πάντα δέδωκεν τῷ πατρὶ ὑμῶν, καὶ τὰ θηλικὰ πάντα ἔδωκεν ἐμοί, καὶ ἕκαστος ἡμῶν τὸ ἑαυτοῦ ἐτήρει. 16 Καὶ ἐλάλησεν τῷ ὄφει ὁ διάβολος λέγων· ἀνάστα ἐλθὲ πρός με καὶ εἶπω σοι ῥῆμα ἐν ᾧ ὀφεληθῇς. τότε ἦλθεν πρὸς αὐτὸν ὁ ὄφις, καὶ λέγει αὐτῷ ὁ διάβολος· ἀκούω ὅτι φρονιμώτερος εἶ ὑπὲρ πάντων τῶν θηρίων, ἐγὼ δὲ ἦλθον κατανοῆσαί σε· εὗρον δὲ σὲ μείζονα πάντων τῶν θηρίων, καὶ ὁμιλοῦσί σοι· ὅμως προσκυνεῖς τὸν ἐλαχιστότερον. διὰ τί ἐσθίεις ἐκ τῶν ζιζανίων τοῦ Ἀδὰμ καὶ τῆς γυναικὸς αὐτοῦ, καὶ οὐχὶ ἐκ τοῦ καρποῦ τοῦ παραδείσου; ἀνάστα καὶ δεῦρο καὶ ποιήσωμεν αὐτὸν ἐκβληθῆναι διὰ τῆς γυναικὸς αὐτοῦ ἐκ τοῦ παραδείσου, ὡς καὶ ἡμεῖς ἐξεβλήθημεν δι' αὐτοῦ. λέγει αὐτῷ ὁ ὄφις· φοβοῦμαι μήποτε ὀργισθῇ μοι κύριος. λέγει αὐτῷ ὁ διάβολος· μὴ φοβοῦ· μόνον γενοῦ μοι σκεῦος, κἀγὼ λαλήσω διὰ στόματός σου ῥῆμα ἐν ᾧ δυνήσῃ ἐξαπατῆσαι αὐτόν.

ἐγὼ γὰρ ἐφύλ. | ἐπορεύϑη δέ .. C καὶ πορευϑείς | ὅπου ἦσαν (ita BC, A ἦν) τὰ ἀρσ. (ita C, AB om) ϑηρία (ab hoc B transilit ad sequens ϑηρία | ἐπειδὴ τ. ϑ. ἐμ. ὁ ϑε. ἡμ. (B ἡμ. ὁ ϑε.), καὶ τὰ μὲν (ita B, A om καί et μέν) -- πα ὑμῶν (A ἡμῶν) -- ϑηλικ. πάντα (B om) -- τὸ (B τὰ) ἑαυτ. ἐτήρει c. AB .. C τὰ μὲν ἀρενικὰ (sic) ϑηρία δέδωκεν ὁ ϑεὸς τῷ πατρὶ ἡμῶν (corrige ὑμῶν) καὶ τὰ ϑύλη (sic vitiose) ἐμοί

16 Καὶ -- ὁ διάβ. c. AC .. B εἰσελϑὼν ὁ διάβ. ἐλ. τῷ ὄφει | ἀνάστα .. C add καί | καὶ (B ὅπως) εἶπω -- ἐν ᾧ ὀφεληϑῇς (B ἐνὸ μέλος ὀφεληϑῆναι i. e. ἐν ᾧ μέλλεις ὀφ.) c. AB .. C om | τότε -- ὁ διάβ. c. AB .. C καὶ ἀναστὰς ἦλϑεν πρὸς αὐτόν. καὶ φησὶ πρὸς αὐτὸν ὁ διάβ. | ἀκούω ὅτι (B om) c. AB .. C μανϑάνω ὅτι | ὑπὲρ π. τ. ϑηρίων (cf. Steph. Thes. sub ὑπέρ) c. AC .. B ὑπὲρ πάντα τὰ ϑηρία | ἐγὼ δὲ c. A .. BC καὶ διὰ τοῦτο | ἦλϑον (B add πρὸς σὲ τοῦ) κατανοῆσαί σε c. AB .. C συμβουλεύομαί σοι | εὗρον -- ὁμιλοῦσι (ita B; A ὁμιλῶ) σοι· ὅμως (B add διὰ τί) προσκυνεῖς (ita B, A -νήσεις: tum interrogationis signum post ἐλαχιστ. ponendum videtur) τ. ἐλαχ. (B add σου) διὰ τί ἐσϑίεις c. AB .. C nil nisi διὰ τί οὖν ἐσϑ. | C om καὶ τ. γυν. αὐτ. | καὶ οὐχὶ ἐκ c. AC .. B κ. οὐκ ἔχεις ἐκ | C om τοῦ καρπ. | ἀνάστα -- ποιήσωμεν c. A .. B ἀλλὰ δεῦρο ἐπάκουσόν μου κ. ποι., C εἰ ϑέλεις, διανάστηϑι καὶ ποιήσομεν | C om διὰ τ. γυν. αὐτ. | C ἀπὸ τοῦ παραδ. | C ἐκβληϑῆμεν | δι' αὐτόν: ita B, A δι' αὐτοῦ, C ἀπ' αὐτοῦ | λέγει -- ὄφις c. AB .. C λέγ. οὖν ὁ ὄφ. πρὸς τὸν διάβολον | μήποτε .. C μήπως | ὀργ. μοι κύρ. c. BC .. A μοι ὀργ. κύρ. | C λέγει ὁ διάβ. πρὸς αὐτόν | μόνον c. BC (post μοι ponit) .. A om | C καὶ ἐγώ | B κἀγὼ λαλ. αὐτῇ | B διὰ στ. σου post ῥῆμ ponit | ῥῆμα (B praem ἓν, AC ῥήματα sed A pergit ἐν ᾧ) | ἐν ᾧ δυνήσῃ (A -σαι) ἐξαπ. (B ἀπατ.) αὐτόν (B αὐτήν) .. C τοῦ ἐξαπ. αὐτόν

[17] Καὶ ἐκρεμάσθη εὐθὺς διὰ τῶν τειχέων τοῦ παραδείσου περὶ ὥραν ὅταν ἀνῆλθον οἱ ἄγγελοι τοῦ θεοῦ τοῦ προσκυνῆσαι. τότε ὁ σατανᾶς ἐγένετο ἐν εἴδει ἀγγέλου καὶ ὕμνει τὸν θεὸν καθάπερ οἱ ἄγγελοι· καὶ παρακύψασα ἐκ τοῦ τείχους ἶδον αὐτὸν ὅμοιον ἀγγέλου. καὶ λέγει μοι· σὺ εἶ ἡ Εὔα; καὶ εἶπον αὐτῷ· ἐγώ εἰμι. καὶ λέγει μοι· τί ποιεῖς ἐν τῷ παραδείσῳ; καὶ εἶπον αὐτῷ· ὁ θεὸς ἔθετο ἡμᾶς ὥστε φυλάσσειν καὶ ἐσθίειν ἐξ αὐτοῦ. ἀπεκρίθη μοι ὁ διάβολος διὰ στόματος τοῦ ὄφεως· καλῶς ποιεῖτε, ἀλλ' οὐκ ἐσθίετε ἀπὸ παντὸς φυτοῦ. κἀγὼ λέγω αὐτῷ· ναί, ἀπὸ παντὸς φυτοῦ ἐσθίομεν παρὲξ ἑνὸς μόνου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, περὶ οὗ ἐνετείλατο ὁ θεὸς ἡμῖν τοῦ μὴ ἐσθίειν ἐξ αὐτοῦ, ἐπεὶ θανάτῳ ἀποθανεῖσθε. [18] Τότε λέγει μοι ὁ ὄφις· ζῇ ὁ θεὸς ὅτι λυποῦμαι περὶ ὑμῶν, [ὅτι ὡς κτήνη ἐστέ] οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν [αὐτό], ἀλλὰ ἀνάστα δεῦρο, [ἐπάκουσόν μου καὶ] φάγε, καὶ νόησον τὴν τιμὴν τοῦ ξύλου. ἐγὼ δὲ εἶπον αὐτῷ· φοβοῦμαι μήποτε ὀργισθῇ μοι ὁ θεός, καθὼς εἶπεν ἡμῖν. καὶ λέγει μοι· μὴ φοβοῦ· ἅμα γὰρ φάγῃς, ἀνοιχθήσονταί σου οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοὶ ἐν τῷ γινώσκειν τί ἀγαθὸν καὶ τί

---

[17] Καὶ ἐκρ. εὐϑ. c. A .. B καὶ κρεμασϑεὶς εὐϑέως, C εὐϑέως οὖν ὁ ὄφις ἐκρεμάσϑη | C ἀπὸ τοῦ τείχους | περὶ ὥρ. ὅταν (B ἐνάτην omisso ὅταν) -- τοῦ (B om) προσκ. (B add αὐτόν) c. A(B) .. C ὅτε δὲ ἦλϑον οἱ ἄγγ. τ. ϑ. προσκ. | τότε ὁ σα. ἐγ. c. AB .. C γέγονεν καὶ ὁ σα. | ἐν εἴδ. ἀγγ. c. AC .. B ὁμοῖος ἀγγέλου | καὶ παρακύψ. (B παρακ. δέ) ἐ. τ. τ. cum CB .. A καὶ ἐπαρέκυψα ἐ. τ. τ. καὶ | ἶδον c. BC .. A οἶδα | καὶ λέγ. μ. Σὺ εἶ ἡ (B om εἶ ἡ) -- εἰμι c. CB .. A om | κ. λέγ. μοι .. B add ὁ ἐχϑρὸς ϑέλων ἐξαπατῆσαί με | ἔϑετο ἡμᾶς .. B add ἐνταῦϑα | C φυλάττειν | ἐξ .. C ἀπ' | ἀπεκρίϑη μοι -- ὄφεως (cod. -οσ, sed infra -ωσ) c. A .. B ἀποκριϑεὶς δὲ ὁ -- ὄφεος λέγει μοι, C ἀποκριϑεὶς ὁ -- ὄφεως (sic, non addito λέγει μοι) | καλῶς -- φυτοῦ c. AC .. B καλ. ποι. καὶ καλῶς ἐργάζεσϑε καὶ καλῶς ἐσϑίετε | ναί et ἐσϑίομεν c. AC .. B μὴ et φάγομεν | παντὸς φυτοῦ c. BC .. A πάντων | ἑνός .. C om | μόνου .. C add τοῦ ξύλου | ἐν μέσῳ .. C μέσον | περὶ οὗ (C τοῦτον δὲ) ἐ. ὁ (B om) ϑε. ἡμ. (B om, C ante ὁ ϑε.) τοῦ (ita BC, A om) μὴ ἐσϑ. (B φαγεῖν) | ἐπεὶ ϑα. ἀπ. c. AB .. C εἶπεν γὰρ ἡμῖν (cod. εἰ μὴν) ἣν δ' ἂν ἡμέραν φάγεσϑε ἐξ αὐτοῦ, ϑαν. ἀποϑαν.

[18] B ζῇ ϑεός | ὅτι λυπ. c. AC .. B λύπη μοι ἔστιν | ὅτι ὡς κτ. ἐστε .. C om | αὐτό c. A .. B περὶ τοῦ τοιούτου φυτοῦ .. C om | ἀλλ. ἀν. δεῦρο ἐπάκουσόν μου κ. φάγε cum B .. A ἀλλ. ἀν. καὶ δεῦρο οὖν κ. φάγε .. C δεῦρο οὖν φάγε | τιμήν .. B add καὶ γλυκύτητα | αὐτῷ c. BC .. A om | μήποτε .. C μήπως | ὀργ. μοι (C ἡμῖν) ὁ ϑε. c. AC .. B ὀργ. ὁ ϑε. ἐπ' ἐμοί | εἶπεν c. AC .. B προεῖπεν | κ. λέγ. μοι c. AC .. B κ. λέγ. ὁ διάβολος | ἅμα -- φάγῃς (B add ἀπ' αὐτοῦ) .. C ἅμα γ. τοῦ φαγεῖν σε | καὶ ἔσεσϑε -- ἐν τῷ γιν. (C

πονηρόν. τοῦτο δὲ γινώσκων ὁ θεός, [ὅτι ἔσεσθε ὅμοιοι αὐτοῦ,] [ἐφθόνησεν ὑμῖν καὶ] εἶπεν· οὐ φάγεσθε ἐξ αὐτοῦ. σὺ δὲ πρόσεχε τῷ φυτῷ, καὶ ὄψει δόξαν μεγάλην [περὶ αὐτοῦ. [ἐγὼ δὲ προσέσχον τῷ φυτῷ, καὶ ἴδον δόξαν μεγάλην περὶ αὐτοῦ.] εἶπον δὲ αὐτῷ ὅτι ὡραῖόν ἐστιν τοῖς ὀφθαλμοῖς κατανοῆσαι, καὶ ἐφοβήθην λαβεῖν ἀπὸ τοῦ καρποῦ. καὶ λέγει μοι· δεῦρο δώσω σοι, ἀκολούθει μοι. [19] Ἠνοιξα δὲ αὐτῷ, καὶ εἰσῆλθεν ἔσω εἰς τὸν παράδεισον, καὶ διώδευσεν ἔμπροσθέν μου. καὶ περιπατήσας ὀλίγον ἐστράφη καὶ λέγει μοι· μεταμεληθεὶς οὐ δώσω σοι φαγεῖν. ταῦτα δὲ εἶπεν θέλων εἰς τέλος δελεάσαι καὶ ἀπολέσαι με. καὶ λέγει μοι· ὄμοσόν μοι ὅτι δίδεις καὶ τῷ ἀνδρί σου. ἐγὼ δὲ εἶπον αὐτῷ ὅτι οὐ γινώσκω ποίῳ ὅρκῳ ὀμόσω σοι, πλὴν ὃ οἶδα λέγω σοι· μὰ τὸν θρόνον τοῦ δεσπότου καὶ τὰ χερουβὶμ καὶ τὸ ξύλον τῆς ζωῆς, ὅτι δώσω καὶ τῷ ἀνδρί μου φαγεῖν. ὅτε δὲ ἔλαβεν ἀπ' ἐμοῦ τὸν ὅρκον, τότε ἦλθεν καὶ ἐπέβη ἐπ' αὐτόν· ἔθετο δὲ ἐπὶ τὸν καρπόν, ὃν ἔδωκέν μοι φαγεῖν, τὸν ἰὸν τῆς κακίας αὐ-

---

γινώσκοντες) τί (C τὸ) -- τί (C τὸ) πον. c. A(C) .. B καὶ ἔσῃ ὡς θεὸς γινώσκουσα ἀγαθὸν κ. πο. | γινώσκων c. A .. B ἔγνω .. C διαγινώσκων | ὅτι ἔ. ὅμ. αὐτοῦ .. C om | ἐφθ. ὑμ. c. A .. BC om | καὶ (B add διὰ τοῦτο) εἶπεν -- ἐξ (B ἀπ') αὐτ. c. AB .. C παρήγγειλεν ὑμῖν λέγων μὴ φαγεῖν ἀπ' αὐτ. | πρόσεχε τῷ φυτῷ καὶ c. A .. C πρόσσχου τὸ φυτὸν καί, B προσελθὼν καί | δόξ. μεγ. πε. αὐτ. (C om πε. αὐτ.) .. B τὴν δόξ. αὐτοῦ | ἐγὼ δὲ -- καὶ (cod. om) ἴδον -- πε. αὐτοῦ c. A .. B Εὖα δὲ ἀκούσασα τοὺς ἀπατηλοὺς λόγους αὐτοῦ προσεῖχον (sic) τὸ φυτὸν καὶ ἴδον τὴν δόξ. αὐτοῦ .. C plane om | εἶπον -- ἀπὸ τ. κ. αὐτοῦ c. A .. B καὶ κατανοήσασα (-σας cod.) αὐτῷ (scribe αὐτό) ὅτι ὁρ. ε. τ. ὀφθ. καὶ διανοηθεῖσα (cod. -ηθήσοι) -- ἐκ τοῦ κ. αὐτοῦ .. C φοβηθεῖσα δὲ κἀγὼ λαβεῖν ἀπὸ τ. καρπ. | καὶ (C. om) λέ. μοι c. ABC .. B add ὁ ἐχθρός | δεῦρο (B add καὶ) -- ἀκολ. (B μόνον ἀκ.) μοι c. AB .. C δεῦρο ἀκολούθει μοι καὶ δώσω σοι

[19] Ἠνοιξα δὲ αὐτῷ, καὶ c. A .. B ἤνοιξεν καὶ αὐτός, καί, C καὶ ἀνοιξάσης μου τὸν παράδεισον | ἔσω ε. τ. παρ. c. AB .. C om | A ἐδιόδευσεν | C ὀλιγ. περιπ. | ἐστρ. κ. λ. μοι c. A .. B στραφεὶς λέγ. μοι, C στραφεὶς ἔφησε πρὸς ἐμέ | μεταμεληθεὶς -- φαγεῖν c. A .. B ἐμετεμελήθην· οὐ (cod. τοῦ) δώσω σ. φ., C μετεμελήθην, καὶ οὐ θέλω σοι δοῦναι φαγεῖν | ταῦτα δὲ (B μοι) εἶπεν -- δελεάσαι καὶ ἀπολέσαι (ita B, A om κ. ἀπολ.) -- ὄμοσόν μοι (B ὄμωσε με: sic) ὅ. δίδεις (AB δίδης) -- σου c. AB .. C ἕως ὀμόσῃς μοι δοῦναι καὶ τῷ ἀνδρί σου | εἶπον c. AB .. C ἐλάλησα | ὅτι (B om) οὐ -- ὀμόσω (B ὀμώσε: ὀμόσαι?) -- λέγω σοι c. AB .. C ποῖον ὅρκον ὀμόσω σοι; ὅμως ὡς ἐπίσταμαι εἶπω σοι | καὶ τὸ ξύλον .. C κ. τοῦ ξύλου | ὅτι δώσω .. C ἐπιδώσω | φαγεῖν .. B om | ὅτε δὲ -- τὸν ὅρκον .. C ἅμα δὲ τοῦ λαβεῖν ἀπ' ἐμοῦ τὴν πληροφορίαν | τότε ἦλθεν -- ἐπ' αὐτόν (sic uterque) -- τὸν (A τὸ) ἰὸν -- τῆς ἐπιθ. αὐτοῦ c. AB .. C ἐλθὼν ἐπέθετο τὸν ἰὸν (cod. ἐπαίθε τὸν υἱὸν) τῆς κακ. ἐπὶ τὸν καρπόν, ἦγουν

Digitized by Google

τοῦ, τοῦτ' ἔστιν τῆς ἐπιθυμίας αὐτοῦ· ἐπιθυμία γάρ ἐστιν κεφαλὴ πάσης ἁμαρτίας. καὶ ἔκλινα τὸν κλάδον ἐπὶ τὴν γῆν καὶ ἔλαβον ἀπὸ τοῦ καρποῦ καὶ ἔφαγον. [20]Καὶ ἐν αὐτῇ τῇ ὥρᾳ ἠνεῴχθησαν οἱ ὀφθαλμοί μου, καὶ ἔγνων ὅτι γυμνὴ ἤμην τῆς δικαιοσύνης, ἧς ἤμην ἐνδεδυμένη. καὶ ἔκλαυσα λέγουσα· τί τοῦτο ἐποίησάς μοι, ὅτι ἀπηλλοτριώθην ἐκ τῆς δόξης μου, ἧς ἤμην ἐνδεδυμένη; ἔκλαιον δὲ καὶ περὶ τοῦ ὅρκου. ἐκεῖνος δὲ κατῆλθεν ἐκ τοῦ φυτοῦ καὶ ἄφαντος ἐγένετο. ἐγὼ δὲ ἐζήτουν ἐν τῷ μέρει μου φύλλα ὅπως καλύψω τὴν αἰσχύνην μου, καὶ οὐχ εὗρον ἀπὸ τῶν φυτῶν τοῦ παραδείσου, ἐπειδή, ἅμα ἔφαγον, πάντων τῶν φυτῶν τοῦ ἐμοῦ μέρους κατέρρεον τὰ φύλλα παρέξ τοῦ σύκου μόνου. λαβοῦσα δὲ φύλλα ἐξ αὐτοῦ ἐποίησα ἐμαυτῇ περιζώματα, καὶ ἐστὶν παρ' αὐτῶν τῶν φυτῶν ἐξ ὧν ἔφαγον. [21]Καὶ ἐβόησα φωνῇ μεγάλῃ λέγουσα· Ἀδὰμ Ἀδάμ, ποῦ εἶ; ἀνάστα ἐλθὲ πρός με, καὶ δείξω σοι μέγα μυστήριον. ὅτε δὲ ἦλθεν ὁ πατὴρ ὑμῶν, εἶπον αὐτῷ λόγους παρανομίας, οἵτινες κατήγαγον ἡμᾶς ἀπὸ μεγάλης δόξης. ἅμα γὰρ ἦλθεν, ἤνοιξα τὸ στόμα μου καὶ ὁ διάβολος ἐλάλει, καὶ ἠρξάμην νουθετεῖν αὐτὸν λέ-

---

τὴν ἐπιθυμίαν | κεφαλή .. C ῥίζα καὶ ἀρχή | καὶ ἔκλινα -- ἔλαβον .. C καὶ κλίνας (sic) τὸν κλ. ἐπὶ τῆς γῆς ἔλαβον

[20] ἠνεώχθ. c. AB .. C ἀνεώχθ. | B μου οἱ ὀφθ. | C κ. εὐθὺς ἔγνων | ἧς c. AC .. B ἦν | C καὶ κλαύσασα λέγω πρὸς αὐτόν | C om μοι | ὅτι ἀπηλλοτρ. ἐκ τῆς c. A .. B πλάνε, καὶ ἀπηλλοτρίωσάς με ἐκ τῆς, C καὶ ἀπηλλοτριώσάς με τῆς | C om ἧς ἤμ. ἐνδ. | ἔκλαιον δὲ καὶ c. AB .. C ἐπὶ τοῖς δάκρυσι δὲ δάκρυα ἐκίνουν καὶ | ὅρκου .. C add ὃν ὤμοσα | ἐκεῖνος (C κἀκεῖνος) δὲ c. AC .. B ἐκ. δὲ ὡς μόνην ἐθεάσατό με κλαίουσαν καὶ περιθρηνουμένην | κατῆλθεν ἐκ τ. φ. καὶ ἄφ. c. AB .. C κατελθὼν ἀπὸ τ. φ. ἄφ. | ἐγὼ δέ .. C add γυμνωθεῖσα | B πᾶσαν τὴν αἰσχ. μου | καὶ οὐχ εὗρ. ἀ. τῶν φυτῶν (ita B, A ἀπὸ τὰ φυτά. Vide etiam C) -- κατέρρεον (A κατερρην, si abesset ν, scribendum esset κατέρρει, vide etiam B) -- μόνου (B corrupte -- καὶ ἑκαρτέρη ἅπαξ τὰ φύλα τοῦ σύκου) c. A(B) .. C καὶ οὐχ εὕρισκον· ἀπὸ πάντων γὰρ τῶν φυτῶν τοῦ ἐμοῦ μέρους τὰ φύλλα καταρυέντα οὐκ ἦν φύλα (corrupte) | λαβοῦσα δὲ -- ἔφαγον .. B καὶ μόνον τὰ φύλα λαβοῦσα ἐξ αὐτῶν ἐποίησα ἡμάτην (pro ἐμαυτῇ) περιζώματα· καὶ ἐστιν παρὰ τῶν φυτῶν ἐξ οὗ ἔφαγον .. C ἐποίησα δὲ περιζώματα (omnino plura exciderunt)

[21] Καὶ ἐβόησα .. C add αὐτῇ τῇ ὥρᾳ | φωνῇ μεγ. (haec C om) λέγουσα .. B φωνὴν μεγάλην λέγων | B alterum Ἀδάμ om | ἀνάστα .. B δεῦρο | ὁ πατ. ὑμῶν (ABC ἡμῶν) .. B add πρός με | εἶπον αὐτῷ .. C ἐλάλησα | οἵτινες -- ἅμα γὰρ ἦλθεν (B τοῦ ἐλθεῖν αὐτὸν πρός με) .. C om | ἤνοιξα: ab hac inde voce cod. B deficit usque sect. 25. Excidit folium. | ἤνοιξα -- ἐλάλει c. A .. C ἀνοίξησεν (sic) γὰρ τὸ στ. μου ὁ διάβ. | καὶ ἠρξάμην -- ὡς θεός: ita A et C |

Digitized by Google

γουσα· δεῦρο, κύριέ μου Ἀδάμ, ἐπάκουσόν μου καὶ φάγε ἀπὸ τοῦ καρποῦ τοῦ δένδρου, οὗ εἶπεν ἡμῖν ὁ θεὸς τοῦ μὴ φαγεῖν ἀπ' αὐτοῦ, καὶ ἔσῃ ὡς θεός. καὶ ἀποκριθεὶς ὁ πατὴρ ὑμῶν εἶπεν· φοβοῦμαι μήποτε ὀργισθῇ μοι ὁ θεός. ἐγὼ δὲ εἶπον αὐτῷ· μὴ φοβοῦ· ἅμα γὰρ φάγῃς, ἔσῃ γινώσκων καλὸν καὶ πονηρόν. καὶ τότε ταχέως πείσασα αὐτόν, ἔφαγεν, καὶ ἠνεῴχθησαν αὐτοῦ οἱ ὀφθαλμοί, καὶ ἔγνω καὶ αὐτὸς τὴν γύμνωσιν αὐτοῦ. καὶ λέγει μοι· ὦ γύναι πονηρά, τί κατηργάσω ἐν ἡμῖν; ἀπηλλοτρίωσάς με ἐκ τῆς δόξης τοῦ θεοῦ. [22]Καὶ αὐτῇ τῇ ὥρᾳ ἠκούσαμεν τοῦ ἀρχαγγέλου Μιχαὴλ σαλπίζοντος ἐν τῇ σάλπιγγι αὐτοῦ, καλῶν τοὺς ἀγγέλους λέγων· τάδε λέγει κύριος· ἔλθατε μετ' ἐμοῦ εἰς τὸν παράδεισον καὶ ἀκούσατε τοῦ ῥήματος ἐν ᾧ κρίνω τὸν Ἀδάμ. καὶ ὡς ἠκούσαμεν τοῦ ἀρχαγγέλου σαλπίζοντος, εἴπαμεν· ἰδοὺ ὁ θεὸς εἰς τὸν παράδεισον ἔρχεται κρῖναι ἡμᾶς. ἐφοβήθημεν δὲ καὶ ἐκρύβημεν. καὶ ἀνῆλθεν ὁ θεὸς εἰς τὸν παράδεισον ἐπιβεβηκὼς ἐπὶ ἅρματος Χερουβίμ, καὶ οἱ ἄγγελοι ὑμνοῦντες αὐτόν. ἐν ᾧ εἰσῆλθεν ὁ θεὸς εἰς τὸν παράδεισον, ἐξήνθησαν τὰ φυτὰ τά τε τοῦ κλήρου τοῦ Ἀδὰμ καὶ τοῦ κλήρου τοῦ ἐμοῦ πάντα καὶ ἐστηρίζοντο, καὶ ὁ θρόνος τοῦ θεοῦ ὅπου ἦν τὸ ξύλον τῆς ζωῆς εὐτρεπίζετο. [23]Καὶ ἐκάλεσεν ὁ θεὸς τὸν Ἀδὰμ λέγων· Ἀδάμ, ποῦ ἐκρύβης, νομίζων ὅτι οὐχ εὑρίσκω σε; μὴ κρυβήσεταί οἶκος τῷ οἰκοδομήσαντι αὐτόν; τότε ἀποκριθεὶς ὁ πατὴρ ὑμῶν εἶπεν· οὐχί, κύριε, κρυβόμεθα ὡς νομίζοντες ὅτι οὐχ εὑρι-

---

ὁ πατ. ὑμῶν .. AC ὁ π. ἡμ. | μήποτε .. C μήπως | ἔσῃ .. C ἔσει (etiam ante) | καὶ τότε -- ἔφαγεν c. A .. C καὶ πεισθεὶς τοῖς λόγοις μου ἔφαγεν | C κ. εὐθὺς ἀνεωχθ. | καὶ αὐτός: ita C, A om | τί κατηργάσω -- ἐκ τῆς c. A .. C τί ἐποίησά σοι καὶ ἀπηλλοτρίωσάς με τῆς

[22] C om ἐν τῇ σάλπ. αὐτ. | καλῶν c. A .. C καὶ καλῶν | ἔλθατε -- παράδεισον c. A .. C ἔλθετε -- ἐν τῷ παραδείσῳ | ῥήματος c. C .. A κρίματος | κρίνω: ita A et C, non κρινῶ | καὶ ὡς ἠκούσαμεν -- ἐκρύβημεν c. A .. C om | καὶ ἀνῆλθεν -- ἐξήνθησαν c. A .. C καὶ παρουσιάσαντος τοῦ θεοῦ ἐν τῷ παραδείσῳ, ἐπιβεβηκὼς ἐπὶ ἅρματος χερουβικοῦ, προπορευομένων ἔμπροσθεν αὐτοῦ τῶν ἀγγέλων καὶ ὑμνούντων, ἐξήνθησαν | τὰ φυτὰ τά τε -- εὐτρεπίζ. c. A .. C τὰ φυ. ὅλα τοῦ παραδείσου καὶ τοῦ κλ. τοῦ πατρ. ὑμῶν κ. τ. κλ. τ. ἐμοῦ. καὶ ὁ θρόν. τ. θε. ἐστηρίζετο ὅπου -- τῆς ζωῆς

[23] ποῦ ἐκρύβ. c. A .. C ποῦ εἶ | νομ. ὅ. οὐχ (cod. οὐκ) εὑ. σε c. A .. C om | μὴ κρυβήσεται (sic) c. A .. C μὴ δύναται κρυβῆναι | τῷ οἰκοδ. c. A .. C ἀπὸ προσώπου τῷ οἰκ. | τότε -- εἶπεν c. A .. C τότε ἀπεκρίθη ὁ πα. ἡμῶν (ita et A) | οὐχὶ κύρ. κρυβόμ. (de hac forma cf. Steph. Thes. sub κρύπτω) --

Digitized by Google

σκόμεθα παρὰ σοῦ, ἀλλὰ φοβοῦμαι, ὅτι γυμνός εἰμι, καὶ αἰδέσθην τὸ κράτος σου, δέσποτα. λέγει αὐτῷ ὁ θεός· τίς σοι ὑπέδειξεν ὅτι γυμνὸς εἶ, εἰ μὴ ὅτι ἐγκατέλειπας τὴν ἐντολήν μου ἣν παρέδωκά σοι τοῦ φυλάξαι αὐτήν; τότε Ἀδὰμ ἐμνήσθη τοῦ λόγου ὃν ἐλάλησα αὐτῷ, ὅτε ἤθελον ἀπατῆσαι αὐτόν, ὅτι ἀκίνδυνόν σε ποιήσω παρὰ τοῦ θεοῦ· στραφεὶς δὲ πρός με εἶπέν μοι· τί τοῦτο ἐποίησας; ἐμνήσθην δὲ κἀγὼ τοῦ ῥήματος τοῦ ὄφεως, καὶ εἶπον ὅτι ὁ ὄφις ἠπάτησέν με. [24] Λέγει ὁ θεὸς τῷ Ἀδάμ· ἐπειδὴ παρήκουσας τὴν ἐντολήν μου καὶ ἤκουσας τῆς γυναικός σου, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἡνίκα γὰρ ἐργάζῃ αὐτήν, καὶ οὐ δώσει τὴν ἰσχὺν αὐτῆς, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ ἐν ὑδρότητι τοῦ προσώπου σου φάγει τὸν ἄρτον σου. ἔσῃ δὲ ἐν καμάτοις πολυτρόποις· καμῇ καὶ μὴ ἀναπαύου, θλιβεὶς ἀπὸ πικρίας, καὶ μὴ γεύσῃ γλυκύτητος, θλιβεὶς ἀπὸ καύματος καὶ στενωθεὶς ἀπὸ ψύξεως· καὶ κοπιάσεις πολλὰ καὶ μὴ πλουτήσεις, καὶ παχυνθήσει καὶ εἰς τέλος μὴ ὑπάρξεις, καὶ ὧν ἐκυρίευες θηρίων ἐπαναστήσονταί σοι ἐν ἀκαταστασίᾳ, ὅτι τὴν ἐντολήν μου οὐκ ἐφύλαξας. [25] Στραφεὶς δὲ πρός με ὁ κύριος λέγει μοι· ἐπειδὴ ἐπήκουσας σὺ τοῦ ὄφεως καὶ παρήκουσας τὴν ἐντολήν μου, ἔσῃ ἐν ματαίοις καὶ ἐν πόνοις ἀφορήτοις· τέξῃ τέκνα ἐν πολλοῖς τρόμοις, καὶ ἐν μιᾷ ὥρᾳ ἔλθῃς καὶ ἀπολέσεις τὴν ζωήν σου ἐκ τῆς ἀνάγκης σου τῆς μεγάλης καὶ τῶν

οὐχ (cod. οὐκ) εὑρ. π. σ. c. A .. C οὐκ ἀποκρυβούμεϑα (sic) κύριε ὡς νομ. λαϑεῖν σε | φοβοῦμαι c. A .. C φοβούμενος | C ὑπέδ. σοι γυμνὸς εἶναι | εἰ μὴ ὅτι -- αὐτήν c. A .. C εἰ μὴ παροργίσϑης (sic) τὴν ἐντ. μου | τότε -- με (cod. μοι) c. A .. C τότε μνησϑεὶς ὁ Ἀδ. τοῦ -- ἐλάλ. πρὸς αὐτόν, ὅτι ἀκίνδ. σ. π. π. ϑεοῦ (sic, ut A). στραφεὶς λέγει μοι· τί τ. ἐπ. κἀγὼ εἶπον ὁ ὄφ. ἠπάτησέν μοι (sic)

[24] ἐπικατάρ. ἡ γῆ -- καὶ (sic) οὐ δώσει c. A .. C ἐπιχ. ἡ γῆ ἕνεκά σου· ἐργάσει δὴ αὐτήν, καὶ οὐ δώ. | ἀνατελεῖ c. A .. C περιπατεῖ: fortasse περιποιεῖ | φάγει: ita A; C φαγεῖς | καμῇ κ. μ. ἀναπαύου: ita prorsus A .. C om | γεύσῃ c. A .. C -σει | C om ϑλ. ἀπὸ καύμ., item καὶ κοπιάσεις usque ὑπάρξεις

[25] C om σὺ τοῦ ὄφεως (h. l. A -εως, sect. 23. -εος) κ. παρήκ. | τέξῃ c. A .. C τέξης | τρόμοις: ita scribendum videbatur pro τρόποις quod habent AC | ἔλϑῃς .. C add τοῦ τεκεῖν | Uterque cod ἀπολέσης, sed -λέσεις praestare videbatur. | ἐκ τῆς -- μεγάλης c. AC .. B ἐκ (ab hac voce rursus incipit) τ. μεγ. σου ἀνάγκ. |

Digitized by Google

ὀδυνῶν. ἐξομολογήσει δὲ καὶ εἶπης· κύριε κύριε, σῶσόν με, καὶ οὐ μὴ ἐπιστρέψω εἰς τὴν ἁμαρτίαν τῆς σαρκός. καὶ διὰ τοῦτο εἰς τὸν λόγον σου κρινῶ σε, διὰ τὴν ἔχθραν ἣν ἔθετο ὁ ἐχθρὸς ἐν σοί· στραφήσῃ δὲ πάλιν πρὸς τὸν ἄνδρα σου, καὶ αὐτός σου κυριεύσει. [26] Μετὰ δὲ τὸ εἰπεῖν μοι ταῦτα εἶπεν τῷ ὄφει ἐν ὀργῇ μεγάλῃ λέγων αὐτῷ· ἐπειδὴ ἐποίησας τοῦτο καὶ ἐγένου σκεῦος ἀχάριστον, ἕως ἂν πλανήσῃς τοὺς παρειμένους τῇ καρδίᾳ, ἐπικατάρατος σὺ ἐκ πάντων τῶν κτηνῶν· στερηθήσει τῆς τροφῆς σου ἧς ἤσθιες, καὶ χοῦν φάγει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσει καὶ ὑστερηθήσει καὶ χειρῶν καὶ ποδῶν σου· οὐκ ἀφεθήσεταί σοι ὠτίον οὔτε πτέρυξ οὔτε ἓν μέλος τῶν ἁπάντων ὧν σὺ ἐδελέασας ἐν τῇ κακίᾳ σου καὶ ἐποίησας αὐτοὺς ἐκβληθῆναι ἐκ τοῦ παραδείσου· καὶ θήσω ἔχθραν ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτοῦ· αὐτός σου τηρήσει κεφαλὴν καὶ σὺ αὐτοῦ πτέρναν ἕως

ἐξομολογήσει c. AC .. B -σεις | σαρκός (ita A, sed BC add σου) .. A solus add ἀλλὰ καὶ πάλιν ἐπιστρέψεις | εἰς (B ἐπὶ) τὸν λόγ. σου c. AB .. C ἐκ τῶν λόγων σου | ὁ ἐχθρὸς c. AC .. B ὁ θεός | στραφήσῃ (A -φης, B -φησα) δ. πάλιν (B om) - - αὐτός (B om) σου (B ου, A σε) κυρ. c. AB .. C om, sed vide post

[26] Μετὰ - - τῷ ὄφει ἐν ὀ. μ. (B corrupte τὸν ὄφιν ὀργήν) - - Ἐπειδὴ c. A(B) .. C στραφεὶς δὲ πρὸς τὸν ὄφιν ἐν ὀργ. μεγ. (excidisse videtur εἶπεν) ἐπειδή | καὶ ἐγ. σκ. ἀχάρ. c. AB .. C om | ἕως ἂν πλαν. c. A .. BC καὶ ἐπλάνησας | παρειμένους c. AC .. B παρισταμένους | B κατάρατος | σὺ ἐκ c. A .. BC εἰ ἐκ | στερηθήσει (ita B, A -θῆς, C -θεῖς) τῆς (ita A, B καὶ τῆς, C δὲ καὶ τῆς) | φάγει .. C φαγεῖς (hoc acc.). Ceterum post verba τῆς τροφῆς (B τρυφῆς ut videtur) σου codex B textui admixtum habet scholion, quod scriptura passim corrupta sic habet: ἦν δὲ Εὔα ιβ' ἐτῶν ὅτε αὐτὴν ἠπάτησεν ὁ δαίμων καὶ ἐποίησεν αὐτῇ (cod. -τὴν) ἐπιθυμίαν, ὅτι ἡμέρας εἶχεν μελετῶν τὸ σκεῦος αὐτῆς. καὶ νύκταν (sic) καὶ ἡμέραν οὐκ ἐπαύετο (cod. οὐ καὶ παύετω) ζήλῳ φορούμενος κατ' αὐτῶν, ὅτι τὸ πρότερον ἦν αὐτὸς ἐν τῷ παραδείσῳ, καὶ διὰ τοῦτο ἐπτέρνησεν αὐτούς, ὅτι οὐκ ἐδύνατο θεωρεῖν αὐτοὺς ἐν τῷ παραδείσῳ· καὶ διὰ τοῦτο ἐπτέρνησεν αὐτούς, βάλλων (διαβάλλων?) διὰ τῶν ἀγγέλων τὴν προσκύνησιν καὶ τῶν θηρίων τὴν ὁμιλίαν. καὶ διὰ τοῦτο καὶ ὁ θεὸς εἶπεν τῷ ὄφει ὅτι ἐπικατάρατος εἶ (cod. ἦν) ἐκ πάντων τῶν θηρίων καὶ τῶν κτηνῶν καὶ τῆς δόξης ἧς εἶχεν πρὸ τούτου, καὶ στερηθήσει ποδῶν καὶ χειρῶν καὶ τῆς τρυφῆς (ut B in textu) ἣν ἐκ τοῦ παραδείσου ἤσθιες, καὶ γῆν φάγει. | καὶ ὑστερηθ. (C στερηθεὶς absque καὶ) καὶ χειρ. (C χειρ. τε) κ. ποδ. σου (C om σου) .. B haec omnia om | οὔτε ἓν (B om) μέλ. τῶν ἁπάντ. (C τούτων, B om) ὧν (C ἀφ' ὧν) σὺ (C om) etc | καὶ σὺ .. C add τηρήσεις | ἕως τῆς .. B om τῆς | τῆς κρίσεως c. AB .. C τῆς ζωῆς σου

Digitized by Google

τῆς ἡμέρας τῆς κρίσεως. [27]Καὶ ταῦτα εἰπὼν κελεύει τοῖς ἀγγέλοις αὐτοῦ ἐκ τοῦ παραδείσου ἐκβληθῆναι ἡμᾶς. ἐλαυνομένων δὲ ἡμῶν καὶ ὀδυρομένων παρεκάλεσεν ὁ πατὴρ ὑμῶν Ἀδὰμ τοὺς ἀγγέλους λέγων· ἐάσατέ με μικρὸν ὅπως παρακαλέσω τὸν θεόν, καὶ σπλαγχνισθῇ καὶ ἐλεήσῃ με, ὅτι ἐγὼ μόνος ἥμαρτον. αὐτοὶ δὲ ἔπαυσαν τοῦ ἐλαύνειν αὐτόν· ἐβόησεν δὲ Ἀδὰμ μετὰ κλαυθμοῦ λέγων· συγχώρησόν μοι κύριε ὃ ἐποίησα. τότε λέγει ὁ κύριος τοῖς ἀγγέλοις αὐτοῦ· τί ἐπαύσατε ἐλαύνοντες τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου; μὴ ἐμόν ἐστιν τὸ ἁμάρτημα, ἢ κακῶς ἔκρινα; τότε οἱ ἄγγελοι πεσόντες ἐπὶ τὴν γῆν προσεκύνησαν τῷ κυρίῳ λέγοντες· δίκαιός εἶ, κύριε, καὶ εὐθύτητας κρίνεις. [28]Στραφεὶς δὲ ὁ κύριος πρὸς τὸν Ἀδὰμ εἶπεν· οὐκ ἀφήσω σε ἀπὸ τοῦ νῦν εἶναι ἐν τῷ παραδείσῳ. καὶ ἀποκριθεὶς ὁ Ἀδὰμ εἶπεν· κύριε, δός μοι ἐκ τοῦ φυτοῦ τῆς ζωῆς ἵνα φάγω πρὶν ἢ ἐκβληθῆναί με. τότε ὁ κύριος ἐλάλησεν πρὸς τὸν Ἀδάμ· οὐ λήψῃ νῦν ἀπ' αὐτοῦ· ὡρίσθη γὰρ τοῖς Χερουβὶμ καὶ τῇ φλογίνῃ ῥομφαίᾳ τῇ στρεφομένῃ φυλάττειν αὐτὸ διὰ σέ, ὅπως μὴ γεύσῃ δι' αὐτοῦ καὶ ἀθάνατος ἔσῃ εἰς τὸν αἰῶνα, ἔχῃς δὲ τὸν πόλεμον ὃν ἔθετο ὁ ἐχθρὸς ἐν σοί. ἀλλ' ἐξερχομένου σου ἐκ τοῦ παραδείσου, ἐὰν φυλάξῃς ἑαυτὸν ἀπὸ παντὸς κακοῦ ὡς βουλόμενος ἀποθανεῖν, ἀναστάσεως πάλιν γενομένης ἀναστήσω σε, καὶ τότε δοθήσεταί σοι ἐκ τοῦ ξύλου τῆς ζωῆς, καὶ ἀθάνατος ἔσῃ εἰς τὸν αἰῶνα.

[27] Καὶ (ita BC, A om) ταῦτα εἰπ. (B add ὁ κύριος) κελεύει (C ἐκέλευσε, B λέγει) | ἐκβληθῆναι: ita AC .. B -θήσεται (sic) | ἐκ τ. παραδ. h. l. c. A .. BC post ἡμᾶς | B om Ἀδάμ | C καὶ σπλαγχνισθεὶς ἐλεήσῃ | ὅτι (C διότι) ἐγὼ μόν. (C μόν. ἐγ.) ἥμαρτ. (B add αὐτῷ) | αὐτοὶ δὲ ἔπ. τοῦ (ita C, A τὸ) ἐλ. αὐτ. (B ἔπ. ἐλαύνοντες ἡμῶν sic) .. C καὶ παυσάμενοι τοῦ ἐλαύνειν αὐτόν, omissis δὲ Ἀδάμ | κλαυθμοῦ c. AC .. B δακρύων | ἐποίησα .. C πεποίηκα | τοῖς ἀγγ. αὐτοῦ (C om αὐτ.) .. B add μετὰ ὀργῆς | τί ἐπαύσατε (B -σασθε) ἐλ. τὸν Ἀδ. (B ἐλ. αὐτούς) ἐκ τ. πα. (B om ἐ. τ. π.) .. C τί οὐκ ἐκβάλλετε αὐτόν | C προσέπεσαν ἐπὶ τ. γῆν τῷ | λέγοντες .. B καὶ εἶπον | εὐθύτητας .. C -τητος

[28] ὁ κύριος c. BC .. A om | B ἀπὸ τοῦ νῦν εἰς τὸν παράδεισον | πρ. ἢ (C πρὸ τοῦ) ἐκβλ. με c. A(C) .. B πρὶν ἐκβληθῶ | ἐλάλησεν πρ. τ. Ἀδάμ c. A .. B ἐλάλ. αὐτῷ .. C ἔφη | οὐ λή. νῦν (ita B, om A) ἀπ' (B ἐξ) αὐτ. c. AB .. C οὐ γεύσει ἀπὸ τοῦ νῦν ἐξ αὐτοῦ | ὡρίσθη γ. τοῖς (B τὰ) Χερ. κ. τῇ (B τήν, sed tum -νῃ et -φαίᾳ) φλ. ῥομφ. c. A(B) .. C προσέταξα δὲ τὰ Χερ. καὶ τῇ φλογείνῃ ῥομφ. | ὅπως .. C ὡς ἵνα | C γεύσει ἀπ' αὐτοῦ | ἐν σοί .. B ἐπὶ σέ | ἐξερχομένου c. AB .. C ἐξελθόντος | βουλόμενος .. C μέλλων | κἀὶ τότε (ex C .. AB om) δοθ. σ. ἐκ (C ἀπὸ) | C om κ. ἀθάν. ἔσῃ ἐ. τ. αἰ.

Digitized by Google

[29] Ταῦτα δὲ εἰπὼν ὁ κύριος ἐκέλευσεν ἐκβληθῆναι ἡμᾶς ἐκ τοῦ παραδείσου. ἔκλαυσεν δὲ ὁ πατὴρ ὑμῶν ἔμπροσθεν τῶν ἀγγέλων ἀπέναντι τοῦ παραδείσου, καὶ λέγουσιν οἱ ἄγγελοι αὐτῷ· τί θέλεις ποιήσωμέν σοι, Ἀδάμ; ἀποκριθεὶς δὲ ὁ πατὴρ ὑμῶν εἶπεν τοῖς ἀγγέλοις· ἰδοὺ ἐκβάλλετέ με· δέομαι ὑμῶν, ἄφετέ με ἆραι εὐωδίας ἐκ τοῦ παραδείσου, ἵνα μετὰ τὸ ἐξελθεῖν με ἐνέγκω θυσίαν τῷ θεῷ, ὅπως εἰσακούσεταί μου ὁ θεός. καὶ προσελθόντες εἶπον οἱ ἄγγελοι τῷ θεῷ· Ἰαὴλ αἰώνιε βασιλεῦ, κέλευσον δοθῆναι τῷ Ἀδὰμ θυμιάματα εὐωδίας ἐκ τοῦ παραδείσου. καὶ ἐκέλευσεν ὁ θεὸς ἐλθεῖν τὸν Ἀδὰμ ἵνα λάβῃ εὐωδίας ἀρώματα ἐκ τοῦ παραδείσου εἰς διατροφὴν αὐτοῦ. καὶ ἀφέντες αὐτὸν οἱ ἄγγελοι, ἐπεσύναξεν ἀμφότερα γένη, κρόκον καὶ νάρδον καὶ κάλαμον καὶ κινάμωμον καὶ λοιπὰ σπέρματα εἰς διατροφὴν αὐτοῦ, καὶ λαβὼν ταῦτα ἐξῆλθεν ἐκ τοῦ παραδείσου. καὶ ἐγενόμεθα ἐπὶ τῆς γῆς.

[30] Νῦν οὖν, τεκνία μου, ἐδήλωσα ὑμῖν τὸν τρόπον ἐν ᾧ ἠπατήθημεν· ὑμεῖς δὲ φυλάξατε ἑαυτοὺς μὴ ἐγκαταλιπεῖν τὸ ἀγαθόν.

[31] Ταῦτα δὲ εἰποῦσα ἐμμέσῳ τῶν υἱῶν αὐτῆς, κοιμωμένου

---

[29] δέ c. A .. BC om | ἐκέλευσεν .. C προσέταξεν | ἐκβληθῆναι c. BC .. A solus praem τοὺς ἀγγέλους αὐτοῦ | B om ἔκλαυσεν usque ἀπέν. τοῦ παραδ. | οἱ ἄγγ. αὐτῷ (B αὐτ. οἱ ἄγγ.) .. C οἱ ἄγγ. πρὸς αὐτόν | B ποιήσομεν | ὁ πα. ὑμῶν (AC ἡμῶν, ut plerumque) .. B om | εἶπ. τ. ἀγγ. c. AB .. C λέγει αὐτοῖς | ἰδοὺ ἐκβ. με .. C ἐπειδὴ ἐκβάλλετέ με | C δέομ. ὑμᾶς | ἄφετε μ. ἆρ. εὐ. (B θυσίαν) ἐκ τοῦ παρ. (B ἐν τῷ -σῳ) etc .. C ἵνα παραχωρήσητέ με ἀναλαβεῖν εὐωδίας (cod. ἐβωδίας, cuiusmodi passim habet) ἀπὸ τοῦ παραδ. καὶ προσενέγκω θυσίαν τῷ θε. μετὰ τὸ ἐξ. με ἀπὸ τοῦ παραδ. | C ὅπως ἀκούσεταί μου, sine ὁ θεός | τῷ θεῷ (B κυρίῳ) ἰαὴλ αἰ. βασ. c. AB .. C nil nisi τῷ θεῷ | κέλευσον .. C add δέσποτά μου | δοθ. τῷ Ἀδ. θυ. εὐ. (C δοθ. θυ. εὐώδια τῷ Ἀδ.) ἐ. τ. π. c. AC .. B τὸν Ἀδ. λαβεῖν εὐωδίας ἐ. τ. π. ὅπως ἐνέγκῃ σοι θυσίας | κ. ἐκέλ. ὁ θε. (C om) ἐλθ. (C εἰσελθ.) τὸν Ἀδ. (C om) ἵνα λα. (C καὶ λαβεῖν) εὐωδίας ἀρ. (B om, C καὶ ἀρ.) | ἐπεσύναξεν .. C ἔλαβεν δέ (sic) | ἀμφότερα .. C om | γένη c. A .. B γενήματα, C εἴδη | κάλαμον .. B γλυκωκάλαμον (sic) λοιπὰ (C ἕτερα) σπέρματα .. B ἄλλα τινα (cod. ἀλλάτην) | ἐξῆλθ. ἐκ .. C om ἐκ | ἐγεν. ἐπὶ τ. γ. c. AB .. C παραγεγόναμεν ἐν τῇ γῇ

[30] τεκνία c. A .. BC τέκνα | C πῶς ἠπατήθ. | ἐγκαταλ. c. AB .. C παραβαίνειν

[31] Ταῦτα - - ἐμμέσῳ (C μέσον) τ. υἱ. αὐτῆς (C αὐτῶν) .. B ταῦτα εἶπεν ἡ Εὔα (adde ἐμμέσῳ) τῶν τέκνων αὐτῆς, pergens κοιμωμ. δέ

Digitized by Google

τοῦ Ἀδὰμ ἐν τῇ νόσῳ αὐτοῦ, ἄλλην δὲ εἶχεν μίαν ἡμέραν τοῦ ἐξελθεῖν ἐκ τοῦ σώματος, λέγει τῷ Ἀδὰμ ἡ Εὔα· διά τί σὺ ἀποθνήσκεις κἀγὼ ζῶ; ἢ πόσον χρόνον ἔχω ποιῆσαι μετὰ τὸ ἀποθανεῖν σε; ἀνάγγειλόν μοι. τότε λέγει ὁ Ἀδὰμ τῇ Εὔα· μὴ θέλε φροντίσαι περὶ πραγμάτων· οὐ γὰρ βραδύνεις ἀπ' ἐμοῦ, ἀλλ' ἴσα ἀποθνήσκομεν ἀμφότεροι, καὶ αὐτὴ τεθήσει εἰς τὸν τόπον τὸν ἐμόν. ὅταν δὲ ἀποθάνω, καταλείψετέ με, καὶ μηδείς μου ἅψηται ἕως οὗ ὁ ἄγγελος κυρίου λαλήσει τι περὶ ἐμοῦ· οὐ γὰρ ἐπιλήσεταί μου ὁ θεός, ἀλλὰ ζητήσει τὸ ἴδιον σκεῦος ὃ ἔπλασεν. ἀνάστα μᾶλλον εὖξαι τῷ θεῷ ἕως οὗ ἀποδῶ τὸ πνεῦμά μου εἰς τὰς χεῖρας τοῦ δεδωκότος αὐτό· διότι οὐκ οἴδαμεν πῶς ἀπαντήσωμεν τοῦ ποιήσαντος ἡμᾶς, ἢ ὀργισθῇ ἡμῖν ἢ ἐπιστρέψῃ τοῦ ἐλεῆσαι ἡμᾶς. [32]Τότε ἀνέστη Εὔα καὶ ἐξῆλθεν ἔξω, καὶ πεσοῦσα ἐπὶ τὴν γῆν ἔλεγεν· ἥμαρτον, ὁ θεός, ἥμαρτον, ὁ πατὴρ τῶν πάντων, ἥμαρτον σοί, ἥμαρτον εἰς τοὺς ἐκλεκτούς σου ἀγγέλους, ἥμαρτον εἰς τὰ Χερουβίμ, ἥμαρτον εἰς τὸν ἀσάλευ-

---

ἐν τ. ν. αὐτοῦ .. C ἐκ τῆς συνεχούσης αὐτὸν ἀρρωστίας | ἄλλην δ. εἶχ. μί. ἡμ. (B μί. ἡμ. εἶχ.) τοῦ (ita B, A om) ἐξελϑ. ἐ. τ. σ. c. AB .. C μετὰ ἡμέραν μίαν ὀφείλοντος αὐτοῦ ἀποϑνήσκειν | τῷ Ἀδάμ c. A .. B αὐτῷ, C πρὸς αὐτόν | διὰ τί .. C πῶς | σὺ (ita B, A om) ἀποϑνήσκεις: A -σκης, item ut videtur BC | ἢ πόσον -- ποιῆσαι (B ζῆσαι) μ. τὸ ἀπ. σε (B μ. τὸν ϑάνατόν σου) .. C ἢ πόσους χρόνους ϑέλω ζῆσαι | ἀνάγγ. μοι c. BC, A om | τότε (C καί, B om) ὁ (B om) Ἀδ. τῇ Εὔ. (C πρὸς αὐτήν) | Μὴ ϑέλε (B ϑελήσῃς) φροντίσαι (A -τίζαι) .. C μὴ φροντίζεσαι (sic) | περὶ πραγμ. c. A .. B διὰ πολλῶν πραγμάτων, C περὶ τούτου | οὐ γὰρ -- ἐμοῦ c. A .. BC om | ἀλλ' ἴσα (B ὁμοῦ) ἀπ. ἀμφ. .. C ἅμα δὲ καὶ ἀμφ. ὀφείλομεν ἀποϑνήσκειν | τεϑήσει: ita ABC | ὅταν (C ὅτε) δέ c. BC .. A καὶ ὅτε | καταλείψετε (B -λήψ., C -λίψατε) c. BC .. A καλύψετε | B om κ. μηδ. μ ἅψηται | ὁ ἄγγ. κυρ. (ita C, A om) λαλ. τι (C τι λαλ.) πε. ἐμ. c. AC .. B λαληϑῇ τι πε. ἐμ. | ἐπιλήσεται .. B ἐπιλήψεται | σκ. ὃ ἔπλ. c. AB .. C πλάσμα. Praeterea B add ἤκουσα γὰρ ἐγὼ τοῦ κυρίου λέγοντος ὅτι τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. | ἀνάστα μ. εὖξ. τ. ϑ. c. A .. B ἀλλὰ ἀναστὰς (sic) μόνον εὖξ. τ. ϑ., C καὶ ἀνάστα μᾶλλ. κ. εὔξον (sic) πρὸς τὸν ϑεόν | ἀποδῶ c. A .. BC -δώσω | B om μου | τοῦ δεδ. αὐτό c. A .. B τοῦ δεσπότου μου τοῦ δεδ. μοι αὐτό, C αὐτοῦ τοῦ δεδ. μοι τοῦτο | πῶς ἀπαντήσωμ. c. AC .. B (πῶς?) ἀπαντῆσαι | τοῦ ποιήσ. ἡμᾶς: ita A et B, hinc quamvis insolens servandum videbatur .. C τούτῳ | ἢ ὀργ. -- τοῦ (ex B, A om) ἐλ. ἡμᾶς .. C ἢ ὀργίζεται ἡμῖν ἢ σπλαγχνίζεται καὶ μέλλοι (sic) ἐλεῆσαι ἡμᾶς καὶ δέξασϑαι ἡμᾶς

[32] C Καὶ ἀναστᾶσα Εὔ. ἐξῆλϑ. ἔξω | ἥμαρτ. ὁ ϑε ἥμ. (B add σοι) -- ἁπάντων (A πάντ.) ἥμ. σοι, ἥμ. εἰς etc. (B σοὶ καὶ τοῖς ἐκλεκτοῖς σ. ἀγγέλοις) c. AB .. C ἥμ. ὦ ϑεός, ἥμ. ὦ ϑεὸς τῶν ἁπάντ. ἥμ. σοι, ἥμ. ἐς τοὺς ἐκλεκτοὺς ἀγγέλους | ἥμ. ε. τ. -Σεραφ. c. B .. A om | ἀσάλευτον .. C φοβερόν καὶ ἀσάλ. |

τόν σου θρόνον, ἥμαρτον κύριε, ἥμαρτον πολλά, ἥμαρτον ἐναντίον σοῦ, καὶ πᾶσα ἁμαρτία δι' ἐμοῦ γέγονεν ἐν τῇ κτίσει. ἔτι δὲ εὐχομένης τῆς Εὔας ἐπὶ τὰ γόνατα αὐτῆς οὔσης, ἰδοὺ ἦλθεν πρὸς αὐτὴν ὁ ἄγγελος τῆς ἀνθρωπότητος καὶ ἀνέστησεν αὐτὴν λέγων· ἀνάστα Εὔα ἐκ τῆς μετανοίας σου· ἰδοὺ γὰρ ὁ Ἀδάμ ὁ ἀνήρ σου ἐξῆλθεν ἐκ τοῦ σώματος αὐτοῦ, ἀνάστα καὶ ἴδε τὸ πνεῦμα αὐτοῦ ἀναφερόμενον εἰς τὸν ποιήσαντα αὐτὸ τοῦ ἀπαντῆσαι αὐτῷ.

[33] Ἀναστᾶσα δὲ Εὔα ἐπέβαλεν τὴν χεῖρα αὐτῆς ἐπὶ τὸ πρόσωπον αὐτῆς, καὶ λέγει αὐτῇ ὁ ἄγγελος· ἆρον σεαυτὴν ἀπὸ τῶν γηΐνων. Εὔα δὲ ἠτένισεν εἰς τὸν οὐρανόν, καὶ ἶδεν ἅρμα φωτὸς ἐρχόμενον ὑπὸ τεσσάρων ἀετῶν λαμπρῶν, ὃ οὐκ ἦν δυνατόν τινα γεννηθέντα ἀπὸ κοιλίας εἰπεῖν τὴν δόξαν αὐτῶν οὔτε ἰδεῖν τὸ πρόσωπον αὐτῶν, καὶ ἀγγέλους προάγοντας τὸ ἅρμα. ὅτε ἦλθον ἐπὶ τὸν τόπον ὅπου ἔκειτο ὁ πατὴρ ὑμῶν Ἀδάμ, ἔστη τὸ ἅρμα καὶ τὰ Σεραφὶμ ἀνὰ μέσον τοῦ πατρὸς καὶ τοῦ ἅρματος. ἶδον δὲ ἐγὼ θυμιατήρια χρυσᾶ καὶ τρεῖς φιάλας, καὶ ἰδοὺ πάντες οἱ ἄγγελοι μετὰ λίβανον καὶ τὰ θυμιατήρια καὶ τὰς φιάλας ἦλθον ἐπὶ τὸ θυσιαστήριον καὶ ἐνεφύσουν αὐτά, καὶ ἡ ἀτμὶς τοῦ θυμιάματος ἐκάλυψεν τὰ στερεώματα. καὶ προσέπεσαν οἱ ἄγγελοι καὶ προσεκύνησαν τῷ θεῷ, βοῶντες καὶ λέγοντες· Ἰαηὶλ ἅγιε, συγχώρησον, ὅτι εἰκών σου ἐστὶν καὶ ποίημα τῶν χειρῶν σου τῶν ἁγίων.

ἥμαρτ. κύρ. ημ. πολλά c. AB .. C om | ἥμ. (B om) ἐναντ. σου | δι' ἐμοῦ c. BC .. A δι' ἐμέ | ἐν (C om) τῇ (B πάσῃ τῇ) κτ. | ἔτι -- οὔσης (A οὖσα) ἰδού .. C καὶ οὕτως εὐχ. τῆς Εὔας | ὁ (BC om) ἄγγ. (B add κυρίου) τῆς ἀνθρ. | μετάν. σου .. B add καὶ τῆς εὐχῆς σου | ὁ Ἀδάμ .. C om ὁ | εἰς (B πρὸς) τὸν ποι. α. τοῦ ἀπ. αὐτῷ (B αὐτόν) .. C om τοῦ ἀπ. αὐτ.

[33] Ἀναστᾶσα -- πρόσωπ. αὐτῆς (A αὐτοῦ) -- σεαυτὴν (A καὶ αὐτήν. B σεαυτόν) ἀ. τῶν γη. (B ἀπὸ τῆς [γῆς]: ab hac inde voce is codex deficit) . C καὶ ἀναστ. ἡ Εὔ. ἀπέβαλ. (corrige ἐπ-) τὴν χεῖρα αὐτῆς, omissis reliquis | Εὔα δὲ ἠτ. ε. τ. ο. καὶ ἶδεν c. A . C καὶ ἀτενίσασα ε. τ. ο. ἶδεν | ὃ c. A .. C ἃ | τινα γενν. ἀ. κ. εἰπ. c. C .. A γεννηθῆναι ἀ. κ. ἢ εἰπ. | οὔτε c. A .. C ἢ? | προάγοντας c. C .. A προσάγ. | ὅτε ἦλθον -- καὶ τοῦ ἅρματος c. A .. C om ἶδον δὲ ἐγώ c. A .. C καὶ ἶδον | ἰδού .. C om | C μετὰ θυμιατήρ. καὶ λίβανον, omissis κ. τ. φιάλ. | ἦλθον .. C add ἐν σπουδῇ | καὶ ἐνεφύσουν (C ἐφύσουν): ante haec A isque solus habet καὶ ἔλαβον εἰς θάρσος, fortasse κ. ἔβαλον εἰς ἐσχάρας corrigenda | C om καὶ προσεκύνησαν | τῶν ἁγίων c. C .. A om

Digitized by Google

[34] Καὶ αὖθις ἰδοὺ ἐγὼ Εὔα δύο μεγάλα καὶ φοβερὰ μυστήρια ἑστῶτα ἐνώπιον τοῦ θεοῦ. καὶ ἔκλαυσα ἐκ τοῦ φόβου, καὶ ἐβόησα πρὸς τὸν υἱόν μου Σὴθ λέγουσα· ἀνάστα Σὴθ ἐκ τοῦ σώματος τοῦ πατρός σου Ἀδὰμ καὶ ἐλθὲ ἕως ἐμοῦ, ὅπως ἴδῃς ἃ οὐκ εἶδεν ὀφθαλμός ποτε τινός, [καὶ δέονται ὑπὲρ τοῦ πατρός σου Ἀδάμ].

[35] Τότε ἀνέστη Σὴθ καὶ ἦλθεν πρὸς τὴν μητέρα αὐτοῦ, καὶ λέγει αὐτῇ· τί σοί ἐστιν; καὶ διὰ τί κλαίεις; λέγει αὐτῷ· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε τὰ ἑπτὰ στερεώματα ἀνεῳγμένα, καὶ ἴδε τοῖς ὀφθαλμοῖς σου πῶς κεῖται τὸ σῶμα τοῦ πατρός σου ἐπὶ πρόσωπον, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ εὐχόμενοι ὑπὲρ αὐτοῦ καὶ λέγοντες· συγχώρησον αὐτῷ, ὁ πατὴρ τῶν ὅλων, ὅτι εἰκών σου ἐστίν. ἄραγε, τέκνον μου Σήθ, τί ἔσται τοῦτο; πότε δὲ παραδοθήσεται εἰς τὰς χεῖρας τοῦ ἀοράτου πατρὸς καὶ θεοῦ ἡμῶν; τίνες δέ εἰσιν οἱ δύο αἰθίοπες οἱ παριστάμενοι ἐπὶ τὴν προσευχὴν τοῦ πατρός σου; [36] Λέγει δὲ Σὴθ τῇ μητρὶ αὐτοῦ· οὗτοί εἰσιν ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ αὐτοὶ προσπίπτοντες καὶ προσευχόμενοι ὑπὲρ τοῦ πατρός μου Ἀδάμ. λέγει αὐτῷ ἡ Εὔα· καὶ ποῦ ἐστὶν τὸ φῶς αὐτῶν, [καὶ διὰ τί γεγόνασιν μελανοειδεῖς]; καὶ λέγει αὐτῇ Σήθ· οὐ δύνανται φαίνειν ἐνώπιον τοῦ φωτὸς τῶν ὅλων, καὶ τούτου χάριν ἐκρύβη τὸ φῶς ἀπ' αὐτῶν.

---

34 Καὶ αὖθις etc c. A . . C ἐγὼ δὲ ἡ Εὔα ἰδον δύο μυστ. μεγ. κ. φοβ. | καὶ ἔκλαυσα etc c. A .. C καὶ κλαύσασα ἐκ τ. φ. ἐβ. -- μου τὸν Σὴθ etc | ἕως ἐμοῦ c. A .. C πρός με | ὅπως ἴδῃς -- τινός c. A .. C καὶ θεάσει ἃ οὐκ ἴδεν ὀφθαλμός τινος καὶ δέονται -- σου Ἀδάμ: ita A, C om

35 Τί σοι etc c. A .. C Τί κλαίεις; καὶ λέγει αὐτῷ· ἀνάβλ. καὶ ἴδε τοῖς ὀφθ. σ. πῶς κεῖται τὸ σῶμ. τοῦ πα. σου ἐπὶ πρόσωπ. καὶ πάντες οἱ ἄγγ. εὔχονται ὑπ' (corrige ὑπὲρ) αὐτοῦ etc | συγχ. αὐτῷ: ita C, A συγχ. αὐτόν | ἄραγε: ita C, A ἄρα | τί ἔσται -- καὶ θεοῦ ἡμῶν cum C .. A om | τίνες δέ εἰσιν etc cum C .. A οἱ δύο -- τοῦ πατρ. σου τίνες εἰσίν

36 λέγει δέ cum A .. C καὶ λέγ. ὁ | καὶ διὰ τί γεγ. μελ. cum A .. C om καὶ λέγ. α. Σὴθ cum A .. C λέγ. αὐτῇ | Οὐ δύνανται (B δύναται) -- ὅλων .. A praem οὐκ ἀπέστη τὸ φῶς αὐτῶν, ἀλλ', post ὅλων vero pergit sic: τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν, quibus verbis ipse libellus abruptum in modum finitur. In iis igitur quae sequuntur solum codicem C ducem secuti sumus, nisi quod extrema etiam e cod. D exscripta habuimus, quem cum C cod. magis quam cum A convenire in promtu est. | ἀπ' αὐτῶν: cod. ἐπ' αὐτόν

Digitized by Google

[37] Λέγοντος δὲ τοῦ Σὴθ πρὸς τὴν μητέρα αὐτοῦ ἐσάλπισαν οἱ ἄγγελοι ἐπ' ὄψεσι κείμενοι, καὶ ἐβόησαν φωνὴν φοβερὰν λέγοντες· εὐλογημένη ἡ δόξα κυρίου ἐπὶ τῶν ποιημάτων αὐτοῦ· ἠλέησεν τὸ πλάσμα τῶν χειρῶν αὐτοῦ Ἀδάμ. ὅταν διεφώνησαν ταῦτα οἱ ἄγγελοι, ἦλθεν εἷς ἐκ τῶν Σεραφὶμ ἑξαπτερύγων καὶ ἥρπασεν τὸν Ἀδὰμ εἰς τὴν ἀχέρουσαν λίμνην καὶ ἀπέπλυνεν αὐτὸν ἐνώπιον τοῦ θεοῦ. ἐποίησεν δὲ ὥρας τρεῖς κείμενος, καὶ οὕτως ἁπλώσας τὰς χεῖρας αὐτοῦ ὁ τῶν ὅλων δεσπότης καθήμενος ἐπὶ τοῦ ἁγίου θρόνου αὐτοῦ ἦρεν τὸν Ἀδὰμ καὶ παρέδωκεν αὐτὸν τῷ ἀρχαγγέλῳ Μιχαήλ, λέγων αὐτῷ· ἆρον αὐτὸν εἰς τὸν παράδεισον ἕως τρίτου οὐρανοῦ, καὶ ἄφες κἀκεῖσε ἕως τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης καὶ φοβερᾶς, ἣν μέλλω οἰκονομῆσαι εἰς τὸν κόσμον. καὶ λαβὼν αὐτὸν Μιχαὴλ ὁ ἀρχάγγελος τὸν Ἀδὰμ ἀπῆγεν καὶ κατήλειψεν αὐτόν, καθὼς εἶπεν αὐτῷ ὁ θεὸς ἐπὶ τῇ συγχωρήσει τοῦ Ἀδάμ.

[38] Μετὰ οὖν ταῦτα πάντα ἐδεήθη ὁ ἀρχάγγελος περὶ τῆς κηδείας τοῦ λειψάνου· καὶ προσέταξεν ὁ θεὸς ἵνα συνέλθωσιν πάντες οἱ ἄγγελοι ἐνώπιον αὐτοῦ, ἕκαστος κατὰ τάξιν αὐτοῦ. καὶ συνήχθησαν ἅπαντες οἱ ἄγγελοι, οἱ μὲν ἔχοντες θυμιατήρια, οἱ δὲ σάλπιγγας· καὶ κύριος στρατιῶν ἐπέβη, οἱ δὲ ἄνεμοι ἦλκον αὐτόν, καὶ Χερουβὶμ ὑπερέχοντα τοῖς ἀνέμοις καὶ ἄγγελοι οἱ τοῦ οὐρανοῦ προηγοῦντο αὐτῷ· καὶ ἐλθόντες ὅπου ἦν τὸ σῶμα τοῦ Ἀδάμ, ἔλαβον αὐτό. καὶ ἦλθον εἰς τὸν παράδεισον, καὶ ἐκινήθησαν πάντα τὰ φυτὰ τοῦ παραδείσου, ὡς πάντας ἀπὸ τοῦ Ἀδὰμ γεγεννημένους ἀπὸ τῆς εὐωδίας νυστάξαι, χωρὶς τοῦ Σήθ, διὰ τὸ γεννηθῆναι αὐτὸν καθ' ὅρον τοῦ θεοῦ.

---

[37] αὐτοῦ· ἠλέησεν: cod. αὐτοῦ· οὗ ἠλ. | εἰς: non est in codice | ἀχέρουσαν; ita coniecimus scribendum esse pro γερουσίας, quod in codice esse dicitur. Poterat etiam scribi ἀχερουσιάδα. Illud vero similiter in apocalypsi Pauli legitur, ubi sect. 22. est: ὅταν δὲ μετανοήσῃ καὶ μεταστᾷ τοῦ βίου, παραδίδοται τῷ Μιχαήλ, καὶ βάλλουσιν αὐτὸν εἰς τὴν ἀχέρουσαν λίμνην etc. | ὥρας: ita cod. a secunda manu habet pro ἡμέρας, quod est a prima. | οὕτως: cod. οὕτος | ἄφες κἀκεῖσε: cod. ἀφεὶς κακῆσαι | ἣν μέλλω οἰκονομῆσαι: cod. κύριος (in ipso cod. scriptum videtur κσ, idque ex ἣν ortum) μέλω ποιήσω οἰκονομ. | κατήλειψεν: ita cod. (-λιψεν)

[38] κηδείας: ita coniecimus pro καρδίας, quod codicem habere relatum est | οἱ μέν: in cod. μὲν deest | σάλπιγγας: in cod. -γγες | στρατιῶν ἐπέβη: ita scripsimus pro στρατειῶν ἐπαίβειν | οἱ δὲ: cod. καὶ δὲ | ὑπερέχοντα: cod. ὑπέχοντα

Digitized by Google

[39] Ἔκειτο οὖν τὸ σῶμα τοῦ Ἀδὰμ ἐπὶ τὴν γῆν ἐν τῷ παραδείσῳ, καὶ ἐλυπεῖτο ὁ Σὴθ σφόδρα ἐπ' αὐτῷ. καὶ λέγει κύριος ὁ θεός· Ἀδάμ, τί τοῦτο ἐποίησας; εἰ ἐφύλαξας τὴν ἐντολήν μου, οὐκ ἂν ἔχαιρον οἱ κατάγοντές σε εἰς τὸν τόπον τοῦτον. πλὴν σὺν λέγω σοι ὅτι τὴν χαρὰν αὐτῶν ἐπιστρέψω εἰς λύπην, τὴν δὲ σοῦ λύπην ἐπιστρέψω εἰς χαράν, καὶ ἐπιστρέψας καθίσω σε εἰς τὴν ἀρχήν σου ἐπὶ τὸν θρόνον τοῦ ἀπατήσαντός σε· ἐκεῖνος δὲ βληθήσεται εἰς τὸν τόπον τοῦτον, ὅπως ᾖ καθήμενος ἐπάνω αὐτοῦ. τότε κατακριθήσεται αὐτὸς καὶ οἱ ἀκούσαντες αὐτοῦ, καὶ πολλὰ λυπηθήσονται καὶ κλαύσουσιν ὁρῶντές σε καθήμενον ἐπὶ τοῦ τιμίου αὐτοῦ θρόνου.

[40] Καὶ τότε ἐλάλησεν τῷ ἀρχαγγέλῳ Μιχαήλ· ἄπελθε εἰς τὸν παράδεισον ἐν τῷ τρίτῳ οὐρανῷ καὶ ἔνεγκέ μοι σινδόνας τρεῖς βυσσίνας καὶ συρικάς. καὶ εἶπεν ὁ θεὸς τῷ Μιχαήλ, τῷ Γαβριήλ, τῷ Οὐριὴλ καὶ Ῥαφαήλ· σκεπάσατε μετὰ τῶν σινδόνων τὸ σῶμα τοῦ Ἀδάμ, καὶ ἐνεγκόντες ἔλαιον τοῦ ἐλαίου τῆς εὐωδίας ἐκχέατε ἐπ' αὐτόν. καὶ οὕτως ποιήσαντες ἐκήδευσαν τὸ σῶμα αὐτοῦ. ἐλάλησεν δὲ κύριος· ἐνεχθήτω καὶ τὸ σῶμα τοῦ Ἄβελ. καὶ ἐνέγκαντες σινδόνας ἑτέρας ἐκήδευσαν καὶ αὐτόν, ἐπειδὴ ἀκήδευτον ἦν ἀφ' ἧς ἡμέρας ἐφόνευσεν Κάϊν ὁ ἀδελφὸς αὐτοῦ. πολλὰ γὰρ φροντίσας ὁ πονηρὸς Κάϊν κρύψαι, οὐκ ἠδυνήθη· οὐκ ἐδέχετο γὰρ τοῦτο ἡ γῆ λέγουσα· οὐ δέξομαι ἑταῖρον σῶμα. ἕως οὗ τὸ ἐπ' ἐμὲ χῶμα ἀρθὲν καὶ πλασθὲν ἔλθῃ πρὸς ἐμέ. ἄγγελοι δὲ τότε ἀναλαβόμενοι αὐτὸ ἔθεντο ἐπὶ τῇ πέτρᾳ, ἕως οὗ ἀπέθανεν ὁ πατὴρ αὐτοῦ, καὶ ἀμφότεροι ἐτάφησαν κατὰ πρόσταξιν θεοῦ εἰς τὰ μέρη τοῦ παραδείσου, εἰς τὸν τόπον ἐν ᾧ εὗρεν τὸν χοῦν ὁ θεός. καὶ ἀπέστειλεν ὁ θεὸς ἑπτὰ ἀγγέλους εἰς παράδεισον, καὶ ἤγαγον εὐωδίας πολλὰς καὶ ἐτίθουν αὐτὰς ἐν τῇ γῇ·

---

[39] Per has ultimas libelli sectiones plura confusa et interpolata esse videntur. Ad quae corrigenda codicem D aliquando facturum esse sperare licet. Nunc quidem quae in codice C inventa sunt, quamvis vitiosa edenda duximus. ἐπὶ τ. γῆν ἐν τῷ παραδείσῳ: sic | ὅπως ᾖ καθήμενος: codex ὅποσοι καθήμενον. Dubitabam utrum ᾖς an ᾖ darem.

[40] ἔλαιον τοῦ ἐλαίου: cod. ἔλ. καὶ τοῦ ἐλ. | δὲ post ἐλάλησεν· cod. om | Ἐνεχθήτω: cod. -χθητε | πολλὰ γὰρ φροντίσας: cod. πολλὰ γράφων τίσας | οὐκ ἠδυνήθη: cod. οὔκουν ἠδυνήθην | γὰρ post ἐδέχετο: cod. om | ἑταῖρον: sic cod., non ἕτερον

καὶ οὕτως ἔλαβον τὰ δύο σώματα καὶ ἔθαψαν αὐτὰ εἰς τὸν τόπον ὃν ὤρυξαν καὶ οἰκοδόμησαν.

41 Ἐκάλεσεν δὲ ὁ θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν· Ἀδὰμ Ἀδάμ; καὶ ἀποκριθὲν τὸ σῶμα ἐκ τῆς γῆς εἶπεν· ἰδοὺ ἐγώ, κύριε. καὶ λέγει αὐτῷ ὁ κύριος· εἰπόν σοι ὅτι γῆ, καὶ εἰς γῆν ἀπελεύσει πάλιν· τὴν ἀνάστασιν ἐπαγγέλλομαί σοι· ἀναστήσω σε ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἐν τῇ ἀναστάσει μετὰ παντὸς ἀνθρώπου τοῦ ἐκ τοῦ σπέρματός σου.

42 Μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐποίησεν ὁ θεὸς σφραγῖδα τρίγωνον καὶ ἐσφράγισε τὸ μνημεῖον, ἵνα μηδείς τι ποιήσῃ αὐτῷ ἐν ταῖς ἓξ ἡμέραις, ἕως οὗ ἀποστράφῃ ἡ πλευρὰ αὐτοῦ πρὸς αὐτόν. παραθέντος δὲ τοῦ φιλανθρώπου θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων εἰς τὸν τόπον αὐτοῦ μετὰ τὰς ἓξ ἡμέρας ἐτελεύτησεν καὶ ἡ Εὔα. ζώσης δὲ αὐτῆς ἔκλαυσε περὶ τῆς κοιμήσεως αὐτῆς διὰ τὸ μὴ γινώσκειν ποῦ μέλλοι τεθῆναι τὸ σῶμα αὐτῆς. παρόντος γὰρ τοῦ κυρίου ἐν τῷ παραδείσῳ ὅτε ἐκήδευσαν τὸν Ἀδάμ, ἐκοιμᾶτο καὶ αὐτὴ καὶ οἱ παῖδες αὐτῆς πλὴν τοῦ Σήθ, ὡς ἔφην. παρεκάλεσεν δὲ ἡ Εὔα ἐν τῇ ὥρᾳ τῆς τελευτῆς αὐτῆς ὡς ἵνα ταφῇ ὅπου ἦν Ἀδὰμ ὁ ἀνὴρ αὐτῆς, λέγουσα οὕτως· δέσποτά μου, κύριε καὶ θεὲ πάσης ἀρετῆς. μὴ ἀπαλλοτριώσῃς με τὴν δούλην σου ἀπὸ τοῦ σώματος Ἀδάμ· ἀπὸ γὰρ τῶν μελῶν αὐτοῦ ἐποίησάς με· ἀλλὰ ἀξίωσόν με, καμὲ τὴν ἀναξίαν καὶ ἁμαρτωλόν, ἐπὶ τὸ σῶμα αὐτοῦ συνταφῆναι. καθὼς καὶ μετ' αὐτοῦ συνήμην ἐν τῷ παραδείσῳ καὶ μετὰ τὴν παράβασιν ἀχώριστος, οὕτως καὶ οὐδείς μὴ χωρίσῃ ἡμᾶς. μετὰ οὖν τὸ εὔξασθαι ἀναβλέψασα εἰς τὸν οὐρανὸν ἀνέστη, τὸ στῆθος αὐτῆς τύπτουσα καὶ λέγουσα· θεὲ τῶν ἁπάντων, δέξαι τὸ πνεῦμά μου. καὶ εὐθέως παρέδωκε τῷ θεῷ τὸ πνεῦμα αὐτῆς.

οἰκοδόμησαν· ita codex

41 ἐπαγγέλλομαι: cod. ἀπαγγ.

42 τὰ ῥήματα· cod om τὰ | ἵνα μηδείς τι ποιήσῃ: cod. ἢν ὁ μηδεὶς τῇ πηήσοι | ἀποστράφῃ: cod. ἀπεστράφοι | παραθέντος ita codex | μετὰ τὰς etc: cod μετὰ τῶν ἓξ ἡμερῶν | περὶ τῆς: cod. παρὰ τῆς | ἐκήδευσαν: cod. -σεν | ὡς ἔφην: in cod. esse relatum mihi est: ὡς ἔφηκεν εἰπεῖν | ὡς ἵνα: ita cod. πάσης ἀρετῆς· sic in cod. | ἀπὸ τοῦ σώματος: cod. habere dicitur εἰσώματος | ἀχώριστος: sic, non -ίστως | ἀνέστη: cod. ἀνέστησε

Digitized by Google

[43] Τελευτησάσῃ δὲ παρεγένετο ὁ ἀρχάγγελος Μιχαήλ, καὶ ἐλθόντων τριῶν ἀγγέλων ἔλαβον τὸ σῶμα αὐτῆς καὶ ἔθαψαν αὐτὸ ὅπου ἦν τὸ σῶμα τοῦ Ἄβελ. καὶ εἶπεν ὁ ἀρχάγγελος Μιχαὴλ πρὸς τὸν Σήθ· οὕτως κήδευσον πάντα ἄνθρωπον ἀποθνήσκοντα ἕως ἡμέραν τῆς ἀναστάσεως. μετὰ δὲ τὸ δοῦναι τοῦτον τὸν νόμον εἶπεν πρὸς αὐτόν· παρ' ἓξ ἡμέρας μὴ πενθήσητε. τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ κατάπαυσον καὶ εὐφράνθητι ἐπ' αὐτῇ, ὅτι ἐν αὐτῇ ὁ θεὸς καὶ ἡμεῖς οἱ ἄγγελοι εὐφραινόμεθα ἐν τῇ μεταστάσῃ ἀπὸ γῆς δικαίᾳ ψυχῇ. ταῦτα εἰπὼν ὁ ἀρχάγγελος Μιχαὴλ ἀνῆλθεν εἰς τὸν οὐρανόν, δοξάζων καὶ λέγων τὸ ἀλληλούϊα, ἅγιος ἅγιος ἅγιος κύριος, εἰς δόξαν θεοῦ πατρός, ὅτι αὐτῷ πρέπει δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

43 καὶ εἶπεν ὁ ἀρχ. -- Σήθ: ita C; D καὶ μετὰ ταῦτα ἐλάλησεν Μιχαὴλ τῷ Σήθ λέγων. Ab hoc enim inde loco notavi codicis D scripturam, quam quidem codici C praestare ex brevi hac textus parte satis apparet. | πάντα ἄνθρ. ἀποθνήσκοντα: ita D; C πᾶν ἄνθρ. ἀποθνῆσκον | ἕως ἡμέραν τῆς: ita D; C om ἡμέραν | μετὰ δὲ -- (τοῦτον τὸν pro αὐτὸν reposuimus) -- παρ' ἓξ ἡμέρας (ita scribendum duximus; ex ipso codice ἡμερῶν descripsimus) μὴ πενθήσητε: ita D; C vero post τῆς ἀναστάσεως nil addit nisi καὶ ἕως ἡμερῶν ς' (ita enim, non ρ' legendum videtur) μὴ πενθήσητε. Idem codex in seqq. omittit quae deesse nequeunt. | τῇ δὲ -- ἐπ' αὐτῇ: ita D; C male om | ἡμεῖς οἱ ἄγγ. cum C; D οἱ ἄγγ. ἡμεῖς | ἐν τῇ μεταστάσῃ -- ψυχῇ cum C; D μετὰ τῆς δικαίας ψυχῆς τῆς μεταστάσης ἀπὸ τῆς γῆς | ταῦτα -- ἀνῆλθεν cum C; D καὶ ταῦτα εἰπ. ὁ ἄγγελος ἀνῆλθεν | τὸ ἀλληλούϊα: D om τό, praeterea nihil addit praeter haec: ᾧ ἡ δόξα, τὸ κράτος εἰς τοὺς (τοὺς in C deest) αἰῶν. τῶν αἰών. ἀμήν.

Digitized by Google

II. APOCALYPSIS ESDRAE.

Λόγος καὶ ἀποκάλυψις τοῦ ἁγίου προφήτου Ἐσδρὰμ καὶ ἀγαπητοῦ τοῦ θεοῦ.

Ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει δευτέρᾳ[1] καὶ εἰκάδι τοῦ μηνὸς ἥμην[2] ἐν τῷ οἴκῳ μου, καὶ ἔκραξα[3] λέγων πρὸς τὸν ὕψιστον· κύριε, δὸς τὴν δόξαν, ἵνα ἴδω[4] τὰ μυστήριά σου. καὶ νυκτὸς γενομένης ἦλθεν ἄγγελος Μιχαὴλ ὁ ἀρχάγγελος, καὶ λέγει μοι· ἄρτι τὸν προφήτην Ἐσδρὰμ[5] ἄφησον ἑβδομάδας ἑβδομήκοντα.[6] καὶ ἐνήστευσα καθὼς εἶπέν μοι. καὶ ἦλθε Ῥαφαὴλ ὁ ἀρχιστράτηγος, καὶ ἔδωκέν μοι ῥάβδον στυρακίνην[7]. καὶ ἐνήστευσα δὶς ἑξήκοντα ἑβδομάδας. καὶ ἴδον τὰ μυστήρια τοῦ θεοῦ καὶ τοὺς ἀγγέλους αὐτοῦ, καὶ εἶπον πρὸς αὐτούς· θέλω δικάσασθαι τὸν θεὸν περὶ τὸ γένος τῶν Χριστιανῶν· καλὸν μὴ γεννηθῆναι τὸν ἄνθρωπον ἢ εἰσελθεῖν[8] ἐν τῷ κόσμῳ. ἀνελήφθην οὖν εἰς τὸν οὐρανόν, καὶ ἴδον ἐν τῷ πρώτῳ οὐρανῷ στρατηγίαν ἀγγέλων μεγάλην, καὶ ἀπήγαγόν με εἰς τὰς κρίσεις. καὶ ἤκουσα[9] φωνῆς λεγούσης μοι·[10] ἐλέησον ἡμᾶς, ἐκλεκτὲ τοῦ θεοῦ, Ἐσδράμ. τότε ἠρξάμην λέγειν· οὐαὶ τοὺς ἁμαρτωλούς, ὅταν ἴδωσιν τὸν δίκαιον

[1] codex δευτέρη [2] ἥμην pro ἕμη dedimus. Videtur una nomen mensis excidisse [3] ἔκραξα: cod. κράξας [4] ἵνα ἴδω: cod. ἵνᾶδω, suprascripto ι super ᾶ [5] ἄρτι τὸν προφήτην ἐσδράμ: ita prorsus codex [6] ante ἑβδομήκοντα, quod ut solet εὐδομήκ. scribitur, supplevimus ἑβδομάδας (εὐδομ. scribi solitum, ut fit etiam in codice paullo post) [7] στυρακίνην: codex στηράκην [8] ἢ εἰσελθεῖν: codex ἡσελθεῖν [9] ἤκουσα: codex ἤκουσαν, ut supra ἐνήστευσαν (priore loco) pro ἐνήστευσα [10] μοι: codex με, item paullo post ἐκλεκτὰ pro ἐκλεκτὲ

Digitized by Google

ὑπὲρ ἀγγέλων, καὶ αὐτοί εἰσιν εἰς τὴν γέενναν τοῦ πυρός. καὶ εἶπεν Ἐσδράμ· ἐλέησον τὰ ἔργα τῶν χειρῶν σου, εὔσπλαγχνε καὶ πολυέλεος· ἐμὲ κρῖνον ὑπὲρ τῶν ψυχῶν τῶν ἁμαρτωλῶν· συμφέρει γὰρ μίαν ψυχὴν κολάσασθαι, καὶ μὴ ὅλον τὸν κόσμον εἰς ἀπώλειαν ὑπάγειν. καὶ εἶπεν ὁ θεός· ἐγὼ τοὺς δικαίους ἀναπαύσωμαι[11] ἐν τῷ παραδείσῳ, καὶ ἐλεήμων καθέστηκα. καὶ εἶπεν Ἐσδράμ· κύριε, τοὺς δικαίους τί χαρίζεις; ὥσπερ γὰρ μίσθιος ἐξυπηρετησάμενος τὸν χρόνον αὐτοῦ ....[12], οὕτως καὶ ὁ δίκαιος ἀπέλαβεν τὸν μισθὸν αὐτοῦ ἐν οὐρανοῖς. ἀλλὰ τοὺς ἁμαρτωλοὺς ἐλέησον· οἴδαμεν γὰρ ὅτι ἐλεήμων εἶ. καὶ εἶπεν ὁ θεός· οὐκ ἔχω πῶς αὐτοὺς ἐλεήσω. καὶ εἶπεν Ἐσδρὰμ ὅτι τὴν ὀργήν σου οὐχ[13] ὑποφέρουσιν. καὶ εἶπεν ὁ θεὸς ὅτι τῶν τοιούτων ταῦτα. καὶ εἶπεν ὁ θεός· θέλω ἔχειν σε ὡς καὶ Παῦλον καὶ Ἰωάννην· σὺ δ.δούς μοι ἀδιάφθορον τὸν ἀσύλητον θησαυρόν, τὸ κειμήλιον τῆς παρθενίας, τὸ τεῖχος τῶν ἀνθρώπων. καὶ εἶπεν Ἐσδράμ· καλὸν τὸ μὴ γεννηθῆναι τὸν ἄνθρωπον, καλὸν τὸ μὴ εἶναι ἐν βίῳ· τὰ ἄλογα κάλλιόν εἰσιν παρὰ τὸν ἄνθρωπον, ὅτι κόλασιν οὐκ ἔχουσιν· ἡμᾶς δὲ ἔλαβες[14] καὶ εἰς κρίσιν παρέδωκας. οὐαὶ τοὺς ἁμαρτωλοὺς ἐν τῷ μέλλοντι αἰῶνι, ὅτι ἀτελεύτητος αὐτῶν ἡ κρίσις καὶ ἡ φλὸξ[15] ἄσβεστος. ταῦτα αὐτῷ λαλοῦντός μου ἦλθεν Μιχαὴλ καὶ Γαβριὴλ καὶ οἱ ἀπόστολοι πάντες, καὶ εἶπον· χαῖρε, πιστὲ τοῦ θεοῦ ἄνθρωπε. καὶ εἶπεν Ἐσδράμ·[16] ἀνάστα καὶ δεῦρο μετ' ἐμοῦ, κύριε, εἰς κρίσιν. καὶ εἶπεν ὁ θεός· ἰδοὺ δίδωμί σοι τὴν διαθήκην μου, ἐμοῦ τε καὶ σοῦ, ἵνα παραδέξητε. καὶ εἶπεν Ἐσδράμ· ἐπὶ τὸ σὸς σου δικασώμεθα. καὶ εἶπεν ὁ θεός· ἐρώτησον Ἀβραὰμ τὸν πατέραν[17] ὑμῶν, ποῖον υἱὸν δικάζεσθαι ἐν πατρί,[18] καὶ δεῦρο δικάζου μεθ' ἡμῶν. καὶ εἶπεν Ἐσδράμ· ζῇ κύριος, οὐ μὴ παύσομαι δικαζόμενός σε ὑπὲρ τὸ γένος τῶν Χριστιανῶν· ποῦ εἰσὶν τὰ ἐλέη σου τὰ ἀρχαῖα, κύριε; ποῦ σου ἡ μακροθυμία; καὶ εἶπεν ὁ θεός· ὡς ἐποίησα νύκτα καὶ ἡμέραν,

---

[11] ἀναπαύσωμαι: ita codex [12] sequitur in codice: καὶ πορεύεται καὶ πάλιν δοῦλος δουλεύσει τοῖς κυρίοις αὐτοῦ ἐπιτυχεῖν. [13] οὐχ: cod. οὐκ, rursus infra (53) [14] ἔλαβες: priores tantum litterae Ἐλ certae sunt; reliquas coniecimus [15] cod. ἡ φλέγα [16] supplevimus καὶ εἶπ. Ἐσδρ., sed etiam plura excidisse videntur [17] ita codex [18] ποῖον υἱὸν etc.: ita codex

Digitized by Google

ἐποίησα τὸν δίκαιον καὶ τὸν ἁμαρτωλόν, καὶ ἔπρεπεν ὡς ὁ δίκαιος πολιτεύεσθαι. καὶ εἶπεν ὁ προφήτης· τὸν πρωτόπλαστον Ἀδὰμ τὸν πρῶτον τίς ἐποίησεν; καὶ εἶπεν ὁ θεός· αἱ χεῖρές μου αἱ ἄχρανται, καὶ ἐθέμην αὐτὸν ἐν τῷ παραδείσῳ φυλάττειν τὴν νομὴν τοῦ ξύλου τῆς ζωῆς· ἔπειτα οὖν παρακοὴν κτησάμενος τοῦτο ἐν παραβάσει πεποίηκεν.[19] καὶ εἶπεν ὁ προφήτης· οὐχὶ ὑπὸ ἀγγέλου ἐφρουρεῖτο; .....[20] ἀλλ' ἐὰν μὴ σὺ ἐδωρήσω αὐτῷ[21] τὴν Εὔαν, οὐ μὴ ἡπάτησεν αὐτὴν ὁ ὄφις· σὺ[22] δὲ ὃν θέλεις σώζεις, καὶ ὃν θέλεις ἀπολεῖς.[23] καὶ εἶπεν ὁ προφήτης· δευτέραν[24] διελθωμεν, κύριέ μου, εἰς κρίσιν. καὶ εἶπεν ὁ θεός· πῦρ βάλλω[25] ἐπὶ Σόδομα καὶ Γόμορρα. καὶ εἶπεν ὁ προφήτης· κύριε, ἀξίως ἐπάγεις[26] ἐφ' ἡμᾶς. καὶ εἶπεν ὁ θεός· αἱ ἁμαρτίαι ὑμῶν ὑπεράγουσιν τὴν χρηστότητάν[27] μου. καὶ εἶπεν ὁ προφήτης· ὑπόμνησον[28] τῶν γραφῶν, ὁ πατήρ μου ὁ ἐκμετρήσας[29] τὴν Ἱερουσαλὴμ καὶ ἀνορθώσας αὐτήν· ἐλέησον, δέσποτα, τοὺς ἁμαρτωλούς· ἐλέησον τὴν σὴν πλάσιν· οἰκτείρησον τὰ ἔργα σου. τότε ἐμνήσθη ὁ θεὸς τῶν ποιημάτων αὐτοῦ, καὶ λέγει πρὸς[30] τὸν προφήτην· πῶς ἔχω αὐτοὺς ἐλεῆσαι;[31] ὄξος καὶ χολὴν με ἐπότισαν, καὶ οὐδὲ τότε[32] ἐμετενόησαν.[33] καὶ εἶπεν ὁ προφήτης· ἀποκάλυψόν σου τὰ Χερουβὶμ καὶ ἔλθωμεν ὁμοῦ εἰς κρίσιν, καὶ δεῖξόν μοι τὴν ἡμέραν τῆς κρίσεως, ποία ἐστίν. καὶ εἶπεν ὁ θεός· ἐπλανήθης, Ἐσδρᾶμ· τοιαύτη γάρ ἐστιν ἡ ἡμέρα τῆς κρίσεως, ἐν ᾗ ὑετὸς ἐπὶ τῆς γῆς οὐ γίνεται·[34] ἐστὶν γὰρ κατὰ τὴν ἡμέραν ἐκείνην ἐλεεινὸν κριτήριον. καὶ εἶπεν ὁ προφήτης· οὐ μὴ παύσομαι δικαζόμενός σε, ἐὰν μὴ ἴδω τὴν ἡμέραν τῆς συντε-

---

[19] cod. ἐπειδὴ οὖν παρακ. κτισάμενος τοῦτον ἐν παραβάσει πεποίηκεν. Horum loco quae reposui dubito an revera locum sanaverint [20] post ἐφρουρεῖτο haec in codice scripta sunt: καὶ εἶπον τῶν (καὶ ὑπὸ τῶν? καὶ ἡ τῶν?) Χερουβὶμ· ζωῇ ἐφυλάττετο· εἰς τὴν (corrige τὸν) ἀτελεύτητον αἰῶνα· καὶ πῶς ὑπατίσῃ (i. e. ἠπατήσῃ) ὁ ἠπ' (i. e. ὑπ') ἀγγέλων φυλαττόμενος(;) ἐκέλεβες (i. e. ἐκέλευες) παραγενέσθαι πάντος (πάντας?) καὶ πρόσεχε τὰ ὑπ' ἐμοῦ λεγόμενα [21] μὴ σὺ ἐδωρ. αὐτῷ: codex μὴ σοὶ ἐδωρ. αὐτὴν [22] σὺ: codex εἰ. Illud aptius videbatur [23] codex ἀπολῆς [24] δευτέραν: sic codex [25] codex βάλω [26] codex ἐπάγῃς. Inde a πῦρ βάλλω textus vix sanus est [27] ita codex, ut supra πατέρα, et infra alia similia [28] ὑπόμνησον: ita dedimus pro codicis scriptura ὑπόμνημα [29] ὁ ἐκμετρήσας: articulum supplevimus [30] πρὸς supplevimus [31] ἐλεῆσαι: codex ἐλεήσω [32] καὶ οὐδὲ τότε: codex καὶ ὡς οὐδὲ τοῦτοι [33] ἐμετενόησαν: sic [34] ἐν ᾗ ὑετὸς etc.: ita haec in codice leguntur

Digitized by Google

λείας. καὶ εἶπεν ὁ θεός·[35] ἐξαρίθμησον τοὺς ἀστέρας καὶ τὴν ἄμμον τῆς θαλάσσης· καὶ εἰ δυνήσει[36] ταύτην ἐξαριθμῆσαι, δύνασαι καὶ μετ' ἐμοῦ δικάζεσθαι. καὶ εἶπεν ὁ προφήτης· κύριε, οἶδας ὅτι σάρκα φορῶ ἀνθρωπίνην, καὶ πῶς δύναμαι ἀριθμῆσαι τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ τὴν ἄμμον τῆς θαλάσσης; καὶ εἶπεν ὁ θεός· προφῆτά μου ἐκλεκτέ, οὐδεὶς ἄνθρωπος γνώσεται τὴν ἡμέραν ἐκείνην τὴν μεγάλην καὶ ἐπιφάνειαν[37] τὴν κατέχουσαν κρῖναι τὸν κόσμον· διὰ σέ, προφῆτά μου, εἰπόν σοι τὴν ἡμέραν, τὴν δὲ ὥραν οὐκ εἰπόν σοι. καὶ εἶπεν ὁ προφήτης· κύριε, εἰπέ μοι καὶ τὰ ἔτη. καὶ εἶπεν ὁ θεός· ἐὰν ἴδω τὴν δικαιοσύνην τοῦ κόσμου, ὅτι ἐπλεόνασεν, μακροθυμήσω ἐπ' αὐτούς· εἰ δὲ μή, ἐκτενῶ τὴν χεῖρά μου καὶ ἀπὸ τῶν τεσσάρων περάτων δράξομαι τὴν οἰκουμένην καὶ συνάξω πάντας εἰς τὴν κοιλάδα τοῦ Ἰωσαφὰτ καὶ ἐξαλείψω τὸ γένος τῶν ἀνθρώπων, καὶ οὐκέτι ἦ κόσμος. καὶ εἶπεν ὁ προφήτης· καὶ πῶς ἔχει δοξάζεσθαι ἡ δεξιά σου; καὶ εἶπεν ὁ θεός· ἐγὼ δοξάζομαι ὑπὸ τῶν ἀγγέλων μου. καὶ εἶπεν ὁ προφήτης· κύριε, εἰ ἐλογίζου ταῦτα, διὰ τί ἔπλασας τὸν ἄνθρωπον; σὺ εἶπας πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν· πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· καὶ ποῦ ἐστὶν ἡ ἐπαγγελία σου; καὶ εἶπεν ὁ θεός· πρῶτον ποιήσω σεισμὸν εἰς πτῶσιν[38] τετραπόδων καὶ ἀνθρώπων· καὶ ὅταν ἴδητε ὅτι ἀδελφὸς ἀδελφὸν παραδίδει[39] εἰς θάνατον καὶ τέκνα ἐπὶ γονεῖς ἀναστήσονται καὶ γυνὴ τὸν ἄνδρα τὸν ἴδιον καταλιμπάνει[40], καὶ ὅταν ἔθνος πρὸς ἔθνος ἐπαναστῇ ἐν πολέμῳ, τότε γνώσεσθε ὅτι ἐγγύς ἐστιν τὸ τέλος. τότε οὖν οὔτε ἀδελφὸς ἀδελφὸν ἐλεεῖ οὔτε ἀνὴρ γυναῖκα, οὐ τέκνα γονεῖς, οὐ φίλοι φίλους, οὐ δοῦλος τὸν κύριον· αὐτὸς ἀναβήσεται γὰρ ὁ ἀντικείμενος τοῖς ἀνθρώποις ἀπὸ τῶν ταρτάρων καὶ ἐνδείξεται πολλὰ τοῖς ἀνθρώποις.[41] τί σε ποιῶ, Ἔσδρά, καὶ δικάζῃ μετ' ἐμοῦ; καὶ εἶπεν ὁ προφήτης· κύριε, οὐ μὴ παύσομαι τοῦ δικάζεσθαί σε. καὶ εἶπεν ὁ θεός· ἐξαρίθμη-

---

35 καὶ εἶπεν ὁ θεός: haec supplevimus 36 δυνήσει: sic, sed pro εἰ quod praecedit ἦ scriptum est 37 καὶ ἐπιφάνειαν (codex -άνιαν): sic, non ut suspicari possis καὶ ἐπιφανῆ 38 σεισμὸν εἰς πτῶσιν: codex σεισμοῦ πτῶσιν 39 παραδίδει: codex παραδίδη 40 codex καταλυμπάννει 41 haec sic in codice

σαι[42] τὰ ἄνθη τῆς γῆς· εἰ ταῦτα δυνήσει[43] ἐξαριθμῆσαι, δύνασαι καὶ μετ' ἐμοῦ δικάζεσθαι. καὶ εἶπεν ὁ προφήτης· κύριε, οὐ δύναμαι ἐξαριθμῆσαι, σάρκα ἀνθρωπίνην φορῶ· ἀλλ' οὐδὲ παύσομαι δικαζόμενός σε. θέλω, δεσπότα, ἰδεῖν καὶ τὰ κατώτερα μέρη τοῦ ταρτάρου. καὶ εἶπεν ὁ θεός· κάτελθε καὶ ἴδε. καὶ ἔδωκέν μοι Μιχαὴλ καὶ Γαβριὴλ καὶ ἄλλους τριάκοντα τέσσαρας ἀγγέλους, καὶ κατέβην ὀγδοήκοντα καὶ πέντε βαθμούς, καὶ κατήγαγόν με κάτω βαθμοὺς πεντακοσίους, καὶ ἴδον πύρινον θρόνον, καὶ ἐπ' αὐτὸν καθεζόμενον γέροντα, καὶ ἀνίλεως αὐτοῦ ἡ κρίσις. καὶ εἶπον πρὸς τοὺς ἀγγέλους· τίς ἐστιν οὗτος, καὶ τί τὸ ἁμάρτημα αὐτοῦ; καὶ εἰπόν μοι· οὗτος ὁ Ἡρώδης ἐστὶν ὁ πρὸς καιρὸν γενόμενος βασιλεύς, καὶ ἀπὸ διετοῦς καὶ κατώτερον ἐκέλευσεν ἀνελεῖν τὰ βρέφη. καὶ εἶπον ἐγώ· οὐαὶ τὴν ψυχὴν αὐτοῦ. καὶ πάλιν κατήγαγόν με βαθμοὺς τριάκοντα, καὶ ἴδον ἐκεῖ βράσματα πυρός, καὶ ἐν αὐτοῖς πλῆθος ἁμαρτωλῶν, καὶ τὴν φωνὴν αὐτῶν ἤκουον, τὰς δὲ μορφὰς οὐκ ἔβλεπον. καὶ κατήγαγόν με κατώτερον βαθμοὺς πολλούς, οὓς οὐκ ἠδυνήθην μετρῆσαι. καὶ ἴδον ἐκεῖ ἀνθρώπους γεραιούς, καὶ στρόφιγγες πυρώμενοι εἰς τὰ ὦτα αὐτῶν στρεφόμενοι. καὶ εἶπον· τίνες οὗτοι, καὶ τί τὸ ἁμάρτημα αὐτῶν; καὶ εἰπόν μοι· οὗτοί εἰσιν οἱ παρακρουταί. καὶ κατήγαγόν με πάλιν ἄλλους πεντακοσίους βαθμούς, καὶ ἴδον ἐκεῖ τὸν σκώληκα τὸν ἀκοίμητον καὶ πῦρ κατακαῖον τοὺς ἁμαρτωλούς. καὶ κατήγαγόν με εἰς τὸ ἔδαφος τῆς ἀπωλείας, καὶ ἴδον ἐκεῖ τὸ δωδεκάπληγον τῆς ἀβύσσου. καὶ ἀπήγαγόν με ἐπὶ τὴν μεσημβρίαν, καὶ ἴδον ἐκεῖ ἄνθρωπον κρεμάμενον ἐκ τῶν βλεφάρων, καὶ οἱ ἄγγελοι ἐμάστιζον αὐτόν. καὶ ἐπηρώτησα· τίς ἐστιν οὗτος, καὶ τί τὸ ἁμάρτημα αὐτοῦ: καὶ εἰπέν μοι Μιχαὴλ ὁ ἀρχιστράτηγος· οὗτος μητροκοίτης ἐστίν· μικρὸν θέλημα πράξας ἐκελεύσθη οὗτος κρεμασθῆναι. καὶ ἀπήγαγόν με ἐπὶ βορρᾶν, καὶ ἴδον ἐκεῖ ἄνθρωπον σιδηροῖς μοχλοῖς κατεχόμενον. καὶ ἐπερώτησα· τίς ἐστιν οὗτος; καὶ εἰπέν μοι· οὗτός ἐστιν ὁ λέγων· ἐγώ εἰμι ὁ υἱὸς τοῦ θεοῦ καὶ τοὺς λίθους ἄρτους ποιήσας καὶ τὸ

---

[42] ἐξαρίθμησαι: sic in codice. Supra ἐξαρίθμησον [43] scripsimus δυνήσει, ut supra in ipso codice scriptum est. Hoc vero loco codex praebet δινῆσοι, unde δυνῇ σύ, δυνήσῃ, δυνήσει pari iure effici licet

ὕδωρ οἶνον. καὶ εἶπεν ὁ προφήτης· κύριε, γνώρισόν μοι ποῖον σχῆμά ἐστιν, κἀγὼ παραγγέλλω τὸ γένος τῶν ἀνθρώπων, ἵνα μὴ πιστεύσωσιν αὐτῷ. καὶ εἶπέν μοι· τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ὡσεὶ ἀγροῦ·[44] ὁ ὀφθαλμὸς αὐτοῦ ὁ δεξιὸς ὡς ἀστὴρ τὸ πρωῒ ἀνατέλλων, καὶ ὁ ἕτερος ἀσάλευτος· τὸ στόμα αὐτοῦ πῆχυς μία· οἱ ὀδόντες αὐτοῦ σπιθαμιαῖοι· οἱ δάκτυλοι αὐτοῦ ὡς δρέπανα· τὸ ἴχνος τῶν ποδῶν αὐτοῦ σπιθαμῶν δύο· καὶ εἰς τὸ μέτωπον αὐτοῦ γραφή· ἀντίχριστος. ἕως τοῦ οὐρανοῦ ὑψώθη, ἕως τοῦ ἅδου καταβήσει. ποτὲ μὲν γενήσεται παιδίον, ποτὲ γέρων. καὶ εἶπεν ὁ προφήτης· κύριε, καὶ πῶς σὺ ἀφεῖς, καὶ πλανᾶται τὸ γένος τῶν ἀνθρώπων; καὶ εἶπεν ὁ θεός· ἄκουσον, προφητά μου· καὶ παιδίον γίνεται καὶ γέρων, καὶ μηδεὶς αὐτῷ πιστεύει ὅτι ἔστιν ὁ υἱός μου ὁ ἀγαπητός. καὶ μετὰ ταῦτα σάλπιγξ, καὶ τὰ μνημεῖα ἀνοιχθήσονται καὶ οἱ νεκροὶ ἀναστήσονται ἄφθαρτοι· τότε ὁ ἀντικείμενος ἀκούσας τῆς φοβερᾶς ἀπειλῆς κρυβήσεται εἰς τὸ σκότος τὸ ἐξώτερον. τότε ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ θάλασσα ἀπολοῦνται· τότε τὸν οὐρανὸν καύσω πήχας[45] ὀγδοήκοντα καὶ τὴν γῆν πήχας[45] ὀκτακοσίας. καὶ εἶπεν ὁ προφήτης· καὶ ὁ οὐρανὸς τί ἥμαρτεν; καὶ εἶπεν ὁ θεός· ἐπειδὴ ...[46] ἐστὶν τὸ κακόν. καὶ εἶπεν ὁ προφήτης· κύριε, καὶ ἡ γῆ τί ἥμαρτεν; καὶ εἶπεν ὁ θεός· ἐπειδὴ ἀκούσας μου ὁ ἀντικείμενος τῆς φοβερᾶς ἀπειλῆς κρυβήσεται, καὶ διὰ τοῦτο χωνεύσω τὴν γῆν, καὶ σὺν αὐτῇ τὸν ἀνταρτὴν τοῦ γένους τῶν ἀνθρώπων. καὶ εἶπεν ὁ προφήτης· ἐλέησον, δέσποτα, τὸ γένος τῶν Χριστιανῶν. καὶ ἴδον γυναῖκα κρεμαμένην, καὶ τέσσαρα θηρία θηλάζοντα τοὺς μαστοὺς αὐτῆς. καὶ εἰπόν μοι οἱ ἄγγελοι· αὕτη τὸ γάλα ἐφθόνησεν τοῦ δοῦναι, ἀλλὰ καὶ τὰ νήπια ἐν τοῖς ποταμοῖς ἔρριψεν. καὶ ἴδον σκότος δεινὸν καὶ νύκταν οὐκ ἔχουσαν ἄστρα οὐδὲ σελήνην· οὐδὲ ἔστιν ἐκεῖ νέος ἢ παλαιός, οὐδὲ ἀδελφὸς μετὰ ἀδελφοῦ, οὐ μήτηρ μετὰ τέκνου, οὐ γυνὴ μετὰ ἀνδρός. καὶ ἔκλαυσα καὶ εἶπον· ὦ δέσποτα κύριε, ἐλέησον τοὺς ἁμαρτωλούς. καὶ ἐν τῷ λέγειν με ταῦτα ἦλθεν νεφέλη καὶ ἥρπασέν με καὶ ἀπήνεγκέν με πάλιν εἰς τοὺς οὐρανούς. καὶ ἴδον ἐκεῖ πολλὰς κρίσεις, καὶ

---

[44] sic in codice est [45] πήχας bis codex. Eadem scriptura infra in apoc. Joh. [46] in codice est ἐπὸ. Coniicere possis ὑπὸ οὐρανόν. Vix enim ἐπάνω aptum est.

Digitized by Google

ἔκλαυσα[47] πικρῶς, καὶ εἶπον· καλὸν τοῦ μὴ ἐξελθεῖν τὸν ἄνθρωπον ἐκ κοιλίας μητρὸς αὐτοῦ. οἱ δὲ ὄντες ἐν τῇ κολάσει ἔκραξαν λέγοντες· ἀφ' οὗ ἦλθες ὧδε, ἅγιε τοῦ θεοῦ, εὕραμεν ὀλίγην ἄνεσιν. καὶ εἶπεν ὁ προφήτης· μακάριοι οἱ κλαίοντες τὰς ἑαυτῶν ἁμαρτίας. καὶ εἶπεν ὁ θεός· ἄκουσον, Ἐσδρὰμ ἀγαπητέ· ὥσπερ γεωργὸς καταβάλλει τὸν σπόρον τοῦ σίτου ἐν τῇ γῇ, οὕτως καὶ ὁ ἄνθρωπος καταβάλλει τὸ σπέρμα αὐτοῦ ἐν τῇ χώρᾳ τῆς γυναικός· τὸ πρῶτον μὲν σύνολόν ἐστιν, τὸ δεύτερον μὲν ὀγκοῦται,[48] τὸ τρίτον μὲν τριχοῦται, τὸ τέταρτον μὲν ὀνυχοῦται, τὸ πέμπτον μὲν ἀπογαλακτοῦται, καὶ τὸ ἕκτον μὲν ἕτοιμον[49] γίνεται καὶ λαμβάνει τὴν ψυχήν, τὸ ἕβδομον παρασκευάζεται, τὸ ἔνατον ἀνοίγονται τὰ κλεῖθρα τοῦ πυλῶνος τῆς γυναικὸς καὶ γεννᾶται ὑγιὴς εἰς τὴν γῆν. καὶ εἶπεν ὁ προφήτης· κύριε, καλὸν τοῦ μὴ γεννηθῆναι τὸν ἄνθρωπον· σὺ δὲ τὸ γένος τὸ[50] ἀνθρώπινον τότε, ὅταν εἰς κρίσιν ἔλθῃς. καὶ εἶπον πρὸς τὸν δεσπότην· κύριε, τί ἔπλασας τὸν ἄνθρωπον καὶ εἰς κρίσιν παρέδωκας; καὶ εἶπεν ὁ θεὸς ὑψηλῷ τῷ κηρύγματι· οὐ μὴ ἐλεήσω τοὺς παρερχομένους τὴν διαθήκην μου. καὶ εἶπεν ὁ προφήτης· κύριε, ποῦ ἐστὶν ἡ ἀγαθότης σου; καὶ εἶπεν ὁ θεός· ἐγὼ πάντα κατεσκεύασα διὰ τὸν ἄνθρωπον, καὶ ὁ ἄνθρωπος τὰς ἐντολάς μου οὐ φυλάττει. καὶ εἶπεν ὁ προφήτης· κύριε, ἀποκάλυψόν μοι τὰς κρίσεις καὶ τὸν παράδεισον. καὶ ἀπήγαγόν με οἱ ἄγγελοι κατὰ ἀνατολάς, καὶ ἴδον τὸ φυτὸν τῆς ζωῆς. καὶ ἴδον ἐκεῖ τὸν Ἐνὼχ καὶ Ἠλίαν καὶ Μωϋσῆ καὶ Πέτρον καὶ Παῦλον καὶ Λουκᾶν καὶ Ματθείαν[51] καὶ ὅλους τοὺς δικαίους καὶ τοὺς πατριάρχας. καὶ ἴδον ἐκεῖ τοῦ ἀέρος τὴν κόλασιν[52] καὶ τὴν πνοὴν τῶν ἀνέμων καὶ τὰς ἀποθήκας τῶν κρυστάλλων καὶ τὰς αἰωνίους κρίσεις. καὶ εἶδον ἐκεῖ ἄνθρωπον κρεμάμενον ἐκ τοῦ κρανίου. καὶ εἶπόν μοι· οὗτος ὄρους μετέθηκεν. καὶ εἶδον ἐκεῖ μεγάλα κριτήρια. καὶ εἶπον πρὸς τὸν δεσπότην· ὦ δέσποτα κύριε, καὶ τίς ἄρα ἄνθρωπος γεννηθεὶς οὐχ ἥμαρτε;[53] καὶ κατήγαγόν με κατώτερον ἐν ταρτάροις, καὶ

---

[47] codex κλέουσα [48] τὸ δεύτερον μὲν pro τὸδὲτεμὸν, quod in codice est, reposuimus. Sequitur οὐχοῦτε, unde ὀγκοῦται fecimus [49] ἕτοιμον: codex αἵτιμον [50] τὸ γένος τὸ ἀνθρώπινον: τὸ γένος supplevimus [51] ita codex [52] κόλασιν: ita codex, sed vix recte [53] οὐχ ἥμαρτε: in codice scriptum est οὐχήματε. Prae-

Digitized by Google

ἴδον πάντας θρηνοῦντας καὶ κλαίοντας καὶ κακὸν πένθος[54] τοὺς ἁμαρτωλούς. ἔκλαυσα κἀγὼ ὁρῶν τὸ γένος τῶν ἀνθρώπων οὕτως κολαζομένους. τότε λέγει μοι ὁ θεός· γινώσκεις, Ἐσδράμ, τὰ ὀνόματα τῶν ἀγγέλων τῶν ἐπὶ τῆς συντελείας; Μιχαήλ· Γαβριήλ· Οὐριήλ· Ῥαφαήλ· Γαβουθελῶν· Ἀκήρ· Ἀρφουγιτόνος·[55] Βεβουρός· Ζεβουλεῶν. τότε ἦλθεν φωνὴ πρός με· δεῦρο τελεύτα, Ἐσδράμ, ἀγαπητέ μου· δὸς[56] τὴν παρακαταθήκην. καὶ εἶπεν ὁ προφήτης· καὶ πόθεν τὴν ψυχήν μου ἔχετε ἐξενεγκεῖν; καὶ εἶπον οἱ ἄγγελοι· διὰ τοῦ στόματος ἔχομεν ἐκβαλεῖν αὐτήν. καὶ εἶπεν ὁ προφήτης· στόμα πρὸς στόμα ἐλάλουν τοῦ θεοῦ, καὶ οὐκ ἐξέρχεται ἔνθεν. καὶ εἶπον οἱ ἄγγελοι· διὰ ῥινῶν σου ἐξενέγκωμεν αὐτήν. καὶ εἶπεν ὁ προφήτης· αἱ ῥῖνές μου ὠσφράνθησαν τὴν δόξαν τοῦ θεοῦ. καὶ εἶπον οἱ ἄγγελοι· διὰ τῶν ὀφθαλμῶν σου ἔχομεν αὐτὴν ἐξενέγκαι. καὶ εἶπεν ὁ προφήτης· οἱ ὀφθαλμοί μου ἴδον τὰ ὀπίσθια τοῦ θεοῦ. καὶ εἶπον οἱ ἄγγελοι· διὰ τὴν κορυφήν σου ἔχομεν αὐτὴν ἐξενέγκαι. καὶ εἶπεν ὁ προφήτης· μετὰ Μωσῆ καὶ ἐν τῷ ὄρει ἐπεριπάτησα,[57] καὶ οὐκ ἐξέρχεται ἔνθεν. καὶ εἶπον οἱ ἄγγελοι· διὰ τῶν ἀκρωνύχων σου ἔχομεν αὐτὴν ἐκβαλεῖν. καὶ εἶπεν ὁ προφήτης· καὶ οἱ πόδες μου ἐν τῷ θυσιαστηρίῳ περιεπάτησαν. καὶ ἀπῆλθον οἱ ἄγγελοι ἄπρακτοι, λέγοντες· κύριε, οὐ δυνάμεθα παραλαβεῖν τὴν ψυχὴν αὐτοῦ. τότε λέγει πρὸς τὸν μονογενῆ αὐτοῦ υἱόν· κάτελθε, υἱέ μου ἀγαπητέ, μετὰ στρατιὰν ἀγγέλων πολλὴν λαβὼν τὴν ψυχὴν τοῦ ἀγαπητοῦ μου Ἐσδράμ. λαβὼν γὰρ ὁ κύριος στρατιὰν ἀγγέλων πολλὴν λέγει τῷ προφήτῃ· δός μοι παρακαταθήκην ἣν παρεθέμην σοι· ὁ στέφανός σοι ἡτοίμασται. καὶ εἶπεν ὁ προφήτης· κύριε, ἐὰν ἄρῃς τὴν ψυχήν μου ἀπ' ἐμοῦ, τίς σοι λείψει δικάζεσθαι ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων; καὶ εἶπεν ὁ θεός· θνητὸς ὢν καὶ ἐκ γῆς μὴ δικάζου μου.[58] καὶ εἶπεν ὁ προφήτης· οὐ μὴ παύσωμαι δικαζόμενος. καὶ εἶπεν ὁ θεός· δὸς τέως τὴν παρακαταθήκην· ὁ στέφανός σοι ἡτοίμασται· δεῦρο τελεύτα,

---

stabat, opinor, οὐχ ἥμαρτε quam οὐ κοιμᾶται reponere. [54] sic singula. Possit ad πένθος suppleri πενθοῦντας. [55] ἀρφουγιτόνος: super o secundum ω notatum est. [56] δός. codex δούς [57] ἐπεριπάτησα hoc loco; sed paullo post περιεπάτησαν [58] ita hoc loco. Statim post δικαζόμενός σε

ἵνα ἐπιτύχῃς αὐτοῦ. τότε ἤρξατο λέγειν ὁ προφήτης μετὰ δακρύων· ὦ δέσποτα, τί ὠφέλησα δικαζόμενός σε, καὶ μέλλω εἰς γῆν καταπίπτειν; οἴμμοι, οἴμμοι,[59] ὅτι ὑπὸ σκωλήκων μέλλω ἀναλίσκεσθαι. κλαύσατέ με, πάντες οἱ ἅγιοι καὶ δίκαιοι, τὸν πολλὰ δικασάμενον καὶ θανάτῳ παραδιδόμενον· κλαύσατέ με, πάντες οἱ ἅγιοι καὶ δίκαιοι, ὅτι εἰς τὸ τρύβλιον τοῦ ᾅδου εἰσῆλθον. καὶ εἶπεν αὐτῷ ὁ θεός· ἄκουσον, Ἐσδράμ, ἀγαπητέ μου· ἐγὼ ἀθάνατος ὢν σταυρὸν κατεδεξάμην, ὄξος καὶ χολὴν ἐγευσάμην, ἐν τάφῳ κατετέθην, καὶ τοὺς ἐκλεκτούς μου ἀνέστησα, τὸν Ἀδὰμ ἐκ τοῦ ᾅδου ἀνεκαλεσάμην, ἵνα τῶν ἀνθρώπων τὸ γένος ....[60] μὴ οὖν φοβηθῇς τὸν θάνατον· τὸ γὰρ ἐξ ἐμοῦ, ἤγουν ἡ ψυχή, ἀπέρχεται εἰς τὸν οὐρανόν· τὸ δὲ ἐκ τῆς γῆς, ἤγουν τὸ σῶμα, ἀπέρχεται εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη. καὶ εἶπεν ὁ προφήτης· οἴμμοι, οἴμμοι· τί ποιήσω; τί πράξω; οὐκ οἶδα. καὶ τότε ἤρξατο λέγειν ὁ μακάριος Ἐσδράμ· ὁ θεὸς ὁ αἰώνιος, ὁ πάσης τῆς κτίσεως δημιουργός, ὁ τὸν οὐρανὸν μετρήσας σπιθαμὴν καὶ τὴν γῆν κατέχων δρακήν,[61] ὁ ἡνιοχῶν[62] τὰ Χερουβίμ, ὁ ἅρματι πυρίνῳ εἰς τοὺς οὐρανοὺς ἄρας τὸν προφήτην Ἠλίαν, ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου, ἐπάκουσόν μου τὸν πολλὰ δικασάμενον, καὶ δὸς πᾶσι τοῖς μεταγράφουσιν τὸ βιβλίον τοῦτο καὶ ἔχουσιν αὐτὸ καὶ μνημονεύουσιν τοῦ ὀνόματός μου καὶ ἐπιτελοῦσιν τὴν μνήμην μου, δὸς αὐτοῖς εὐλογίαν οὐρανόθεν· καὶ εὐλόγησον αὐτοῦ[63] πάντα ὥσπερ καὶ τὰ ἔσχατα τοῦ Ἰωσήφ, καὶ μὴ μνησθῇς ἀνομιῶν ἀρχαίων αὐτοῦ ἐν ἡμέρᾳ κρίσεως αὐτοῦ. ὅσοι δὲ μὴ πιστεύσαντες τὸ βιβλίον τοῦτο, κατακαυθήσονται ὡς τὰ Σόδομα καὶ Γόμορρα. καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Ἐσδράμ, ἀγαπητέ μου, πάντα ὅσα ἠτήσω[64] ἀποδώσω ἑνὶ ἑκάστῳ. καὶ εὐθέως παρέδωκεν τὴν τιμίαν αὐτοῦ ψυχὴν μετὰ πολλῆς τιμῆς

---

[59] ita codex; item infra rursus [60] deest verbum, quod vel ad Adamum (ut ἀναγνωρίσῃ) vel ad Christum (ἐλεήσω, σώσω) spectare debebat [61] δρακήν: sic in codice, ut videatur adverbialiter dictum, nisi vitium latet [62] ἡνιοχῶν: codex εἰνίωχως, ut verbum cum substantivo ἡνίοχος confusum videatur. Possit etiam ἡνιοχηκώς conjici. [63] αὐτοῦ in codice est, quemadmodum subsequitur bis αὐτοῦ. Hinc non tam αὐτοὺς quam αὐτὸν corrigendum videtur [64] ἠτήσω: codex αἰτίσω.

Digitized by Google

μηνὶ Ὀκτωβρίῳ εἰς τὰς ιή. καὶ κηδεύσαντες αὐτὸν μετὰ θυμιαμάτων καὶ ψαλμῶν, τὸ τίμιον καὶ ἅγιον αὐτοῦ σῶμα νέμει ζῴοις ψυχῶν καὶ σωμάτων ἀεννάως τοῖς προστρέχουσιν αὐτῷ ἐκ πόθου. ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Digitized by Google

III. APOCALYPSIS PAULI.

[1]Ἀποκάλυψις τοῦ ἁγίου ἀποστόλου Παύλου· ἅπερ αὐτῷ ἀπεκαλύφθη, ἡνίκα ἀνέβη ἕως τρίτου οὐρανοῦ καὶ ἡρπάγη εἰς τὸν παράδεισον καὶ ἤκουσεν ἄρρητα ῥήματα.

[1]Οἰκοῦντός τινος ἀξιωματικοῦ ἐν Ταρσῷ τῇ πόλει εἰς τὴν οἰκίαν τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου ἐπὶ τῆς ὑπατείας Θεοδοσίου τοῦ εὐσεβοῦς βασιλέως καὶ Γρατιανοῦ τοῦ λαμπροτάτου, ἀπεκαλύφθη αὐτῷ ἄγγελος κυρίου λέγων· τὸν θεμέλιον τῆς οἰκίας ταύτης καταλύσας ὅπερ εὑρήσεις ἔπαρον. αὐτὸς δὲ φαντασίαν αὐτῷ γεγονέναι ἡγήσατο. [2]ἐπιμείναντος δὲ τοῦ ἀγγέλου

[1] uterque οικείαν | γρατιανοῦ ex coniectura dedimus; uterque χωντιανοῦ. Apud Syrum verba ἐπὶ τῆς ὑπατείας usque λαμπροτάτου desiderantur. | τὸν θεμέλιον: uterque τὸ θεμ., sed paullo post τὸν θεμ. | εὑρήσεις: uterque ευρησας, quod vix ferendum duximus | γεγονέναι: in utroque deest

[2] ἐπιμείναντος: Monac ἐπειμείναντος, Amb ὑπειμείναντος | ἕως τρίτης ὁράσεως: in Syro est angelum secundo ei apparuisse eumque monuisse ut quod sub domus fundamento inventurus esset id palam faceret filiis hominum ut reverterentur a mala vitae suae via. | γλωσσόκομον: uterque γλωσσότομον | ἔχοντα: sic uterque | μεταγράψας cum Monac; Amb μεταγράψαι | αὐθεντίμιον: ita uterque. Quae hac sectione breviter scripta sunt, Syrus pluribus aucta praebet. Ita tradit in arcula etiam sandalia quibus ille tempore precandi usus esset et pallium apostoli inventa esse. Plurima vero ad piam rei commentationem pertinent, ad probandum, poenitentiae excitandae caussa revelationem Pauli scriptam esse. Pergit enim inde a verbis quae iam adscripsimus hunc in modum: Then that man arose in wrath, and pulled down the building, and dug up the foundation, and found a box of white glass, and in it was that which the saint saw and wrote, namely Paul the apostle, the blessed and divine, with his stockings placed by the side of this Revelation — these stockings he used to wear on his feet at

Digitized by Google

ἕως τρίτης ὁράσεως ἠναγκάσθη ὁ ἀξιωματικὸς καταλῦσαι τὸν θεμέλιον, καὶ σκάψας εὗρεν γλωσσόκομον μαρμάρινον ἔχοντα τὴν ἀποκάλυψιν ταύτην, καὶ λαβὼν αὐτὴν ὑπέδειξεν τῷ ἄρχοντι τῆς πόλεως. ὁ δὲ ἄρχων ἰδὼν αὐτὸ κατησφαλισμένον μολύβδῳ ἀπέστειλεν τῷ βασιλεῖ Θεοδοσίῳ, εὐλαβούμενός τι ἕτερον εἶναι· ὅπερ δεξάμενος ὁ βασιλεὺς καὶ μεταγράψας ἔπεμψεν ἐν Ἱεροσολύμοις τὸ αὐθεντίμιον γράμμα. ἐγέγραπτο δὲ ἐν αὐτῷ οὕτως.

[3] Ἐγένετο λόγος κυρίου πρός με λέγων· εἰπὲ τῷ λαῷ τού-

---

the time of prayer — and his cloak folded up, with this Revelation. When he found them, he brought them unto a judge, thinking that there was something of gold within it. And he carried it, still sealed, to king Theodosius; and that faithful and righteous king opened it, and he saw thus inscribed: Unto you I say, O sinners, for your sake God descended from heaven, and took a body from the Holy Ghost, and was hung upon a tree, that he might make you free from sin. And I sent unto you my just and righteous servants, that ye might turn unto the way of truth; but some of them ye killed, and some of them ye stoned, while they were preaching unto you the truth. But ye believed not all these. And I gave unto you a sacrament (mystery) for the repentance of life, and ye repented not. Now, understand and behold this Revelation: and repent of your wicked ways, and of everything which is hateful in the world. Now ye see the torments which are recorded in this Revelation; and every one who turneth not to the way of repentance shall be thus tormented. Hitherto ye have said: We have not known. Now, behold, ye see everything which is recorded.

Thus Christ gave this vision unto the great and blessed apostle Paul; who, so long as he was in the world, taught and preached; and now also, in this Revelation, He hath made known unto him that the sons of men should turn through him; after his death by this Revelation should they be instructed. Be astonished, O my beloved, at this man of wonders! How much he loved his Lord! And he concealed not from him even one thing of what took place; not in regard to the righteous, nor in regard to the wicked.

This is the last Testament which our Lord sent to the world by the hand of the father of the Gentiles, Paul the great preacher and blessed Apostle. Woe to every one who meets with it and does not truly understand what is signified by it: he shall have no part in the blessings of the just. But every one that turneth from the evil way and places these warnings before his eyes, will not be allowed to sin and, if he sins and repents, his repentance will be accepted. My brethren, stir up your minds, and see how many blessings and joys those have who do the will of God, and how many sorrows attach to the wicked. Do not transgress in any small word, for our Lord says, in the Gospel, that for every idle word which men shall speak they shall give account in the day of judgment. So order your ways that no idle words may escape from your lips, and be an occasion of stumbling to you. Leguntur autem ista omnia ad finem totius libri praepositis verbis: Atque sic haec apocalypsis inventa est.

[3] uterque προσηγορεία, item εἰ δὲ ἀνθρ. φύσις et παροργίζῃ. Cum priori-

Digitized by Google

τῳ· ἕως πότε ἁμαρτάνετε καὶ προστίθεσθε τῇ ἁμαρτίᾳ καὶ παροργίζετε τὸν θεὸν τὸν ποιήσαντα ὑμᾶς, λέγοντες εἶναι τέκνα τῷ Ἀβραάμ, τὰ δὲ ἔργα τοῦ σατανᾶ πράττοντες, πορευόμενοι ἐν παρρησίᾳ θεοῦ, καυχώμενοι μόνον τῇ προσηγορίᾳ, πτωχοὶ δὲ διὰ τὴν ὕλην τῆς ἁμαρτίας; γνῶτε, υἱοὶ τῶν ἀνθρώπων, ὅτι πᾶσα ἡ κτίσις ὑποτέτακται τῷ θεῷ· ἡ δὲ ἀνθρώπινος φύσις μόνη ἁμαρτάνουσα τὸν θεὸν παροργίζει. [4] πολλάκις γὰρ ὁ μέγας φωστὴρ ὁ ἥλιος προσῆλθεν τῷ θεῷ κατὰ τῶν ἀνθρώπων λέγων· κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἕως τίνος ἀνέχεσαι ἐπὶ πᾶσαν ἁμαρτίαν τῶν ἀνθρώπων; κέλευσόν μοι, καὶ καταφλέξω αὐτούς. καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· ἡ μακροθυμία μου πάντων τούτων ἀνέχεται, ὅπως μετανοήσωσιν· εἰ δὲ μή, ἐλεύσονται πρός με κἀγὼ αὐτοὺς κρινῶ. [5] πολλάκις δὲ καὶ ἡ σελήνη καὶ τὰ ἄστρα προσῆλθον τῷ κυρίῳ λέγοντες· κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἡμῖν δεδωκας τὴν ἐξουσίαν τῆς νυκτός, καὶ οὐκέτι στέγομεν τὰς κλοπὰς καὶ μοιχείας καὶ αἱματοχυσίας τῶν ἀνθρώπων· κέλευσον ἡμῖν, καὶ ποιήσωμεν εἰς αὐτοὺς τέρατα. καὶ ἐγένετο φωνή· ἡ μακροθυμία μου ἀνέχεται αὐτοῖς, ὅπως ἐπιστρέψωσιν· εἰ δὲ μήγε, ἥξουσιν πρός με κἀγὼ αὐτοὺς κρινῶ. [6] ὁμοίως δὲ καὶ ἡ

bus Syrus consentit paene ad verbum. Pro τῷ ἀβραάμ habet dei vivi. Verba τὰ δὲ ἔργα τοῦ σατανᾶ usque ὕλην τῆς ἁμαρτίας in brevius contraxit hunc in modum: sed opera diaboli operamini et ambulatis in mandatis eius. Extrema ἡ δὲ ἀνθρώπινος φύσις etc. perperam his reddita sunt: sed filii hominum dominantur omnibus creaturis, nisi forte interpres Anglus Syriaca male vertit.

[4] Syrus hanc sectionem multis exaggerat. Post ἁμαρτ. τ. ἀνθρώπων addit: fornication and adultery and murder and theft and avarice and oppression? All these the sons of men commit on earth. Verba κέλευσον etc. his reddit: Grant me permission, O Lord, that I may take vengeance upon them and without mercy destroy them by burning flame and make known thy power unto them, that they may understand, that thou only art God the Father of Truth. Vocem vero divinam quae respondet his composuit: I have heard and seen everything and know, and nothing is concealed from me; for my eyes do behold, and my ears do hear; but my goodness and long-suffering bear with them; peradventure they may turn and repent ant their sins be forgiven. And if they do not repent and come unto me, I will judge them with a righteous judgment, and will reward every man according to his deeds.

[5] λέγοντες: ita uterque | στέγομεν: uterque στέγωμεν | μοιχείας: uterque μυχίας | αὐτοῖς: ita Amb et Monac**; Monac* αὐτούς. Haec sectio apud Syrum simili modo legitur atque sectio 4. Male quidem pro ἡμῖν δέδωκας etc. habet: tu solus nosti omnia quae filii hominum committunt, adulterium et homicidium etc.

[6] αὐτοῖς: ita rursus uterque | ἥξωσιν: sic h. l. uterque, praegresso bis ἥξου-

Digitized by Google

θάλασσα ἐβόησεν λέγουσα· κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἐβεβήλωσαν υἱοὶ τῶν ἀνθρώπων τὸ ὄνομά σου τὸ ἅγιον· κέλευσόν μοι, καὶ ἐπαναστᾶσα καλύψω τὴν γῆν καὶ ἐξαλείψω ἀπ' αὐτῆς τοὺς υἱοὺς τῶν ἀνθρώπων. καὶ ἐγένετο φωνὴ λέγουσα· ἡ μακροθυμία μου ἀνέχεται αὐτοῖς, ὅπως μετανοήσωσιν· εἰ δὲ μή, ἥξωσιν πρός με κἀγὼ αὐτοὺς κρινῶ. [7]ὁρᾶτε, υἱοὶ τῶν ἀνθρώπων,

---

σιν. Syrus pro ἡ θάλασσα maria et flumina. Ad τὸ ὄνομά σου τ. ἅγ. addit through their sorcery and their fornication and their lying and their wicked conversations, and by their going astray. Reliqua similiter atque sectiones 4 et 5 exhibet. Addit vero etiam sectionem, qua terra excipit accusationes solis, lunae, maris, ac simile a deo responsum fert. Scripta enim ibi haec sunt: Then also the Earth cried out to God and said: O Lord God, all-powerfull, I am distressed more than all the creatures; I bear up under the sins of men; their adultery and their fornication and their murders and their iniquity and all the wickedness that they do, their sorcery and their witchcraft; as father rises up against his son and slays him, and son against his father; and brother against his brother rises up and defiles his bed; so also neighbour wrongs his neighbour. Even some of those who are called priests and continually offer sacrifices to thy holy name, they also walk in craftiness. I therefore am more oppressed than all the creatures; therefore I am not willing to yield harvests unto them. Grant me permission, O Lord, that I may destroy their harvests, in a manner that they may not bring forth, that they may know thy greatness, after they have been punished. And there came a voice unto it, saying: Everything my eyes behold; and nothing is hidden from me. I bear with them in my long-suffering; and I judge them in my goodness; peradventure they may turn and their sins be forgiven. If they do not repent and come unto me, I will judge with a righteous judgment and reward every man according to his works.

[7] ἡ δὲ etc.: uterque (ut supra) εἰ δὲ et ἁμαρτάνῃ | εὐλογεῖτε: Amb -γείτω| δύνοντος etc.: uterque δύν. τῇ τοῦ ἡλίου | ὅ τι: uterque ἤτι | ἔνδα παροικεῖ καλῶς: ita uterque. Haec sectio apud Syrum sic legitur ut non tantum singula pluribus augeantur, sed etiam passim sit quod differat. Scriptum enim est ita: Look on this, O ye sons of men, and see that everything which God has created has a zeal for him; but the sons of men forget him. It is not proper that we forget the long-suffering of God unto us, every day. Repent, therefore, O sons of men; for the Lord is merciful and of tender compassion; repent of your wicked deeds, and praise God without ceasing, by night and by day. And more especially in the evening and the morning pray on account of your sins, on account of evil temptations and snares; for every creature of God praises him always in the morning; and praise is becoming for him from every one. It is also necessary that we offer unto him good works, every one for himself. Everything that a man does from morning until evening, whether good or bad, the guardian angel goes forth in mourning and sorrow on account of men, unto God, namely he who preserves a mortal from all injuries; for in the image of God is he, wherefore the guardianship of the sons of men is committed to an angel. When the angel sees a mortal committing wickedness, the angel is afraid of him; for all the angels,

Digitized by Google

ὅτι πᾶσα ἡ κτίσις ὑποτέτακται τῷ θεῷ, ἡ δὲ ἀνθρώπινος φύσις μόνη ἁμαρτάνει ἐνώπιον τοῦ θεοῦ. διὰ ταῦτα πάντα εὐλογεῖτε τὸν θεὸν ἀκαταπαύστως, ἔτι δὲ μᾶλλον δύνοντος τοῦ ἡλίου. ἐν αὐτῇ γὰρ τῇ ὥρᾳ πάντες οἱ ἄγγελοι ἔρχονται πρὸς τὸν θεὸν προσκυνῆσαι αὐτῷ, καὶ προσάγουσιν τὰ ἔργα τῶν ἀνθρώπων, ἑκάστου ὅ τι ἔπραξεν ἀπὸ πρωΐ ἕως ἑσπέρας, εἴτε ἀγαθὸν εἴτε πονηρόν. καὶ ὁ μὲν ἄγγελος πορεύεται χαίρων ἐπὶ τὸν ἄνθρωπον, ἔνθα παροικεῖ καλῶς· ἄλλος δὲ πορεύεται σκυθρωπάζων. πάντες οἱ ἄγγελοι τῇ τεταγμένῃ ὥρᾳ ἀπαντῶσιν εἰς προσκύνησιν τῷ θεῷ προσενεγκεῖν ἑκάστης ἡμέρας τὰ ἔργα τῶν ἀνθρώπων. ἀλλ' ὑμεῖς οἱ ἄνθρωποι ἀδιαλείπτως εὐλογεῖτε τὸν κύριον. [8]ὅταν οὖν τῇ τεταγμένῃ ὥρᾳ παραγίνονται οἱ ἄγγελοι οἱ τῶν εὐσεβῶν ἀνδρῶν, χαίροντες καὶ ψάλλοντες ἀπαντῶσιν εἰς προσκύνησιν τῷ κυρίῳ, καὶ ἰδοὺ τὸ πνεῦμα τοῦ θεοῦ πρὸς αὐτούς· πόθεν ἦλθατε χαίροντες; οἱ δὲ ἀποκριθέντες εἶπον· ἀπὸ τῶν εὐσεβῶν ἀνδρῶν πάρεσμεν, οἵτινες ἐν πάσῃ εὐσεβείᾳ τὸν βίον αὐτῶν διάγουσιν, φοβούμενοι τὸ ὄνομα τοῦ θεοῦ. κέλευσον αὐτούς, κύριε, ἕως τέλους μεῖναι ἐν τῇ δικαιοσύνῃ σου. καὶ ἦλθεν πρὸς αὐτοὺς φωνή· καὶ ἐφύλαξα καὶ φυλάξω αὐτοὺς ἀπροσκόπτους ἐν τῇ βασιλείᾳ μου. [9]καὶ ὡς ἐγίνετο αὐτοὺς ἀποστῆναι, ἦλθον ἕτεροι ἄγγελοι

---

guardians of the sons of men, from morning unto morning, go in before God, and everything that a mortal does is known, therefore prayer is appointed at that time, that peradventure at the hour when the angel of the Lord goeth, the mortal may be engaged in prayer; and they present before him the works of man, whatever he doeth, by day and by night. Remember therefore, O ye sons of men, and praise God all your days, and especially at the time when the angels worship. For first do the holy angels run, that they may reach that hour which is appointed to them for service, with their companions and friends; so also we, the sons of men.

[8] παραγίνονται: ita uterque. Item ἐγίνετο. Ceterum Syrus non habet quae huic sectioni respondeant.

[9] λάμπων: ita uterque. Quae sectione nona leguntur, Syrus his expressit: Like (praecesserunt verba the sons of men: vide ad sect. 7.) as the other angels in their time run before God, and his Spirit goeth forth to meet them, and a voice cometh to them: Whence come my armies and my glorious angels, the messengers of glad tidings? and those angels of the righteous enter and say unto him: O Lord, now from holy men, who have come out from the world for thy holy name, have we come: some of them dwell in caves, and others in holes of the earth, weeping and distressed and tormented on account of their sins and the sins of this world; while they are hungry and thirsty for thy name's sake;

Digitized by Google

ἱλαρῷ τῷ προσώπῳ, λάμπων ὡς ἥλιος. καὶ ἰδοὺ φωνὴ πρὸς αὐτούς· πόθεν ἐληλύθατε; καὶ ἀποκριθέντες εἶπον· ἡμεῖς ἐληλύθαμεν ἀπ' ἐκείνων τῶν ἀποταξαμένων τῷ κόσμῳ καὶ τὰ ἐν κόσμῳ διὰ τὸ ὄνομά σου τὸ ἅγιον, οἵτινες ἐν ἐρημίαις καὶ ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐπὶ χαμευνίαις καὶ νηστείαις τὸν βίον αὐτῶν ἐκτελοῦσιν. κέλευσον ἡμᾶς εἶναι σὺν αὐτοῖς. καὶ ἦλθεν φωνή· ἀπέλθατε ἐν εἰρήνῃ σὺν αὐτοῖς, φυλάττοντες αὐτούς. [10] ἔτι τούτων ἀπερχομένων ἰδοὺ ἕτεροι ἄγγελοι ἦλθον προσκυνῆσαι ἐνώπιον τοῦ θεοῦ πενθοῦντες καὶ κλαίοντες. καὶ τὸ πνεῦμα ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῶν, καὶ ἐγένετο φωνὴ πρὸς αὐτούς· πόθεν ἐληλύθατε; καὶ ἀποκριθέντες εἶπον· ἡμεῖς ἐληλύθαμεν ἀπ' ἐκείνων τῶν ἐπικληθέντων τῷ ὀνόματί σου καὶ δουλευόντων τῇ ὕλῃ τῆς ἁμαρτίας. τί οὖν χρὴ ἐκείνοις διακονεῖν; καὶ ἐγένετο φωνὴ πρὸς αὐτούς· μὴ παύσασθε τούτοις διακονεῖν· ἴσως ἐπιστρέψωσιν· εἰ δὲ μήγε, ἥξουσιν πρός με κἀγὼ αὐτοὺς κρινῶ. γνῶτε, υἱοὶ τῶν ἀνθρώπων, ὅτι πάντα τὰ πραττόμενα

---

and they have girded their loins and hold a fast hand on good works, and cry out and say continually: Our heart is ready in God; and their mouths bless and praise and give thanks at all hours, while they weep and make lamentation. And we also with them, who are their angels, we beseech thee, O Lord. And behold the voice of God unto them, saying: Know ye therefore, O ye my angels and my ministers, that you are here; but my grace and my remembrance, which is my beloved Son, is with them; and he succours them in their lives, and in their death glorifies them; and will not cast them off, neither by night nor by day; for their souls are the dwelling-place of my beloved Son.

[10] ἴσως: ita ex Monac edidimus, in quo scriptum est εἶσος. Amb ὅπως | ἐπιστρέψωσιν: ita uterque. Syrus sic: And when those angels of the righteous departed, behold other angels came to worship at the proper hour, and the Spirit of God went forth to meet them, and to the voice of God unto them, saying: Whither do ye come, and laden always with the faults and sins of the sons of men, tidings not agreeable? And those angels answered and said: O Lord, we have come from among the sons of men, those on whom thy name is called, and in the flood of the world they have made for themselves habitations of devils, and are in the delirium and the erring of wicked devils in all their works; and a single pure prayer before thee, from all their hearts, they have not prayed. Further, why, O Lord, shall we pray? and why is it needful for us to do service any more for these sinful sons of men? And behold the voice of God unto them, saying: Cease not from their service; peradventure they may repent; and if they do not repent and come unto me, I will judge them with a righteous judgment.

Digitized by Google

παρ' ὑμῶν καθ' ἡμέραν ἄγγελοι ἀπογράφονται ἐν οὐρανοῖς. ὑμεῖς οὖν μὴ παύσασθε εὐλογεῖν τὸν θεόν.

(34) Καὶ τινὲς τῶν βαπτισθέντων ἔδραμον ἵνα λύσωσι τὸν Φίλιππον κρεμμάμενον κατὰ κεφαλῆς. ἀποκριθεὶς δὲ εἶπεν αὐτοῖς· ἄνδρες ἀδελφοί μου[1] - - παρθενεύοντες τὰ μέλη τῆς σαρκὸς αὐτῶν καὶ πορνεύοντες ἐν τῇ καρδίᾳ αὐτῶν, καὶ ἡ πορνεία τῶν ὀφθαλμῶν αὐτῶν πληθυνθήσεται ὡς ὁ κατακλυσμός. πληθύνουσι δὲ τοῦ ἀκούειν ἐν ταῖς πειθαναῖς (sic) ἡδοναῖς, ἐπιλανθανόμενοι τοῦ θεοῦ τῆς γνώσεως τοῦ εὐαγγελίου, καὶ πληθύνονται αἱ καρδίαι αὐτῶν ὑπερηφανείας (sic), ἐσθίοντες καὶ πίνοντες ἐν τῇ αὐτῶν λατρείᾳ, ἐπιλανθανόμενοι τῆς ἁγίας ἐντολῆς καὶ αὐτὴν ἀθετοῦντες. διεστραμμένη ἔσται ἡ γενεὰ ἐκείνη· μακάριος δέ ἐστιν ὁ ἀναχωρῶν ἐν τοῖς ταμείοις αὐτοῦ, ὅτι αὐτὸς ἀναπαύσεται ἐν τῇ ἐξόδῳ αὐτοῦ. οὐκ οἶδας, ὦ Βαρθολομαῖε, ὅτι ὁ λόγος τοῦ κυρίου ἡμῶν ζωή ἐστιν ἀληθινὴ καὶ γνῶσις; εἶπεν γὰρ ὁ κύριος ἡμῶν διδάσκων ἡμᾶς ὅτι πᾶς ὃς ἐὰν ἐμβλέψῃ γυναικὶ καὶ ἐπιθυμήσῃ αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπλήρωσεν τὴν μοιχίαν (sic). καὶ διὰ τοῦτο ὁ ἀδελφὸς ἡμῶν Πέτρος ἔφυγεν ἀπὸ παντὸς τόπου ἐν ᾧ ὑπῆρχεν γυνή· ἔτι δὲ καὶ σκάνδαλον εἶχεν διὰ τὴν ἰδίαν θυγατέρα, καὶ ηὔξατο πρὸς κύριον, καὶ ἐγένετο ἐν παραλύσει τῆς πλευρᾶς αὐτῆς διὰ τὸ μὴ ἀπατηθῆναι αὐτήν. ὁρᾷς, ἀδελφέ, ὅτι ἡ ὅρασις τῶν ὀφθαλμῶν φέρει καταλαλιὰν καὶ ἀρχὴν τῆς ἁμαρτίας, καθὼς γέγραπται ὅτι βλέψασα εἶδεν τὸ φυτὸν ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς αὐτῆς καὶ καλὸν εἰς βρῶσιν, καὶ ἠπατήθη. ἡ ἀκοὴ τοίνυν τῶν παρθένων ἔστω ἁγία· ἐν δὲ τῇ ἐξόδῳ πορευέσθωσαν ἀνὰ δύο δύο, ὅτι πολλαί εἰσιν αἱ διαστροφαὶ τοῦ ἐχθροῦ. ἡ πορία (sic) αὐτῶν καὶ ὁ τρόπος ἐχέτω τάξιν καλήν, ἵνα σωθῶσιν· εἰ δὲ μή, ὁ καρπὸς αὐτῶν ἔστω κοινός.

(37) Ἀδελφέ μου Βαρθολομαῖε, δὸς τὰς παραγγελίας ταύτας, παραγγείλας αὐτὰς τῷ Στάχυϊ, καὶ κατάστησον αὐτὸν ἀρχηγὸν καὶ ἐπίσκοπον ἐν τῇ ἐκκλησίᾳ, ἵνα καὶ αὐτὸς ὅμοιος (sic) γένηται καλῶς διδάσκων. μὴ ἐμπιστεύσῃς οἰκονομίαν μη-

[1] Hoc loco haud dubie plura desunt. Quum in codice novum folium incipiat, totius folii textus excidisse videtur. Pertinent autem quae sequuntur, nisi fallor, ad ea quae Philippus Bartholomaeo dixit sectione 36.

Digitized by

δενὶ νεωτέρῳ· μὴ καταστήσῃς μηδένα τοιοῦτον ἐπὶ καθέδρᾳ διδασκόντων, ἵνα μὴ βεβηλώσῃς τὸ μαρτύριον τοῦ Χριστοῦ· ὁ γὰρ διδάσκων ὀφείλει ἔχειν τὰ ἔργα αὐτοῦ ἴσα τῶν λόγων, ἵνα ὁ λόγος ἡρτυμένος ᾖ ἐν παντὶ καιρῷ ἐν τῇ ἰδίᾳ δόξῃ. ἐγὼ δὲ ἀπολύομαι ἀπὸ τοῦ σώματός μου κρεμμάμενος κατὰ κεφαλῆς· ἆρον οὖν τὸ σῶμά μου καὶ ἐνταφίασον χάρταις Συριατικαῖς, καὶ μὴ βάλῃς ὀθόνην λινῆν, ἐπειδὴ ἔβαλαν εἰς τὸ σῶμα τοῦ κυρίου ἡμῶν· καὶ σφίγξον αὐτὸ ἐν χάρταις καὶ παπύροις, καὶ χῶσον αὐτὸ ἐν τῇ αὐλῇ τῆς ἁγίας ἐκκλησίας. καὶ γίνεσθε ὑπὲρ ἐμοῦ εὐχόμενοι ἐπὶ τεσσαράκοντα ἡμέρας, ἵνα ἀφῇ μοι ὁ θεὸς τὴν παράβασιν ἣν ἐποίησα, ὅτι ἀνταπέδωκα τῷ ποιήσαντί μοι κακά, καὶ ὅπως μὴ γένηταί μοι ἐν τοῖς αἰῶσιν ἐπὶ τεσσαράκοντα ἔτη.

(38) Ταῦτα δὲ εἰπὼν ὁ Φίλιππος ηὔξατο λέγων· κύριέ μου Ἰησοῦ Χριστέ, ὁ πατὴρ τῶν αἰώνων, βασιλεῦ ὅλου τοῦ φωτός, ὁ σοφίσας ἡμᾶς ἐν τῇ σοφίᾳ σου, ὁ δεδωκὼς ὑμῖν τὴν ὑψηλὴν γνῶσιν, ὁ χαρισάμενος ἡμῖν τὴν βουλὴν τῆς ἀγαθότητός σου, ὁ μηδέποτε χωρισθεὶς ἡμῖν (sic)· σὺ εἶ ὁ αἴρων τὴν νόσον ἀπὸ τῶν καταφευγόντων εἰς σέ· σὺ εἶ ὁ δεδωκὼς ἡμῖν τὸν λόγον τοῦ ἐπιστρέψαι ἐπὶ σὲ τοὺς πλανωμένους· σὺ εἶ ὁ δεδωκὼς ἡμῖν σημεῖα καὶ τέρατα διὰ τοὺς ὀλιγοπίστους· σὺ εἶ ὁ παρέχων τὸν στέφανον ἐπὶ τῶν νικησάντων· σὺ τυγχάνεις ἡμῶν ἀγωνοθέτης, ὁ δωρησάμενος ἡμῖν τὸν στέφανον τῆς χαρᾶς, ὁ λαλῶν σὺν ἡμῖν ἵνα δυνηθείημεν ἀντιστῆναι τοῖς βλάπτουσιν ἡμᾶς· σὺ εἶ ὁ σπείρων καὶ θερίζων καὶ πληθύνων καὶ αὐξάνων καὶ ζωοποιῶν πάντας τοὺς ἰδίους δούλους σου· οἱ ἔλεγχοι καὶ αἱ ἀπειλαὶ ὑπάρχουσιν ἡμῖν βοήθεια καὶ δύναμις διὰ τοὺς ἐπιστρέφοντας ἐπὶ σὲ δι' ἡμῶν τῶν σῶν δούλων. ἐλθὲ κύριε καὶ δός μοι νίκης στέφανον ἐνώπιον τῶν ἀνθρώπων. μὴ ἐπικαλυψάτω (codex ἐπιλαμψάτω) με ὁ σκοτεινὸς αὐτῶν ἀὴρ μηδὲ κάπνος αὐτῶν καύσῃ τὴν μορφὴν τῆς ψυχῆς μου, ὅπως διαπεράσω τὰ ὕδατα τῆς ἀβύσσου καὶ μὴ βυθισθῶ ἐν αὐτοῖς. κύριέ μου Ἰησοῦ Χριστέ, μὴ εὕρῃ ὁ ἐχθρὸς τοῦ δύνασθαι κατηγορῆσαί μου ἐνώπιον σοῦ τοῦ ἀληθινοῦ κριτοῦ, ἀλλ' ἔνδυσόν με τὴν φωτεινήν σου στολήν, καὶ ..... Cetera perierunt.

Digitized by Google

His adiungamus nonnulla ex iis quae codex Baroccianus 180. ex iisdem desumpta actis praebet. Tenet is textus medium quiddam inter Parisiensem modo a nobis exscriptum et eum quem e duobus codicibus, altero Parisiensi altero Veneto, anno 1851. edidimus. Propius tamen et ipse ad antiquiorem horum actorum rationem in Parisiensi 1468. superstitem accedit necdum leopardo et hoedo humana voce loquentibus destitutus est.

Μαρτύριον τοῦ ἁγίου ἀποστόλου Φιλίππου.

Ὅτε[1] δὲ Φίλιππος ὁ τοῦ Χριστοῦ ἀπόστολος κατεκλείσθη ἐν τῷ ἱερῷ τῆς ἐχίδνης ὑπὸ τοῦ ἡγεμόνος, ὡσαύτως καὶ ὁ Βαρθολομαῖος καὶ ἡ Μαριάμνη καὶ ὁ λεόπαρδος καὶ ὁ ἔριφος, συνήχθησαν οἱ ἱερεῖς ἐπὶ τὸ αὐτὸ ὡς ἄνδρες ἑπτά, καὶ δραμόντες ἐπὶ τὸν ἀνθύπατον κατεβόουν· ὦ ἀνθύπατε τυραννογνόφε (cod. -γνάφε), ἐκδίκησον ἡμᾶς ἀπὸ τῶν ξένων ἀνθρώπων τῶν ἀπαιδεύτων καὶ φθορέων καὶ μάγων καὶ πλανώντων τοὺς ὄχλους. ἀφ' οὗ γὰρ ἐπεδήμησαν εἰς ἡμᾶς, ἐπλήσθη ἡ πόλις πάσης ἀχρήστου πράξεως αὐτῶν· ἀπέκτειναν δὲ καὶ τοὺς ὄφεις τοὺς υἱοὺς τῆς θέας ἡμῶν· ἔκλεισαν δὲ καὶ τὸ ἱερὸν ἡμῶν, καὶ ἠρήμωται ὁ βωμός, καὶ οὐχ εὑρήκαμεν οἶνον, ἵνα πιοῦσα ἡ ἔχιδνα ὑπνώσει· πολλαὶ δὲ νύμφαι καὶ γυναῖκες ἀπῆλθον πρὸς αὐτοὺς καὶ ἀφῆκαν τοὺς ἄνδρας. εἰ δὲ θέλεις γνῶναι ὅτι ὄντως μάγοι εἰσίν, βλέψον καὶ ἴδε τὸν λεόπαρδον καὶ τὸν ἔριφον ἀνθρωπίνως λαλοῦντα· ἀλλὰ καὶ ἡμᾶς θέλουσιν μαγεῦσαι, λέγοντες· ζήσατε ἐν ἁγνείᾳ, πιστεύσαντες τῷ θεῷ. πῶς δὲ καὶ εἰσῆλθον εἰς τὴν πόλιν; πῶς δὲ καὶ οἱ δράκοντες οὐκ ἐτύφλωσαν αὐτοὺς καὶ ἀνεῖλον; πῶς δὲ καὶ τὸ αἷμα αὐτῶν οὐκ ἔπιον, ἀλλὰ καὶ ὑπὸ τούτων τῶν μάγων κατεβλήθησαν; εἰ καὶ ταῦτά εἰσιν ἐν τέχνῃ μαγικῇ[2], ἐν ὅλῃ τῇ κτίσει οὐκ ἐφάνη οὕτως, ἀλλαγῆναι φύσιν καὶ φωνήν, ὅτι τὰ πετεινὰ πέτανται κατὰ τὸ ἴδιον εἶδος, καὶ τὰ τετράποδα καὶ τὰ κτήνη καὶ πᾶν ὃ ἔστιν ἐν τῇ ἰδίᾳ γενέσει. πῶς δὲ καὶ ὁ λεόπαρδος καὶ ὁ ἔριφος ὁμιλοῦσιν αὐτοῖς, ἐκπληττόμεθα.

[1] Haec apud nos in sect. 17 incidunt

[2] Adde πεπραγμένα?

Digitized by Google

(18) Ἀκούσας δὲ ταῦτα ὁ ἀνθύπατος πλείω ἐξεκαύθη τῷ θυμῷ ὀργῆς τε καὶ ἀπειλῆς, καὶ (sequitur ἦν sed delendum videtnr) ὀργιζόμενος σφόδρα λέγει πρὸς τοὺς ἱερεῖς· τί ὅτι καὶ τὴν ἐμὴν γυναῖκα ἔχουσι μεθ' ἑαυτῶν; κἀκεῖθεν ξένα ῥήματα ὁμιλεῖ, καὶ πᾶσαν νύκταν (sic) εὐχομένη ξένῳ φωτὶ καταλάμπεται, καὶ ἀναστενάζουσα λέγει· ἦλθέν μοι τὸ ἀληθινὸν φῶς Ἰησοῦς. κἀγὼ δὲ ἐξελθὼν ἀπὸ τοῦ ἐμοῦ κοιτῶνος ἠθέλησα διὰ τῆς θυρίδος ἐνοπτρίσασθαι καὶ ἰδεῖν ὅπερ ἔλεγεν φῶς Ἰησοῦν, καὶ ὥστερ ἀστραπὴ προσαπήντησέν μοι ὡς ἀποτυφλῶσαί με· καὶ ἐξ ἐκείνου τὴν γυναῖκά μου φοβοῦμαι διὰ τὸν φωτεινὸν αὐτῆς Ἰησοῦν. εἴπατέ μοι οὖν, ὦ ἱερεῖς, ὃ πράξω. οἱ δὲ εἶπαν· ἀνθύπατε, τάχα οὐκέτι ἐσμὲν ἱερεῖς· ἀφ' ἧς γὰρ συνέκλεισας αὐτούς, εὐχομένων αὐτῶν ὅλον τὸ ἱερὸν σαλεύεται ἐκ θεμελίων ἢ τάχα συμπίπτει.

(19) Τότε προσέταξεν ὁ ἀνθύπατος ἐξελθόντας ἐκ τοῦ ἱεροῦ τοὺς περὶ τὸν Φίλιππον ἀγαγεῖν εἰς τὸ βῆμα, εἰπὼν τοῖς δημίοις· ἀποδύσαντες τὸν Φίλιππον διερευνήσατε, ἀλλὰ καὶ ἀμφοτέρους, μήπως εὑρεθῇ τι αὐτῶν τῆς μαγίας (sic). ἀπέδυσαν οὖν πρῶτον τὸν Φίλιππον, εἶτα τὸν Βαρθολομαῖον. ἦλθον δὲ ἐπὶ τὴν Μαριάμνην, καὶ σύροντες αὐτὴν ἔλεγον· γυμνώσωμεν καὶ αὐτήν, ἵνα πάντες ἴδωσιν ὅτι γυνὴ οὖσα ἀνδράσιν ἐπακολουθεῖ· αὐτὴ γὰρ μάλιστα ἐν εὐπρεπείᾳ πάσας τὰς γυναῖκας ἀπατᾷ. καὶ λέγει ὁ τύραννος πρὸς τοὺς ἱερεῖς· κηρύξατε εἰς πᾶσαν τὴν πόλιν καὶ περικύκλῳ, ἵνα ἔλθωσιν πάντες οἱ ἄνδρες καὶ πᾶσαι αἱ γυναῖκες, ὅπως ἴδωσιν τὴν ἀσχημοσύνην αὐτῆς, καὶ μάθωσιν ὅτι ψεύδεται λέγουσα ὅτι οὐκ εἰμὶ γυνή, ἀλλ' ὡς ἀνὴρ συμπορεύεται, καὶ πάντως ὅτι μοιχεύεται ὑπ' αὐτῶν. ἐκέλευσεν δὲ κρεμασθῆναι τὸν Φίλιππον, καὶ τὰ σφυρὰ αὐτοῦ διατμηθῆναι, καὶ κομισθῆναι δέκα κόρακας σιδηροῦς, καὶ διαπείραντες τὰς πτέρνας αὐτοῦ ἀνακρεμάσασθε κατὰ κεφαλῆς ἀπέναντι τοῦ ἱεροῦ ἐπί τινος δένδρου· τὸν δὲ Βαρθολομαῖον ἐκτείνατε ἀπέναντι τοῦ Φιλίππου περονήσαντες τὰς χεῖρας αὐτοῦ· πορθμήσαντες (sic codex) ἐν τῷ τοίχῳ τοῦ ἱεροῦ τῆς πύλης ἐκτείνατε.

(20) Καὶ ἐγένετο οὕτως. ἐμειδίασαν δὲ ἀμφότεροι ἑνορῶντες ἀλλήλους ὅ τε Φίλιππος καὶ ὁ Βαρθολομαῖος, ὅτι ἦσαν ἀβασάνιστοι· αἱ γὰρ κολάσεις αὐτῶν ἦσαν βραβεῖα καὶ στέφανοι.

Digitized by Google

ὅτε δὲ καὶ τὴν Μαριάμνην ἀπέδυσαν, ἐνέβλεψαν ἵνα εἴδωσιν (sic) τὴν γύμνωσιν τοῦ σώματος αὐτῆς· καὶ ἰδοὺ ἠλλάγη εὐθέως ἡ ὁμοίωσις τοῦ σώματος αὐτῆς ἐνώπιον αὐτῆς, καὶ ὁ τύπος αὐτῆς ἐγένετο ὡς κιβωτὸς ὑελίνη γέμουσα φωτὸς καὶ πυρὸς ἔμπροσθεν αὐτῶν, καὶ οὐκ ἠδυνήθησαν ἔτι ἐγγίσαι κἂν τὸ σύνολον εἰς τὸν τόπον ἐν ᾧ ἐτύγχανεν, ἀλλὰ ἔφευγον ἅπαντες ἀπ' αὐτῆς.

(21) Ἐλάλησεν δὲ ὁ Φίλιππος μετὰ τοῦ Βαρθολομαίου τῇ Ἑβραϊκῇ διαλέκτῳ· ποῦ Ἰωάννης σήμερον; ἰδοὺ γὰρ ἡμεῖς ἀπολλύμεθα τοῦ σώματος, καὶ τίς που ὁ ὑπὲρ ἡμῶν εὐξάμενος; ὅτι ἰδοὺ καὶ εἰς τὴν Μαριάμνην ἐπεχείρησαν παρὰ τὸ καθῆκον· ἐβασάνισαν δὲ καὶ τὸν ἔριφον καὶ τὸν λεόπαρδον, καὶ ἰδοὺ πῦρ ἔρριψαν εἰς τὴν οἰκίαν τοῦ Στάχυος λέγοντες ὅτι καύσωμεν αὐτόν, ἐπειδὴ αὐτὸς ὑπεδέξατο αὐτούς. θέλεις οὖν, ὦ Βαρθολομαῖε, καὶ ἡμεῖς εἴπωμεν πῦρ ἐλθεῖν ἀπ' οὐρανοῦ καὶ κατακαύσωμεν αὐτούς;

(22) Ὡς δὲ ταῦτα ἦν λέγων ὁ Φίλιππος, ἰδοὺ Ἰωάννης εἰσῆλθεν εἰς τὴν πόλιν αὐτῶν (cod. corrupte τῶν), διακινῶν εἰς τὴν πλατείαν, καὶ ἠρώτησεν· τίνες οὗτοι οἱ ἄνθρωποι, καὶ διατί τιμωροῦνται; οἱ δὲ λέγουσιν αὐτῷ· μὴ οὐκ εἶ ἐκ τῆς πόλεως ἡμῶν; ἐμὲ (sic) ἐρωτᾷς περὶ τῶν ξένων τούτων, οἵτινες πολλοὺς ἠδίκησαν; ἔκλεισαν δὲ ἡμῶν καὶ τὰ (codex κατὰ pro καὶ τὰ) εἴδωλα, καὶ ἐν τῇ μαγίᾳ (ita codex) αὐτῶν ἀνεῖλον καὶ τοὺς ὄφεις καὶ τοὺς δράκοντας· πολλοὺς δὲ καὶ νεκροὺς ἤγειραν, οἵτινες κατέπληξαν ἡμᾶς πολλὰς κολάσεις ἐξηγούμενοι· ἔχουσι δὲ καὶ λεόπαρδον καὶ ἔριφον, καὶ φωνῇ ἀνθρωπίνῃ βοῶσι κατὰ μικρὸν λέγοντες· Χριστὲ μερὶς ἡμῶν ἡ ἁγία, καὶ τοῖς ὀπίσω ἑστῶτα ποσίν, τοῖς ἐμπροσθίοις τὰ πρόσωπα κατασφραγίζονται καὶ πρὸς ἄλληλα λέγουσιν· ἡ εἰρήνη τοῦ Χριστοῦ καὶ ὁ σταυρὸς μεθ' ὑμῶν. ἔχουσι δὲ κρεμάμενοι καὶ οὗτοι οἱ ξένοι πῦρ αἰτῆσαι ἐξ οὐρανοῦ καὶ κατακαῦσαι ἡμᾶς.

(23) Εἶτα λέγει Ἰωάννης· ἀπέλθωμεν, ὑποδείξατέ μοι αὐτούς. ἤγαγον οὖν τὸν Ἰωάννην ὡς συμπολίτην ὅπου ἦν ὁ Φίλιππος. ἦν δὲ ἐκεῖ πλῆθος ὄχλου καὶ ὁ ἀνθύπατος καὶ οἱ ἱερεῖς. καὶ ἰδὼν ὁ Φίλιππος τὸν Ἰωάννην εἶπεν τῷ Βαρθολομαίῳ Ἑβραϊστί· ἀδελφέ, Ἰωάννης ἦλθεν ὁ ἱερεὺς βαρέκ, ὅ ἐστι τὸ ὕδωρ τὸ

Digitized by Google

ζῶν. καὶ ὁ Ἰωάννης ἶδεν τὸν Φίλιππον κατὰ κεφαλῆς κρεμάμενον τῶν σφυρῶν καὶ τῶν πτερνῶν· ἶδεν δὲ καὶ τὸν Βαρθολομαῖον ἐκτεταμένον εἰς τὸν τοῖχον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτοῖς· τὸ μυστήριον (codex τοῦ μυστηρίου) τοῦ κρεμασθέντος ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ καὶ τοῦ διανεμηθέντος ἐν τῇ σφαίρᾳ τοῦ ἀέρος συνέστηκεν (sic; apud nos ex codicibus Parisiensi et Veneto ἔσται μεθ' ὑμῶν).

(24) Εἶπεν δὲ καὶ τοῖς ἀνθρώποις τῆς πόλεως ἐκείνης· ὦ ἄνθρωποι τῆς Ὀφιορύμου, πόση (cod. ὅση) ἐστὶν ἡ ἄνοια ὑμῶν, ἐν ᾗ ἐστέ· πόση ἐστὶν ἡ ἀνομία ἡ οὖσα μεθ' ὑμῶν. ἐπλανήθητε ἐν τῇ ὁδῷ τῆς πλάνης· πνέων ἔπνευσεν εἰς ὑμᾶς ὁ δράκων καὶ ἐτύφλωσεν ὑμᾶς τυφλοὺς τῇ ψυχῇ καὶ τυφλοὺς τῷ πνεύματι, καὶ ἐπλανήθητε ὑπὸ τοῦ θρησκευομένου ὑφ' ὑμῶν. ἐμβλέψατε εἰς πᾶσαν τὴν κτίσιν εἴτε ἐν τῇ γῇ εἴτε ἐν τοῖς ὕδασιν etc.

Exeunte sect. 25. post ἀφανίσω additur: διὰ τὸ ὀργίλον με εἶναι υἱὸν βροντῆς ὠνόμασέν με ὁ Ἰησοῦς.

Hebraica sect. 26 sic scripta sunt: σαβαλλῶν· προυμηνί· δουθαήλ· θαρσελί· ἀνναχαθαεῖ· ἀδώναβ βατελῶ τελωέ. Tum sequitur τουτέστιν· ὁ πατὴρ τοῦ Χριστοῦ, ὁ μόνος παντοκράτωρ, θεὸ ὃν φρίττουσιν οἱ πάντες αἰῶνες, ὁ δυνατὸς καὶ ἀπροσωπόληπτος δικαστής, οὗ τὸ ὄνομά ἐστιν ἐν πάσῃ δυναστείᾳ· αἰλωήλ· εὐλογητὸς εἰς τοὺς αἰῶνας etc.

(34) Νῦν οὖν ἀποπληρῶ τὸ προσταχθέν μοι, ὅτι ἐὰν μὴ στρέψητε τὰ κάτω εἰς τὰ ἄνω καὶ τὰ ἄνω εἰς τὰ κάτω, καὶ δεξιὰ εἰς ἀριστερὰ καὶ τὰ ἀριστερὰ εἰς δεξιά, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τοῦ θεοῦ. μὴ οὖν ὁμοιωθῆτε τῷ ἀντιπαρηλλαγμένῳ τύπῳ, ὅτι ὁ πᾶς κόσμος ἐνήλλακται καὶ πᾶσα ψυχὴ στρεφομένη εἰς σῶμα γίνεται ἐν λήθῃ τῶν ἐπουρανίων. ἡμεῖς δὲ ἔχοντες τὴν τῶν ἐπουρανίων δόξαν μὴ ζητήσωμεν τὸ (codex τὸν) ἔξω, ὅπερ ἐστὶν τὸ σῶμα, ὁ οἶκος τῆς δουλείας.

(36) -- βαδίζουσαι ἀνὰ δύο δύο· καὶ μὴ ὁμιλήτωσαν μετὰ νεανίσκων, ἵνα μὴ πειράσει αὐτὰς ὁ σατανᾶς· ὁ ὄφις γάρ ἐστιν ἕρπων, καὶ ἐποίησεν τὸν Ἀδὰμ ὀλισθῆναι εἰς θάνατον. οὕτως πάλιν ἔσται ἐν τῷ καιρῷ τούτῳ· ἔσται γὰρ ὁ χρόνος καὶ καιρὸς πονηρός. πολλαὶ γυναῖκες καὶ ἄνδρες καταλείψουσιν τὸ ἔργον

Digitized by Google

τοῦ γάμου, καὶ ἔσονται [αἱ] μὲν ἐν τῷ ὀνόματι τῆς παρθενίας, ὅλως μὴ γινώσκουσαι ὄνομα παρθενίας καὶ ὅτι ἔχει μεγάλην σφραγῖδα καὶ ἔνδοξον. πολλοὶ δὲ ἄνδρες ἔσονται ἐν τῷ καιρῷ ἐκείνῳ ἐν λόγῳ μόνον, ἀλλ' οὐκ ἐν τῇ δυνάμει αὐτοῦ (ita codex)· παρθενίαν γὰρ ἀσκήσουσιν τοῖς μέλεσιν τῆς σαρκός, πορνεύσουσιν δὲ ἐν τῇ καρδίᾳ αὐτῶν, καὶ ἡ πορνεία τῶν ὀφθαλμῶν αὐτῶν (codex ὑμῶν) πληθυνθήσεται ὡς κατακλυσμός. θελήσουσιν μᾶλλον ἀκούειν ἐν ταῖς πειθαναῖς ᾠδαῖς[1], καὶ ἐρεθισθήσονται ἐν ταῖς ἡδοναῖς καὶ ἐπιλάθωνται τῆς γνώσεως τοῦ εὐαγγελίου, καὶ πληρωθήσονται αἱ καρδίαι αὐτῶν κενοτέραις (ita codex, nescio an praestet καινοτέραις reponere) ὑπερηφανίαις, εὑρεθήσονται δὲ ἐσθίοντες καὶ πίνοντες ἐν τῇ αὐτῶν (codex τῇ ἐν αὐτῷ) πανουργίᾳ· ἐπιλησθήσονται γὰρ τῆς ἁγίας ἐντολῆς καὶ ἀθετήσουσιν αὐτήν. διεστραμμένη ἐστὶν ἡ γενεὰ ἐκείνη, ἀλλὰ μακάριός ἐστιν ὁ ἀναχωρῶν εἰς τὰ ταμία (sic codex) αὐτοῦ, ὅτι οἱ ἱκανοὶ (codex ὅτι οἱκανοὶ) ἔσονται ἀναπαυόμενοι ἐν δόξῃ ἀπὸ τῆς ἀπειλῆς τοῦ σώματος αὐτῶν. οὐκ οἶδας, ὦ Βαρθολομαῖε, ὅτι ὁ λόγος τοῦ κυρίου ἡμῶν ζωή ἐστιν ἀληθινὴ καὶ γνῶσις; εἶπεν γὰρ διδάσκων ἡμᾶς ὅτι πᾶς ὁ ἐμβλέψας εἰς γυναῖκα τοῦ πλησίον αὐτοῦ καὶ ἐπιθυμήσας αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ ὁ κορυφαῖος δὲ Πέτρος ἔφυγεν ἐκ προσώπου γυναικός· τὴν γὰρ θυγατέραν (ita) αὐτοῦ εὔοπτον οὖσαν[2] .... ἐπὶ τῇ εὐμορφίᾳ. καὶ ὁ μακαριώτατος Πέτρος ηὔξατο, καὶ ἐγένετο ἐν παραλύσει ἡ θυγάτηρ αὐτοῦ. ἆρα οὖν ἡ ἐπιθυμία ἡ ἐν τοῖς ὀφθαλμοῖς πορνεία ἐστίν; ναί. εἶδεν γάρ, φησίν, Εὔα τὸ φυτὸν ὅτι ὡραῖόν ἐστιν τοῖς ὀφθαλμοῖς τοῦ κατανοῆσαι καὶ καλὸν εἰς βρῶσιν. ἰδοὺ οὖν ὅτι ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν ὁδηγός ἐστιν τῆς μοιχίας (sic), καὶ αὕτη ἐστὶν ἡ ἀπατήσασα τὴν καρδίαν Εὔας. πᾶν δὲ φυτὸν ἐὰν τμηθῇ μόνον, μείνῃ δὲ εἰς τὴν γῆν ἡ ῥίζα, πάλιν φύεται. ἐκριζώσατε οὖν τὴν ἐπιθυμίαν

---

[1] Codex habet πηϑανεωδεσει. Ex hoc scripturae monstro clarum erit quantopere textus corruptus sit. Certe locis haud paucis quae descripsimus emendationem sibi poscere videntur.

[2] Codex pergit καὶ ἤδη γεγενῆσϑαι (scriptum est ἤδει γεγενεῖσϑαι) quae corrupta vel imperfecta esse apparet.

Digitized by Google

τῆς καρδίας, ἵνα φαιδροῖς ὄμμασιν ἴδητε τὸν Χριστόν. ταῦτα εἰπὼν πρὸς τὸν λαὸν στραφεὶς λέγει τῷ Βαρθολομαίῳ· τὴν ἐκκλησίαν ἣν μέλλεις οἰκοδομεῖν, οὕτως οἰκοδόμησον, ἔχουσάν τιναν (sic) μεσότοιχον, μήποτε σκοτισθῶσιν αἱ προσευχαὶ τῶν νεοφύτων ἐν τῇ ὁράσει τῶν ὀφθαλμῶν, καὶ ἡ ὑπακοὴ τῶν παρθένων ἔστω ἁγία καὶ μόναι ἡσυχαζέτωσαν, ἐν δὲ ταῖς προόδοις βαδιζέτωσαν δύο δύο. ἐχέτω οὖν ἡ παρθενία αὐτῶν τὴν τάξιν σεμνήν, ἵνα ἡ ψυχὴ αὐτῶν δοξασθῇ ἐν τοῖς ὑψίστοις, μήποτε ὁ κόσμος αὐτῶν ἔσται κενός. οὕτως οὖν κήρυξον ἁγιασμόν. λέγει ὁ Βαρθολομαῖος τῷ Φιλίππῳ· διατί τῷ καιρῷ ἐκείνῳ, ἐν ᾧ ὑπῆρχεν μεθ' ἡμῶν ὁ σωτήρ, οὐ διεχώρισεν ἡμᾶς ἀπὸ τῶν παρθένων μέχρις ἡμέρας μιᾶς; λέγει ὁ Φίλιππος· οὐκ οἶδας, ὦ Βαρθολομαῖε, ὅτι ὅτε ὁ ἥλιος λάμπει (codex λαμβάνει) ὅλος ὁ κόσμος πληροῦται τοῦ φωτός; δύνοντος δὲ αὐτοῦ ἁπλοῦται τὸ σκότος, καὶ τὰ θηρία ἐξέρχονται. οὗτός ἐστιν καὶ ὁ ἡμέτερος τύπος· ὅτε ἦν μεθ' ἡμῶν ὁ Ἰησοῦς, πάντες ἦμεν ἐν τῇ δόξῃ αὐτοῦ, καὶ ἡ χάρις ἡμῶν καὶ ἡ δωρεὰ ἦν κύκλῳ ἡμῶν, καὶ νοεροὶ ἦμεν τῇ καρδίᾳ, καὶ οὐκ ἠδύνατο οὐδεμία σκιὰ οἰκῆσαι ἐν καρδίᾳ ἡμῶν ἕνεκεν ἁμαρτίας· νῦν δὲ ἐν οὐρανοῖς ἐστὶν παρὰ τῷ πατρί, καὶ οὐ καταλείπει ἡμᾶς. πολλοὶ δὲ ἐλεύσονται ἐπενδύμασιν ψευδέσιν, λέγοντες ὅτι λατρεύομεν ἐν τῇ διακονίᾳ τῇ ἁγίᾳ, καὶ ἡ λατρεία αὐτῶν ἐστὶν μετὰ τῶν εἰδώλων, καὶ καταλείψουσιν τὰς παραδεδομένας αὐτοῖς ἐντολάς. Iam sequuntur quae accurate textui nostro respondent initio sectionis 37 scripto: σὺ δὲ ὦ Βαρθολομαῖε γενοῦ καλὸς δοκιμαστής, καὶ δὸς τὰς παραγγελίας ταύτας etc. In iis vero quae ad finem actorum leguntur magna rursus utriusque textus differentia est.

III. AD
ACTA THOMAE.

In libro bibliothecae Regiae Monacensis (apud Ign. Hardt. cod. Gr. 252.) praeter alias reliquias litteris uncialibus scriptas inveni quae extremo capite actuum Thomae

Digitized by Google

olim legebantur. Quae quum a textu ad finem libri ἡ τελείωσις θωμᾶ τοῦ ἀποστόλου a nobis edito satis differant, passim vero ad Latinas Abdiae historias tantopere accedant ut ex simillimo fonte Graeco Pseudo-Abdias Latina sua hausisse censendus sit, adponam hoc loco quae e litura codicis Monacensis eruere mihi contigit. Hoc autem ita faciam ut manifesta vitia statim corrigam, postquam ipsa codicis scriptura in Anecdotis meis sacr. et profan. 1861. pag. 238 sq. fideliter exhibita est.

σιν αὐτοῖς ἐποιεῖτο. Συνέβη δὲ οὐ μετὰ πολὺν χρόνον ἕνα τῶν παιδων μισδαίου πληγῆναι ὑπὸ δαίμονος. καὶ οὐδεὶς ἠδυνήθη θεραπεῦσαι αὐτόν· πάνυ γὰρ ἦν χαλεπὸς ὁ δαίμων: ἐνεθυμήθη δὲ μισδέος[1] ὁ βασιλεὺς ἀνοῖξαι τὸν τάφον: καὶ ἆρας τῶν ὀστέων .....[2] τοῦ ἀποστόλου θωμᾶ --[3] τράχηλον τοῦ υἱοῦ μου καὶ θεραπευθήσεται[4]. ἀπῆει[5] οὖν ποιῆσαι ὃ ἐνεθυμήθη ὁ μισδέος ὁ βασιλεύς. ὁ δὲ ἀπόστολος θωμᾶς ἐπιφανεὶς αὐτῷ εἶπεν· εἰς ζῶντας οὐκ ἐπίστευσας, καὶ εἰς νεκροὺς πιστεύεις; πλὴν μὴ φοβοῦ, ἐπεὶ σπλαγχνίζεται εἰς σὲ καὶ ἐλεήσει σε ὁ κύριος ἰησοῦς χριστὸς διὰ τὴν αὐτοῦ χρηστότητα[6]. ἀπελθὼν δὲ καὶ ἀνοίξας οὐχ εὗρεν ὀστέα ἐκεῖ· εἰς γὰρ τῶν ἀδελφῶν κλέψας τὸ λείψανον τοῦ μακαρίου ἀπήνεγκεν εἰς τὴν μεσοποταμίαν[7]. ἀπὸ δὲ τοῦ τόπου τοῦ μνημείου, ἔνθα τὰ ὀστᾶ ἔκειτο, χοῦν λαβὼν περιέθη-

[1] Codex h. l. μισδέως, antea μισδαίου.

[2] Octo litterae interiectae videntur. Possis coniicere τοῦ σώματος, sed fere autou mihi videbar assequi sequentibus tribus litteris ut επι.

[3] Periit versus; et iam is qui praecedit, ποστολου Ϫωμα, tegumento libri obtectus est. Simile quid ut Ϫήσω ἐπὶ τὸν scriptum erat.

[4] Confer ad haec Ps. Abd. XXV: „*Quibus addidit dominus hanc gratiam, ut cum Mesdei filius correptus esset a daemonio, nec quisquam qui eum sanaret posset inveniri, successit huiusmodi Mesdeo sententia ut diceret: Vado et aperio sepulchrum, et tollens ossa de corpore apostoli suspendam filio meo, et curabitur.*"

[5] Codex ἀπιλει.

[6] Confer huc l. l. *Ascendebat igitur secundum cogitationes Mesdeus ad montem, et revelavit ei se Thomas dicens: In viventes non credidisti, et in mortuos credis? Sed ne timeas; miserebitur et tui dominus Iesus, et exhibebit tibi viscera misericordiae suae propter bonitatem suam.*

[7] Pergit Latinus textus sic: *Verum ubi adscendit Mesdeus, reserato sepulchro ossa invenire non potuit; quia iampridem reliquias sanctas quidam de fratribus rapuerant et in urbe Edessa sepelierant.*

Digitized by Google

κεν τῷ υἱῷ αὐτοῦ καὶ εἶπεν· πιστεύω [εἰς] σὲ χριστὲ νῦν, ὅτι[8] κα[τελιπέν με ἐκεῖ]νος ὁ ταράσσων τοὺς ἀνθρώπους καὶ ἀντικείμενος αὐτοῖς, ἵνα μὴ ἴδωσίν σε[9]. καὶ κρεμάσαντος αὐτοῦ τῷ παιδί, ὑγιὴς ὁ παῖς ἐγένετο[10]: συνηθροίζετο (cod. συνειθρύζετο) δὲ καὶ μισδέος ὁ βασιλεὺς μετὰ τῶν ἀδελφῶν καὶ ὑπέκλινεν τὴν κεφαλὴν αὐτοῦ ὑπὸ τὰς χεῖρας σιφόρου: ἔλεγεν δὲ τοῖς ἀδελφοῖς ὁ σίφορ· εὔχεσθε ὑπὲρ τοῦ μισδαίου (sic h. l.) τοῦ βασιλέως, ἵνα παρὰ ἰησοῦ χριστοῦ εὐσπλαγχνίαν δέξηται, καὶ ἀμνησικακήσει (cod. ἀμνησικακεῖσι) αὐτῷ. πάντες δὲ ἐν συμφωνίᾳ χαίροντες ὑπὲρ αὐτοῦ προσευχὴν ἐποιοῦντο. ὁ δὲ φιλάνθρωπος δεσπότης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευ[όντων παρεῖχεν τῷ][11] μισδέῳ τὴν εἰς αὐτὸν ἐλπίδα. ὑπήγετο οὖν μετὰ τοῦ πλήθους τῶν πιστευόντων, δοξάζων πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· ᾧ κράτος καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.[12]

Eundem de ultimis Thomae rebus tractatum codex Bodleianus (Clarke 43) continet, ita tamen ut quae gnosticae originis vestigia in nostro textu Parisiensi supersunt consulto exstincta videantur. Legitur enim ibi sic:

Μαρτύριον τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου θωμᾶ.

Ἐξελθόντος δὲ τοῦ ἀποστόλου κατὰ τὴν πρόσταξιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ ὤφθη αὐτῷ ὁ

---

[8] ὅτι scribendum videbatur, quamquam ex codice στε exscripsimus.

[9] Pseudo-Abdias pergit: *Ea tamen quaecunque rex in sepulchro reperit humi vel stercoris, supra quae iacuerant reliquiae apostoli, auferens Misdeus et alligans filio suo ait: Credo tibi Christe nunc, quia recessit a me ille qui hominum turbat affectus, ne ad te visendum summa properatione contendam* (corrigendum videtur *contendant*).

[10] Cf. ad haec cum reliquis ea quae apud Pseudo-Abdiam sequuntur: *Itaque ubi suspendit illa puero, statim sanatus est ex illa hora. Et factum est gaudium magnum inter fratres super conversione regis ad regem coelestem Christum Iesum: cui honor et gloria in perpetua saecula, Amen.*

[11] Ita fere quae periere supplenda sunt.

[12] (cf. apud nos sect. 17. p. 204) Ceterum in reliquis eiusdem codicis palimpsestis etiam aliam actorum Thomae partem invenimus cum ipso actorum initio coniunctam hunc in modum: πρᾶξις τοῦ ἁγίου θωμᾶ τοῦ ἀποστόλου· ὅτε τὸ ἐν οὐρανοῖς παλάτιον ᾠκοδόμησεν (cod. ὀκωδώμησεν). Κατ' ἐκεῖνον τὸν καιρὸν ἦσαν πάντες οἱ ἀπόστολοι ἐν ἱεροσολύμοις, καὶ διεῖλαν (cod. διῆλαν) τὰ κλίματα (cod. κλήμ.) τῆς οἰκουμένης, καὶ ἔβαλον κλήρους.

Digitized by Google

κύριος εἰρηκὼς αὐτῷ· εἰρήνη σοί, μαθητά μου καὶ ἀπόστολε. πεσὼν δὲ ὁ ἀπόστολος κατὰ πρόσωπον ἐπὶ τὴν γῆν ἐδέετο τοῦ κυρίου ὅπως ἀποκαλύψῃ αὐτῷ τὰ περὶ τῆς τιμίας αὐτοῦ ἐξόδου. εἰρήκει δὲ αὐτῷ ὁ κύριος ὅτι μισδαῖος ποιεῖται κατὰ σοῦ σκέψιν τοῦ τάχιόν σε ἀπολέσαι· ἀλλ' ἰδοὺ ἔρχεται πρός με. καὶ κατασφραγίσας αὐτὸν ἀνῆλθεν εἰς τοὺς οὐρανούς. ὁ δὲ ἀπόστολος ἐδίδασκεν τῷ λαῷ, καὶ προσετίθετο ἡ ποίμνη τοῦ χριστοῦ. τινὲς δὲ μισόχριστοι ἄνδρες διέβαλον αὐτὸν πρὸς τὸν βασιλέα μισδέον, λέγοντες ὅτι ἀπόλεσον τὸν μάγον τοῦτον τὸν καταλυμηνάμενον καὶ ἀπατῶντα τὸν λαὸν ἐπὶ νέῳ θεῷ ἑνὶ ὃν κηρύσσει, ἔτι δὲ καὶ τῇ σῇ δεσποίνῃ καὶ τῷ σῷ υἱῷ*. ταῦτα ἀκούσας μισδέος ἀνεξετάστως ἐκέλευσεν συλλαβέσθαι αὐτὸν καὶ ἐν τῇ φυλακῇ ἐγκλεῖσαι. οἱ δὲ τάχιον ποιήσαντες τὸ προσταχθὲν αὐτοῖς ἔβαλον αὐτὸν ἐν φυλακῇ σφραγίσαντες. ἀκούσασαι δὲ αἱ πιστεύσασαι γυναῖκες τῷ θεῷ ὅτι ἰούδας[1] συνεκλείσθη, δώσασαι [πρὸς] τοὺς τηροῦντας (cod. τηρῶντας) φύλακας χρήματα πολλὰ εἰσίεσαν (sic) πρὸς αὐτὸν ἐν τῇ εἱρκτῇ. ὁ δὲ ἀπόστολος λέγει [πρὸς] αὐτάς· θυγατέρες μου, δοῦλαι ἰησοῦ χριστοῦ, ἀκούσατέ μου. ἐν τῇ τελευταίᾳ μου ἡμέρᾳ ὑμῖν ἀποστέλλω τὸν λόγον μου τοῦ μὴ λαλῆσαι ἔτι ἐν σώματι· ἰδοὺ γὰρ αἴρομαι ἄνω πρὸς τὸν κύριόν μου ἰησοῦν χριστὸν τὸν ἐλεήσαντά με, τὸν ταπεινώσαντα ἑαυτὸν ἄχρι τῆς ἐμῆς μικρότητος. χαίρω δὲ ὅτι ὁ καιρὸς ἐγγὺς τῆς ἀπαλλαγῆς μου ἐνταῦθα, ὅπως ἀπελθὼν ἀπολάβω μου τὸν μισθὸν ἐν τέλει· δίκαιος γάρ ἐστιν ὁ ἐμὸς δεσπότης. Πληρώσας δὲ πρὸς αὐτὰς τὸν λόγον εἶπεν· ὁ σωτήρ μου ὁ ὑπομείνας πολλὰ δι' ἡμᾶς, γενέσθωσαν τὰ ἐλέη σου ἐφ' ἡμᾶς. καὶ ἀπέλυσεν αὐτὰς εἰπών· ἡ χάρις τοῦ ἁγίου πνεύματος ἔσται μεθ' ὑμῶν. ἐκεῖναι δὲ ἐλυποῦντο καὶ ἔκλαιον, εἰδυῖαι ὅτι ἔμελλεν ἀπολέσαι αὐτὸν μισδαῖος ὁ βασιλεύς. ὁ δὲ ἰούδας[2] ἤκουσεν τοὺς φύλακας πρὸς ἑαυτοὺς μαχομένους καὶ λέγοντας· ἔτι ἀπέλθωμεν καὶ ἀναγγείλωμεν τῷ βασιλεῖ ὅτι ἡ γυνή σου καὶ ὁ υἱός σου ἀπέρχονται πρὸς τὴν φυλακὴν ἐπὶ τὸν μάγον τοῦτον, καὶ δι' αὐτοὺς

---

* Deest verbum.

[1] Ut hoc loco etiam infra semel *Iudas* pro *Thoma* per errorem scriptum est.

[2] Corrigendum Θωμᾶς. Ab hoc inde loco cf. textum Par. pag. 336. sect. 3.

Digitized by Google

ἀπολέσει αὐτὸν ἐν τάχει. ἅμα δὲ καὶ ἔωθεν ἀναστάντες ἀπῆλθον πρὸς μισθέον τὸν βασιλέα καὶ εἶπον· ἀπόλυσον δέσποτα τὸν φαρμακὸν ἐκεῖνον, ἢ ἀλλαχοῦ φρουρηθῆναι κέλευσον. οὗς γὰρ ἡ σὴ εὐτυχότης δεσμώτας συνέσχεν[3], κλείσαντες δὲ ἐν ὥρᾳ τὰς θύρας ἀσφαλισάμενοι, διεγειρόμενοι ἀνεῳγμένας αὐτὰς εὑρίσκομεν· ἀλλὰ καὶ ἡ γυνή σου καὶ ὁ υἱός σου μετὰ τῶν λοιπῶν ἐκείνων οὐκ ἀφίστανται τοῦ ἀνδρός. Ταῦτα δὲ ἀκούσας ὁ βασιλεὺς ἦλθεν ἐπισκεψάμενος (sic codex) τὰς σφραγῖδας, ἃς περιβεβλήκει ταῖς θύραις, καὶ εὗρεν αὐτὰς ὥσπερ ἦσαν. λέγει οὖν τοῖς δεσμοφύλαξιν· τί οὖν ψεύδεσθε; καὶ γὰρ αἱ σφραγῖδες αὗται σῷαι διατελοῦσιν, καὶ πῶς λέγετε τὴν τερτίαν καὶ μυγδονίαν ἅμα τῷ υἱῷ μου εἰσέρχεσθαι ἐν τῷ δεσμωτηρίῳ; καὶ οἱ φύλακες εἶπον· ἡμεῖς τὰ ἀληθῆ εἴπαμέν σοι, βασιλεῦ. μετὰ δὲ ταῦτα εἰσῆλθεν ὁ βασιλεὺς εἰς τὸ δεσμωτήριον καὶ μετεπέμψατο τὸν ἀπόστολον. Ἐλθόντος δὲ αὐτοῦ, ἀποζώσαντες αὐτὸν ἔστησαν πρὸ τοῦ βήματος. ὁ δὲ βασιλεὺς[4] εἶπεν· δοῦλος ὑπάρχεις ἢ ἐλεύθερος; καὶ ὁ θωμᾶς· ἑνός εἰμι δοῦλος· σὺ τὴν κατ' ἐμοῦ ἐξουσίαν οὐκ ἔχεις οὐδ' ὅλως. καὶ φησὶν ὁ μισδαῖος· δραπετεύσας εἰς ταύτην ἀφίκου τὴν χώραν; καὶ ὁ θωμᾶς· ἦλθον ἐνταῦθα ἵνα πολλοὺς σώσω, κἀγὼ διὰ τῶν χειρῶν σου ἀποστῶ ἀπὸ τοῦ σώματός μου. λέγει πρὸς αὐτὸν ὁ μισδαῖος· τίς σου ἐστὶν ὁ δεσπότης; καὶ τί αὐτοῦ τὸ ὄνομα; καὶ ἐκ ποίας χώρας ὑπάρχεις; καὶ ὁ θωμᾶς· οὐ δύνασαι ἀκοῦσαι τὸ ἀληθινὸν ὄνομα αὐτοῦ ἐν τῷ καιρῷ τούτῳ. λέγω δέ σοι τὸ πρόσκαιρον αὐτοῦ (potius αὐτῷ?) ἐπιτεθὲν[5] ὄνομα· ἰησοῦς ἐστὶν ὁ χριστός. καὶ ὁ μισδαῖος φησιν· ἐγὼ οὐκ ἠπείχθην[6] σε ἀπολέσαι, ἀλλ' ἠνεσχόμην· σὺ δὲ ἐπίδοσιν[7] ἐποιήσω τῶν σῶν ἔργων, ὥστε τὰ φάρμακά σου ἀκουσθῆναι ἐν πάσῃ χώρᾳ. ἀλλὰ καὶ νῦν πράξω τὸ κατὰ σοῦ τέλος, ἵνα σου τὰ φάρμακα συναπόληται καὶ καθαριεύσῃ[8] ἡμῶν

[3] Haec ita in codice scripta sunt; at vix integra sunt.

[4] Huc confer sect. 4. apud nos.

[5] Male typis exscriptum pag. 237. ἐπιτηϑέν.

[6] ἠπείχϑην: codex ἠπήχϑην. Eandem scripturam etiam Parisiensis codex praebet, quae et ipsa ἠπείχϑην non ἀπήχϑην corrigenda erat.

[7] ita codex; Parisiensis ἀπόδοσιν.

[8] ita scriptum est; rectius vel certe usitatius Parisiensis καϑαρεύσῃ.

Digitized by Google

τὸ ἔθνος. καὶ ὁ θωμᾶς ἔφη· ταῦτα ἃ λέγεις (cod. λέγει) φάρμακα εὖ ἔσται μοι καὶ τῶν ἐντεῦθεν μηδέποτε ἀφιστάμενα ἔσται. Λεγομένων[9] δὲ τούτων ὁ μισδαῖος ἐβουλεύετο ποίῳ τρόπῳ φονεύσει τὸν ἀπόστολον· ἐφοβεῖτο γὰρ τὸν περιεστῶτα λαὸν τῶν πιστευσάντων. καὶ ἀναστὰς παρέλαβεν τὸν θωμᾶν ἔξω τῆς πόλεως· συνηκολούθουν δὲ αὐτῷ ὀλίγοι στρατιῶται μεθ' ὅπλων. οἱ δὲ ὄχλοι ὑπενόουν τὸν βασιλέα βουλεύεσθαι περὶ αὐτοῦ, καὶ ἑστῶτες προσεῖχον αὐτῷ. ὡς δὲ προῆλθον τρία στάδια, παρέδωκεν αὐτὸν στρατιώταις τέσσαρσιν καὶ ἑνὶ τῶν πολεμαρχῶν, προστάξας αὐτοῖς εἰς ὄρος αὐτὸν λογχιάσαι· αὐτὸς δὲ εἰς τὴν πόλιν ὑπέστρεφεν. Οἱ δὲ[10] παρόντες ἔτρεχον ἐπὶ τὸν θωμᾶν ἁρπάσαι αὐτὸν προθυμούμενοι· αὐτὸς δὲ ἐπήγετο (Par. ἀπήγετο) συμπαρομαρτούντων αὐτῷ τῶν στρατιωτῶν, ἀνὰ δύο ἐπ' ἀμφότερα μέρη . . . .[11] καὶ ἅμα βαδίζων ὁ θωμᾶς ἔλεγεν· ὦ τὰ κρύφιά σου μυστήρια, ἰησοῦ, ὅτι μέχρι τῆς τοῦ βίου τελευτῆς ἐν ἡμῖν πληροῦνται· ὦ τοῦ πλούτου τῆς χάριτός σου . . .[12] ἰδοὺ γὰρ πῶς τέσσαρες διειλήφασίν με· ἐπειδήπερ ἐκ τῶν τεσσάρων στοιχείων (his fragmentum exit).

IV.

ACTA PETRI ET ANDREAE

EX

COD. BAROCC. 180.

Πράξεις[1] τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Ἀνδρέου.

Ἐγένετο ὡς ἐξῆλθεν ὁ ἀπόστολος τοῦ Χριστοῦ Ἀνδρέας ἔξω

---

[9] His verbis sectio 5. apud nos incipit.

[10] Haec sectioni 6. respondent.

[11] Sequuntur haec: μεταχαιχειρισάμενον τὰς φλαμίας (sic) τοῦ πολεμάρχου· ταῖς χερσὶν αὐτῶν κατέχοντες, quae admodum corrupta esse apparet. Parisiensis scriptura est: μετακεχειρισμένοι διὰ φαρμακίας, τοῦ πολεμάρχου τῆς χειρὸς αὐτὸν κατέχοντος.

[12] Sequuntur rursus corrupta: συγχωρεῖς ἡμῖν τοῦ κατὰ σώματος πόθου. Parisiensis: ὅτι μέχρι τῆς τ. βι. τελ. ἐν ἡμ. πληροῦται ὁ πλοῦτος τῆς χαρ. σου ἐκεῖνος, ὃς οὐ συγχωρεῖ ἡμῖν ἔσεσθαι κατὰ τὸ σῶμα ἀπαθεῖς.

[1] Codex πράξις, hoc accentu.

Digitized by Google

τῆς πόλεως τῶν ἀνθρωποφάγων, καὶ ἰδοὺ νεφέλη φωτεινὴ ἥρπασεν αὐτόν, καὶ τοῦτον ἀπένεγκεν (sic) ἐν τῷ ὄρει οὗ ἦν Πέτρος καὶ Ματθεία καὶ Ἀλέξανδρος καθεζόμενοι. ὁ δὲ ἰδὼν αὐτούς, ἠσπάσαντο αὐτὸν μετὰ πολλῆς χαρᾶς. τότε λέγει αὐτῷ ὁ Πέτρος· τί σοι γέγονεν, ἀδελφὲ Ἀνδρέα; ἆραγε ἔσπειρας τὸν λόγον τῆς ἀληθείας ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων ἢ οὔ; λέγει αὐτῷ Ἀνδρέας· ναί, πάτερ Πέτρε, δι' εὐχῶν σου· ἀλλὰ πολλὰ κακά μοι ἔδειξαν[2] οἱ ἄνδρες τῆς πόλεως ἐκείνης. ἔσυρον γάρ με ἐν τῇ πλατείᾳ οἱ ἄνδρες τῆς πόλεως ἐκείνης ἡμέρας τρεῖς, ὥστε τὸ αἷμά μου μολῦναι (cod. μολύναι) τὴν πλατείαν ὅλην. λέγει αὐτῷ ὁ Πέτρος· ἀνδρίζου ἐν κυρίῳ, ἀδελφὲ Ἀνδρέα, καὶ δεῦρο ἀνάπαυσαι (cod. -σε) ἐκ τοῦ κόπου σου. ὁ γὰρ γεωργὸς ὁ καλὸς ἐὰν πονικῶς (cod. πονικὸς, sed saepissime ο et ω confundit) γεωργήσει τὴν γῆν, καὶ καρπὸν φέρει, καὶ εὐθέως πᾶς ὁ κόπος αὐτοῦ εἰς χαρὰν γενήσεται· εἰ δὲ κοπιάσει καὶ οὐ καρποφορήσῃ (cod. -ρίσῃ) ἡ χώρα αὐτοῦ, διπλοῦν ἔχει τὸν κόπον.

Ταῦτα δὲ αὐτοῦ λέγοντος ἐφάνη αὐτοῖς ὁ κύριος Ἰησοῦς Χριστὸς ἐν μορφῇ παιδίου καὶ λέγει αὐτοῖς· χαῖρε, Πέτρε ἐπίσκοπε ὅλης τῆς ἐκκλησίας μου· χαῖρε, Ἀνδρέα. οἱ συγκληρονόμοι μου, ἀνδρίζεσθε καὶ ἀγωνίζεσθε ὑπὲρ τῆς ἀνθρωπότητος. ἀμὴν γὰρ λέγω ὑμῖν, κόπους ὑπομένετε ἐν τῷ κόσμῳ τούτῳ ὑπὲρ τῆς ἀνθρωπότητος .....[3] ἐν μιᾷ ὥρᾳ ἀνέσεως ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. ἀναστάντες οὖν πορεύεσθε ἐν τῇ πόλει τῶν βαρβάρων καὶ κηρύξατε ἐν αὐτῇ, κἀγὼ ἔσομαι μεθ' ὑμῶν ἐν τοῖς θαύμασιν[4] τοῖς γινομένοις ἐν αὐτῇ διὰ τῶν χειρῶν ὑμῶν. ἀσπασάμενος δὲ αὐτοὺς ὁ κύριος Ἰησοῦς ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς ἐν δόξῃ.

Πέτρος δὲ καὶ Ἀνδρέας καὶ Ἀλέξανδρος καὶ Ῥοῦφος καὶ Ματθεία ἐπορεύθησαν εἰς τὴν πόλιν τῶν βαρβάρων. ἐγγισάντων δὲ αὐτῶν τῇ πόλει, ἀποκριθεὶς (cod. add δὲ) ὁ Ἀνδρέας εἶπεν τῷ Πέτρῳ· πάτερ Πέτρε, ἆραγε ἔχομεν (cod. ἔχωμεν) πάλιν κό-

[2] ita exscripsi. Woogius ἐνέδειξαν. Nescio uter nostrum falsus sit.

[3] Quae h. l. exciderunt, ita fere cum Woogio supplenda erunt: ἀλλὰ χαρεῖτε, ἐγὼ ἀναπαύσω ὑμᾶς.

[4] ita codex, non θαυμασίοις, quod Woogius dedit.

Digitized by Google

πους ὑπομεῖναι ἐν τῇ πόλει ταύτῃ ὡς καὶ ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων; λέγει αὐτῷ Πέτρος· οὐκ οἶδα. ἀλλ' ἰδοὺ ἔστιν (hoc acc. ipse cod.) γέρων ἔμπροσθεν ἡμῶν σπείρων ἐν τῷ ἀγρῷ αὐτοῦ. ἐὰν φθάσωμεν ἕως αὐτοῦ, ἐρῶμεν[5] αὐτῷ· δὸς ἡμῖν ἄρτον. καὶ ἐὰν δῴη ἡμῖν ἄρτον, γνῶμεν ὅτι οὐ κοπιῶμεν ἐν τῇ πόλει ταύτῃ· εἰ δὲ ἡμῖν εἴπῃ ὅτι ἄρτον οὐκ ἔχομεν (cod. ἔχωμεν), πάλιν γνῶμεν ὅτι πάλιν κόπος ἡμᾶς[6] μένει. ὡς δὲ ἤγγισαν τῷ γέροντι, λέγει αὐτῷ Πέτρος· χαῖρε, γεωργέ. ὁ δὲ γεωργὸς λέγει αὐτοῖς· χαίρετε καὶ ὑμεῖς, ἔμποροι. λέγει αὐτῷ ὁ Πέτρος· ἔστιν σοι ἄρτος, ἵνα παρέχεις (sic cod.) τοῖς παιδίοις τούτοις (cod. τῶν παιδίων τούτων, sed paullo post ὑμῖν), ἐπειδὴ ὑστερήθημεν; λέγει αὐτοῖς ὁ γέρων· ὑπομείνατε ὀλίγον καὶ προσέχετε τῶν βοῶν καὶ τοῦ ἀρότρου καὶ τοῦ ἀγροῦ, ἵνα πορευθῶ ἐν τῇ πόλει καὶ παρέχω ὑμῖν ὄρτους. λέγει αὐτῷ Πέτρος· ἐὰν ξενοδοχήσῃς ἡμᾶς, ἡμεῖς ἐπιτηροῦμεν τὸ ζεῦγος καὶ τὸν ἀγρόν. λέγει ὁ γέρων· ναί. λέγει αὐτῷ ὁ Πέτρος· εἶτα οἱ βόες ὑμῶν εἰσίν; λέγει ὁ γέρων· οὐχί· μεμίσθωμαι αὐτούς. λέγει αὐτῷ ὁ Πέτρος· πορεύου ἐν τῇ πόλει. καὶ ἐπορεύθη ὁ γέρων ἐν τῇ πόλει. καὶ ἀναστὰς ὁ Πέτρος διεζώσατο τὸν ἑαυτοῦ ἐπενδύτην καὶ τὸ λέντιον, καὶ λέγει πρὸς τὸν Ἀνδρέαν ὅτι οὐκ ἔστιν ἡμῖν πρέπον ἀναπαύεσθαι καὶ ἀργεῖν, μάλιστα δὲ ὑπὲρ ἡμῶν κοπιοῦντος[7] τοῦ γέροντος, ἀφεὶς (sic) τὸ ἔργον αὐτοῦ. τότε ὁ Πέτρος ἁψάμενος τοῦ ἀρότρου ἔσπειρεν (cod. επηρεν) τὸν σῖτον. Ἀνδρέας δὲ ἦν ὄπισθεν τῶν βοῶν, καὶ λέγει τῷ Πέτρῳ· πάτερ Πέτρε, τί κόπους παρέχεις ἡμῖν ...[8] τότε λαβὼν ὁ Ἀνδρέας τὸ ἄροτρον ἐκ τοῦ[9] Πέτρου ἔσπειρεν (cod. ἔσπερεν) τὸν σῖτον λέγων· ὁ σπόρος ὁ εἰς τὴν γῆν ἐρριμμένος (sed codex ῥημένος) ἐν τῷ ἀγρῷ τῶν δικαίων ἔρχου (sic cod.) καὶ ἐλθὲ (cod. ἔλθω) εἰς τὸ φῶς[10]. ἐξέλθατε τοίνυν οἱ

---

[5] ἐρῶμεν: ita codex. Videtur ex barbarismo coniunctivus futuri statuendus.

[6] ἡμᾶς: sic codex, non ut Woogius ἡμῖν.

[7] ita codex, sed supra κοπιῶμεν.

[8] Sequitur: καὶ σὺ κοπιᾷς ἡμῶν ὄντων. Woogius correxit καὶ σοί, κόπων ἡμῖν ὄντων.

[9] ἐκ τοῦ: sic, male Woogius εἰς. Nec magis codex τὸ σῖτον habet, ut Woogius voluit. Idem ὁ εἰς non adsequutus est, sed codex planissime ὁ τῆς.

[10] An ita textus tolerabiliter restitutus sit dubito.

Digitized by Google

νεανίσκοι τῆς πόλεως, οὓς εὗρον ἐν τῷ βυθῷ τῆς ἀπωλείας ἕως σήμερον· ἰδοὺ γὰρ οἱ ἀπόστολοι τοῦ Χριστοῦ εἰσέρχονται ἐν τῇ πόλει συγχωροῦντες (cod. -ρόντες) ἁμαρτίας τῶν πιστευόντων εἰς αὐτούς, καὶ θεραπεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. εὔξασθε ὑπὲρ ἐμοῦ ὅπως ἐλεήσει με, καὶ ῥυσθῶ ἐκ τῆς ἀνάγκης ταύτης.

Πολλοὶ[11] δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν τῷ Χριστῷ διὰ τὸν λόγον[12] τῆς γυναικός, καὶ πεσόντες παρὰ τοὺς πόδας τῶν ἀποστόλων προσεκύνουν αὐτούς. αὐτοὶ δὲ ἐτίθουν τὰς χεῖρας ἐπ' αὐτούς. τοὺς δὲ ἀσθενοῦντας ἐν τῇ πόλει ἰάσαντο, τυφλοῖς τὸ βλέπειν ἐχαρίσαντο, κωφοῖς τὸ ἀκούειν, δαίμονας ἀπήλαυνον· πᾶς ὁ ὄχλος ἐδόξαζον τὸν πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα.

Ἦν δέ τις πλούσιος ἐν τῇ πόλει ὀνόματι Ὀνησιφόρος[13]. οὗτος οὖν θεωρήσας τὰ σημεῖα τὰ γινόμενα διὰ τῶν ἀποστόλων λέγει αὐτοῖς· ἐὰν πιστεύσω εἰς τὸν θεὸν ὑμῶν, δύναμαι ποιῆσαι κἀγὼ σημεῖον ὡς καὶ ὑμεῖς; λέγει αὐτῷ Ἀνδρέας· ἐὰν ἀποτάξει (sic) πάντων τῶν ὑπαρχόντων σου καὶ τῆς γυναικός σου καὶ τῶν τέκνων σου, ὡς καὶ ἡμεῖς ἀπεταξάμεθα, τότε καὶ σὺ ποιήσεις σημεῖα. ταῦτα ἀκούσας ὁ Ὀνησιφόρος, θυμοῦ πλησθεὶς λαβὼν τὸ ἑαυτοῦ λέντιον ἔβαλεν εἰς τὸν τράχηλον τοῦ Ἀνδρέου, καὶ τύπτων αὐτὸν ἔλεγεν αὐτῷ· μάγος εἶ· τὴν γυναῖκά μου καὶ τὰ τέκνα μου καὶ τὰ ἀγαθά μου πῶς σὺ ἀναγκάζεις με καταλιπεῖν; τότε ὁ Πέτρος στραφεὶς καὶ ἰδὼν αὐτὸν τύπτοντα τὸν Ἀνδρέαν, λέγει αὐτῷ· ἄνθρωπε, παῦσον λοιπὸν τύπτων τὸν Ἀνδρέαν. λέγει αὐτῷ Ὀνησιφόρος· θεωρῶ σε ὅτι φρονιμώτερος αὐτοῦ εἶ· εἰπέ μοι οὖν καὶ σὺ ἵνα καταλείψω τὴν γυναῖκά μου καὶ τὰ τέκνα μου καὶ τὰ ἀγαθά μου· τί σὺ λέγεις; λέγει αὐτῷ Πέτρος· ἔν σοι ῥῆμα λέγω· εὐκοπώτερόν ἐστιν κάμηλον[14] διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. ταῦτα ἀκούσας ὁ Ὀνησιφόρος καὶ ἐπὶ πλεῖον πλησθεὶς

---

[11] Quae hoc loco sequuntur, cum ils quae praecedunt non cohaerent. Videntur igitur plura excidisse. Sed nec quae praecedunt prioribus apta sunt.

[12] Huc usque Woogius textum exscripsit.

[13] Codex plerumque ὀνισιφόρος.

[14] Codex κάμιλον. Item postea constanter.

Digitized by Google

ὀργῆς καὶ θυμοῦ, λαβὼν τὸ λέντιον ἐκ τοῦ τραχήλου τοῦ Ἀνδρέου ἔβαλεν εἰς τὸν τράχηλον τοῦ Πέτρου, καὶ οὕτως ἔσυρεν λέγων· ὄντως μέγας μάγος, πλείων τούτου· οὐ γὰρ εἰσέρχεται κάμηλος διὰ τρυπήματος ῥαφίδος. εἰ δὲ καὶ δείξεις μοι τοῦτο τὸ θαῦμα, πιστεύω εἰς τὸν θεόν σου· οὐ μόνον δὲ ἐγώ, ἀλλὰ καὶ πᾶσα ἡ πόλις· εἰ δὲ μήγε, μεγάλως τιμωρηθήσῃ ἐν μέσῳ τῆς πόλεως. ταῦτα δὲ ἀκούσας ὁ Πέτρος ἐλυπήθη λίαν, καὶ σταθεὶς καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανόν, προσηύξατο λέγων· δέσποτα κύριε ὁ θεὸς ἡμῶν, ἐπάκουσόν μου τῇ ὥρᾳ ταύτῃ· ἀγρεύσουσιν (cod. -εύσω) γὰρ ἡμᾶς ἐκ τῶν σῶν λόγων. οὐ γὰρ προφήτης εἶπεν ταύτην τὴν διασάφησιν αὐτοῦ ἀπαγγέλλων, οὐδὲ πάλιν πατριάρχης, ἵνα μάθωμεν ταύτην τὴν ἑρμηνείαν, καὶ νῦν ζητοῦσιν παρ' ἡμῶν τὴν τοιαύτην διασάφησιν μετὰ παρρησίας. σὺ οὖν δέσποτα μὴ παρίδῃς ἡμᾶς· σὺ γὰρ εἶ ὁ ὑμνούμενος ὑπὸ τῶν Χερουβίμ.

Ταῦτα δὲ αὐτοῦ εἰπόντος ἐφάνη ὁ σωτὴρ ἐν μορφῇ παιδίου δωδεκαετοῦς, φορῶν ὀθόνιον, καὶ λέγει αὐτοῖς· θαρσεῖτε καὶ μὴ πτοεῖσθε, οἱ ἐκλεκτοί μου μαθηταί· ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν πάντοτε· ἐνεχθήτω ἡ ῥαφὶς καὶ ὁ κάμηλος. καὶ ταῦτα εἰπὼν ἀνῆλθεν εἰς τοὺς οὐρανούς. πανταπώλης[15] δέ τις ἦν ἐν τῇ πόλει, πιστεύσας τῷ κυρίῳ διὰ Φιλίππου τοῦ ἀποστόλου· καὶ ἀκούσας ταῦτα, δραμὼν ἐζήτησεν ῥαφίδαν (cod. ῥαφήδην, vide post) ἔχουσαν μεγάλην τρυμαλιάν, χάριν παρέχων τοῖς ἀποστόλοις. τότε μαθὼν ὁ Πέτρος λέγει· τέκνον, μὴ ζήτει μεγάλην ῥαφήν[16]· οὐκ ἀδυνατεῖ γὰρ τῷ θεῷ πᾶν ῥῆμα· ἀλλὰ μᾶλλον φέρε ἡμῖν λεπτὴν ῥαφήν. τῆς δὲ ῥαφῆς ἐνεχθείσης καὶ παντὸς τοῦ πλήθους τῆς πόλεως ἱσταμένων πρὸς θεωρίαν, ἀναβλέψας ὁ Πέτρος ἶδεν κάμηλον ἐρχομένην. εἶπεν δὲ ἐνεχθῆναι αὐτήν. τότε ἔπηξεν τὴν ῥαφίδαν (sic h. l. ipse codex) εἰς τὴν γῆν, καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν· ἐν ὀνόματι τοῦ σταυρωθέντος Ἰησοῦ Χριστοῦ ἐπὶ Ποντίου Πιλάτου κελεύω σοι, κάμηλε, ἵνα εἰσέλθῃς διὰ τρυμαλιᾶς τῆς ῥαφίδος. τότε ἡ τρύπη τῆς ῥαφίδος ἠνοίχθη ὡς πύλη, καὶ διῆλθεν δι' αὐτῆς ὁ κάμηλος, καὶ πᾶς ὁ

[15] Codex habet παντάπολις.

[16] ῥαφή eodem sensu quo ῥαφὶς usurpatum.

Digitized by Google

ὄχλος ἐθεώρει. πάλιν λέγει ὁ Πέτρος τῷ καμήλῳ· εἴσελθε πάλιν διὰ τῆς ῥαφίδος. καὶ εἰσῆλθεν πάλιν δεύτερον ὁ κάμηλος. ταῦτα ἰδὼν ὁ Ὀνησιφόρος λέγει τῷ Πέτρῳ· ἀληθῶς μέγας μάγος εἶ· ἐγὼ γὰρ οὐ πιστεύω, εἰ μὴ ἐγὼ πέμψω καὶ φέρω ῥαφίδαν (cod. -ίδην) καὶ κάμηλον. καὶ προσκαλεσάμενος ἕνα ἐκ τῶν παίδων αὐτοῦ λέγει αὐτῷ λαθραίως· πορεύθητι καὶ φέρε μοι ὧδε κάμηλον καὶ ῥαφίδαν (cod. -ίδην)· εὑρὲ δὲ καὶ γυναῖκα μεμιαμένην, καὶ αὐτὴν ἐπιβιβάσας ἔνεγκε ὧδε. οἱ γὰρ ἄνδρες οὗτοι μάγοι εἰσίν. μαθὼν δὲ ὁ Πέτρος τὸ μυστήριον διὰ τοῦ πνεύματος λέγει τῷ Ὀνησιφόρῳ· πέμψον, φέρε τὴν κάμηλον καὶ τὴν γυναῖκαν (sic) καὶ τὴν ῥαφήν. ὡς δὲ ἤνεγκαν, λαβὼν ὁ Πέτρος τὴν ῥαφὴν ἔπηξεν εἰς τὴν γῆν. ἡ δὲ γυνὴ ἦν καθεζομένη ἐν τῷ καμήλῳ. τότε λέγει ὁ Πέτρος· ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐσταυρωμένου κελεύω σοι, κάμηλε, ἵνα εἰσέλθῃς διὰ τῆς ῥαφίδος ταύτης. εὐθέως δὲ ἠνοίχθη τῆς βελόνης ἡ τρύπη καὶ ἐγένετο ὡς ἡ (sic) πύλη, καὶ εἰσῆλθεν δι' αὐτῆς ὁ κάμηλος. λέγει πάλιν ὁ Πέτρος τῷ καμήλῳ· εἴσελθε πάλιν δι' αὐτῆς, ὅπως ἴδωσιν πάντες τὴν δόξαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπως πιστεύσωσίν τινες εἰς αὐτόν. τότε εἰσῆλθεν πάλιν ὁ κάμηλος διὰ τῆς βελόνης. ἰδὼν δὲ Ὀνησιφόρος ἐβόησεν λέγων· ἀληθῶς [μέγας][17] ὁ θεὸς Πέτρου καὶ Ἀνδρέου, κἀγὼ ἀπὸ τοῦ νῦν πιστεύω εἰς τὸ ὄνομα τοῦ κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ. νῦν οὖν ἄκουσον τῶν ῥημάτων μου, ὦ Πέτρε. ἔχω τοίνυν ἀρούρας, ἀμπέλους καὶ ἀγρούς· ἔχω δὲ καὶ εἴκοσι ἑπτὰ λίτρας χρυσίου καὶ πεντήκοντα λίτρας ἀργυρίου· ἔχω δὲ ἀνδράποδα πάμπολλα. παρέχω τοῖς πτωχοῖς τὰ ὑπάρχοντά μου, ὅπως καὶ ἐγὼ ποιήσω ἓν θαῦμα ὡς καὶ ὑμεῖς[18] .... ὁ δὲ Πέτρος ἦν λυπούμενος, μήποτε οὐκ ἐνεργοῦσιν αὐτῷ αἱ δυνάμεις, ἐπειδὴ οὐκ ἦν λαβὼν τὴν ἐν Χριστῷ σφραγῖδα. ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου, ἰδοὺ φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα πρὸς αὐτόν·

[17] Hoc vel simile quid supplendum videtur, nisi mavis ἀληθής pro ἀληθῶς.

[18] Sequitur in codice: ἐὰν θέλῃς, καὶ σὺ ποιήσῃς (sed iota subscriptum codex nusquam habet) ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, quae non sana esse apparet. Possit coniici ita fere scriptum fuisse: λέγει αὐτῷ Ἀνδρέας· ταῦτα ἐὰν θέλῃς, καὶ σὺ ποιήσεις ἐν etc. Sed eodem iure etiam alia coniici possunt.

Digitized by Google

κελεύω σοι[19], ποίησον αὐτῷ ὅσα θέλει, ὅθεν πληροφορῶ αὐτὸν ὡς βούλεται. λέγει αὐτῷ ὁ Πέτρος· τέκνον, δεῦρο, ποίησον ὡς καὶ ἡμεῖς. προσελθὼν δὲ ὁ Ὀνησιφόρος ἵσταται ἔμπροσθεν τῆς καμήλου καὶ τῆς ῥαφίδος, καὶ εἶπεν· ἐν ὀ[νόματι] ....[20]

[19] κελεύω σοι: ita reposuimus pro κέλευσον, quod in codice est.

[20] Hunc in modum exit codex. Quae enim folio insequenti (115) leguntur, ad vitam S. Barbarae pertinent.

Digitized by Google

Jenae, typis Fr. Frommann

Digitized by Google

INDEX.

Pag.

A. PROLEGOMENA . . . . . VII — LXIV.

De laboribus nostris circa libros Novi Testamenti apocryphos in universum refertur . . . . . VII sq.

Cur nunc demum accesserit volumen tertium ad duo priora annorum 1851 et 1853 . . . . . VIII.

Libris 14 in actis et evangeliis primum editis iam accedunt alii inediti quinque . . . . . VIII.

De edendi difficultate . . . . . IX.

De libris similibus corpori Novi Testamenti apocrypho reservatis deque nonnullis Veteris Testamenti pseudepigraphis . . . . . X.

I. De apocalypsi Mosis . . . . . X — XII.

Plures libri eo nomine apud veteres dicti. Dubium quorsum hic referendus sit. Cur saeculis circa Chr. nat. tribuendus videatur . . . . . X — XI.

De codd. quattuor ad editionem adhibitis . . . . . XI sq.

II. De apocalypsi Esdrae . . . . . XII — XIV.

Diversam esse ab Esdrae libro quarto eoque multo inferiorem sed ex illius imitatione fluxisse . . . . XII.

De scriptura codicis Parisiensis unde editio petita est XII sq.

De duobus libris medio aevo Esdrae nomine fictis . XIII sq.

III. De apocalypsi Pauli . . . . . XIV — XVIII.

Duas apocalypses Pauli veteribus innotuisse. Augustini et Sozomeni testimonia in eam quam edidimus quadrare. De reliquis eiusdem testibus . . . . XIV sq.

Digitized by Google

Pag.

Versiones orientales: Coptica? Syriaca, Arabica . . XVI.

De aetate libri . . . . . XVI.

De codicibus nostris duobus, altero Ambrosiano, altero Monacensi . . . . . XVI sq.

De Syriaco textu nuperrime Urumiae invento eiusque interpretatione Anglica in apparatu critico nostro exscripta XVII

De fragmento homiletico in utroque Graeco codice apocalypsi Paulinae in fine mutilae addito . . XVIII.

IV. De apocalypsi Iohannis . . . . . XVIII — XIX.

Testimonium scholiastae ad grammaticam Dion. Thracis XVIII.

De Birchii editione et codicibus . . . . . XVIII sq.

De codd. nostris quinque . . . . . XIX.

De apocalypsi Petri ex cod. Arabico Oxoniensi . . XX sqq.

Singula eius capita ex catalogo Alexandri Nicoll repetuntur . . . . . XX — XXIV.

Revelationum Bartholomaei Sahidice inventarum fragmentum ex interpretatione Eduardi Dulaurier . . XXIV — XXVII.

De quadam Mariae apocalypsi in variis codicibus Graecis inventa . . . . . XXVII — XXIX.

Fragmentum similis libri apocalyptici . . . . XXIX — XXX.

De apocalypsi Danielis . . . . . XXX — XXXIII.

V. De Iohannis libro de dormitione Mariae.

VI. De Transitu Mariae. A.

VII. De Transitu Mariae. B. . . . . XXXIV — XLVI.

Cur iste Pseudo-Iohannis liber adhuc delituerit . . . XXXIV.

Quando scriptus videatur; quantum ubique placuerit . XXXV.

Versiones Syriacae tres a Guilielm. Wright editae; versio Arabica a Maximil. Enger edita; liber Copticus eiusdem argumenti . . . . . XXXV — XXXVII.

Transitus Mariae apud Latinos et apud poetas Germanicos . . . . . XXXVII sq.

Sermo Iohannis Thessalonicensis de dormitione Mariae. Ex variis codicibus plures eius sermonis tituli et partes afferuntur . . . . . XXXVIII — XLII.

Epiphanii monachi testimonium de utroque scripto . XLII.

Codices ad edendum Pseudo-Iohannis librum a nobis adhibiti, item ad Transitum A et B . . . . . XLIII.

Digitized by Google

„De assumptione beatae virginis Mariae“ ex cod. Ambrosiano . . . . . Pag. XLIII — XLVI.

Additamenta ad acta apostolorum apocrypha XLVII — L.

Ex actis Pauli et Andreae a Zoega Sahidice repertis. Fragmentum ab Ed. Dulaurier versum . . XLVII — XLIX.

De fragmentis Sahidicis actorum Bartholomaei . XLIX — L.

Additamenta ad evangelia apocrypha . . . . LI — LXIV.

Guilielmi Wright Contributions to the Apocryphal Literature of the N. T. collected and edited from Syriac MSS. . . . . LI.

Syriaca fragmenta protevangelii (capp. XVII — XXV) e codice sexti saeculi . . . . . LI — LIII.

Thomae evangelium ex eodem codice Syriaco partim interprete Wrightio exscribitur, partim cum nostris recensionibus Gr. et Lat. confertur . . . . . LIII — LVI.

De Herodis et Pilati epistulis . . . . . LVI.

Ad Pseudo-Matthaei evangelium: plura scripturae codicis D exempla proferuntur . . . . . LVI — LX.

Ad Thomae evangelium Graece A: emendantur lectiones a Cotelerio et Thilone ex cod. Par. prolatae LXI.

Ad Gesta Pilati Graece A: dantur exempla scripturae e codice Monacensi nondum adhibito . . . . LXI — LXIII.

Editionem Fabricianam libelli qui ἀναφορὰ Πιλάτου inscribitur plurimis ac gravissimis vitiis deformatam esse ostenditur . . . . . LXIII — LXIV.

B. TEXTUS APOCALYPSIUM etc. . . . . 1 — 136.

I. Apocalypsis Mosis. Graece. (Editio princeps.) 1 — 23.

II. Apocalypsis Esdrae. Graece. (Editio princeps.) 24 — 33.

III. Apocalypsis Pauli. Graece. (Editio princeps.) 34 — 69.

IV. Apocalypsis Iohannis. Graece . . . . . 70 — 94.

V. Iohannis liber de dormitione Mariae. Graece. (Editio princeps.) . . . . . 95 — 112.

VI. Transitus Mariae. A. Latine. (Editio princeps.) 113 — 123.

VII. Transitus Mariae. B. Latine . . . . . 124 — 136.

Digitized by Google

C. ADDITAMENTA AD ACTA APOSTOLORUM APOCRYPHA . . . . . Pag. 137 — 167.

I. Ad acta Andreae et Matthiae, ex codice unciali 139 — 141.

II. Ad acta Philippi . . . . . 141 — 156.

1. ex codice Parisiensi . . . . . 141 — 150.

2. ex codice Barocciano . . . . . 151 — 156.

III. Ad acta Thomae . . . . . 156 — 161.

1. ex codice Monacensi unciali palimpsesto . . . . 156 — 158.

2. ex codice Bodleiano . . . . . 158 — 161.

IV. Acta Petri et Andreae in fine mutila ex codice Barocciano . . . . . 161 — 167.

Digitized by Google